aurae a Nilo nullae proveniant. quodsi de quorundam opinione liquescentibus a nivibus augesceret, haud dubie largas eae regiones auras ex Nilo haberent. atque hoc Nili prodigium a nobis commemoratum, sicut Anastasius ille noster ait, fieri vult deus, ut priscae mundi huius creationi fides habeatur. quis enim Nilum cernens Aegyptum inundantem ac rursus intra pristinas ripas suas redeuntem, non etiam de illo die certus sit, quo coacta in collectionem unam aqua siccum apparuit?

Quinetiam in finitimis Aegypto locis, nimirum aquis inaccessis, quae sunt in Pentapoli barbarica, lapidum natura sursum tendens ac natans illos coarguit homines, qui non credunt deum terram hanc ingenti pondere gravem super aquarum naturam veluti suspendisse. itidem in montibus qui Lycii dicuntur, aqua et ignis simul coniuncta non dividendam in Christo duarum naturarum unionem, divinae inquam et humanae, nobis ostendunt. quo pacto quis opificem ob haec ex dignitate celebrare possit? nam cum varii sint morbi qui nobis accidunt, etiam multiplices aquae calidae de terra scaturiunt, quae iisdem medentur. quippe nonnullae ipsarum nervos laxant, nonnullae constringunt et laxatos vicissim tendunt; aliae vim pituitae, aliae bili nigrae contrariam habent; aliae denique praestant usum alium, id-

ἄλλα πάλιν ἄλλην χρείαν παρέχουσι τῇ κελεύσει τοῦ παραγαγόντος αὐτά, κἂν ἡμεῖς ἀχάριστοι περὶ τὸν εὐεργέτην φαινώμεθα.

Καὶ ὅπως μέν, ἀγαπητέ, καὶ ποίῳ τρόπῳ θερμὰ κάτω-
θεν ἀνέρχονται ὕδατα, εἴρηται ἄνωθεν, ἀναγκαῖον δὲ συμ-
παρειλῆφθαι τῷ λόγῳ ὅπερ Πατρίκιός τις ἐπίσκοπος Πρού-
σης εὕρηται λέγων περὶ τῶν θερμῶν ὑδάτων· πῦρ γὰρ καὶ
V. 14 ὕδωρ ἐν τῷ οὐρανῷ εἶναι λέγει, ὡσαύτως καὶ ὑποκάτω τῆς
D γῆς πῦρ καὶ ὕδωρ, ἀφ' ὧν ὥσπερ σίφωνες ἀναπέμπονται
πρὸς ἡμετέραν ζωὴν αἱ πηγαί. ὁ μέντοι Δαμασκηνὸς Ἰω-
άννης περὶ τοῦ Ὠκεανοῦ φησὶν ὅτι τὴν γῆν ἅπασαν οἷά τις
κυκλοῖ ποταμός· περὶ οὗ εἰρηκέναι μοι δοκεῖ ἡ γραφὴ ὅτι
ποταμὸς ἐκπορεύεται ἐκ τοῦ Παραδείσου, πότιμον καὶ γλυ-
κὺ ὕδωρ ἔχων. οὗτος εἰς τέσσαρας ἀρχάς, τουτέστιν εἰς
τέσσαρας ποταμούς, διαιρεῖται. εἰ δὲ καὶ τὴν αἰτίαν ἐπιζη-
τεῖς δι' ἣν τὰ προσγενόμενα ἡμῖν ὀμβριμαῖα ὕδατα κατὰ το-
σοῦτον σήπεται, καὶ ταῦτα τοῦ ἡλίου διηθοῦντος τὸ λεπτό-
τατον καὶ ἀνάγοντος, ἰδοὺ καὶ ταύτην σοι προστίθεμεν. πολυ-
P. 18 μιγεστάτη τῶν ὑδάτων τούτων ἡ φύσις ἐστίν· ἐκ πάντων
γὰρ τῶν ὑγρῶν ἀνάγει ὁ ἥλιος. ἡ τοίνυν ἀνωμαλία εὐκίνητος,

1. ἄλλην] ἄλλων P. 6. Προύσης — ὑδάτων] Προύσης ἀπὸ λόγου τοῦ ἁγίου Πιονίου περὶ τῶν θερμῶν ὑδάτων διέξεισι F.

que de mandato ipsius earum auctoris, utut erga eum optime de nobis merentem ingrati nos simus.

Et quo quidem pacto aquae calidae de locis subterraneis scaturiant, superius est indicatum. fuerit autem operae pretium hoc loco narrationis nostrae verba quaedam inseri, quae Patricius Prusensis antistes (ex oratione sancti viri Pionii sumpta) de calidis aquis recenset. ait is ignem et aquam in coelo esse. consimiliter et sub terra tam ignem quam aquam abditam esse, de quibus fontes quasi siphones quidam ad usum vitae nostrae scaturiant. Iohannes vero Damascenus Oceanum inquit fluminis cuiusdam instar terram universam circundare; de quo mihi etiam litterae sacrae loqui videntur (Gen. 2 10), cum amnem de paradiso exire tradunt, qui aquam dulcem ac potabilem habeat, eumque deinde quattuor in principia, hoc est quattuor fluvios dividi. quodsi etiam scire cupis quam ob causam aquae pluviae, posteaquam ad nos delapsae sunt, tantopere corrumpantur ac putrescant, sole quod in ea subtilissimum est percolante ac sursum attrahente, lubenter eam quoque tibi subiiciemus. est harum natura inter aquas caeteras maxime mista. quippe sol ex quibusvis rebus humidis aliquid sursum attrahit. haec igitur inaequalitas mobilis admodum est et ad corruptionem celeriter spectat. praeterea subvectorum a sole in aëra humorum pars gravissima crassissimaque rursus deor-

καὶ πρός τινα φθορὰν θᾶττον ὁρᾷ. ἔτι γε μὴν τὸ βαρύτατον τοῦ ἀναχθέντος αὖθις κατάγεται, ἐπεὶ τὸ βαρὺ πρὸς τὸ κάταντες εἴωθε φέρεσθαι· τὸ δὲ λεπτότατον τῆς ἀναθυμιάσεως πνεύματος φύσις ἐγένετο. καὶ ταῦτα μὲν εἰς τοσοῦτον.

Τῇ δὲ τετάρτῃ ἡμέρᾳ τοὺς φωστῆρας ποιήσας ἐν αὐτῷ B τῷ στερεώματι ἔθετο. φωστῆρας δὲ ἀκούων μηδὲν ἕτερον ἢ φωτοδόχα τούτους ἀγγεῖα εἶναι νόμιζε. τὸ γὰρ φῶς ἐκεῖνο τὸ κατά γε τὴν πρώτην ἡμέραν παραχθὲν λαβὼν ὁ θεός, καὶ διανείμας αὐτὸ τοῖς φωστῆρσι πᾶσιν, εἰ καὶ τῷ χρυσορρήμονι Ἰωάννῃ τὰ περὶ τούτων οὐχ οὕτω δοκεῖ, καθάπερ λύχνοις ἐνέθηκεν ὥστε φαίνειν ἐπὶ τῆς γῆς. ὁ γὰρ θεῖος οὗτος ἀνὴρ ἐν τῷ εἰς τὴν ἑξαήμερον πέμπτῳ λόγῳ αὐτοῦ τοιαῖσδε περὶ τούτου κέχρηται συλλαβαῖς „εἶδες σοφίαν τοῦ δημιουργοῦ. εἶπε μόνον, καὶ παρήχθη τὸ στοιχεῖον τοῦτο τὸ θαυμαστόν, ὁ ἥλιος λέγω. τοῦτον γὰρ καλεῖ φωστῆρα μέγαν, καὶ φησὶν αὐτὸν εἰς ἀρχὰς τῆς ἡμέρας γεγενῆσθαι· C οὗτος γὰρ φαιδροτέραν τὴν ἡμέραν ἀπεργάζεται. διὰ τοῦτο καὶ τῇ τετάρτῃ αὐτὸν ἐδημιούργησεν, ἵνα μὴ νομίσῃς τοῦτον συνιστᾶν τὴν ἡμέραν. ἐγένοντο μὲν γὰρ τρεῖς ἡμέραι, αἱ πρὸ τῆς τούτου δημιουργίας, ἐβουλήθη δὲ ὁ δεσπότης καὶ διὰ τούτου φαιδρότερον τὸ φῶς τῆς ἡμέρας ἐργάσασθαι." πρόσεχε, ἀγαπητέ. δοκεῖ γὰρ ἐνταῦθα ὁ θειότατος Ἰωάννης

sum fertur, cum ita comparatae sint res graves ut deorsum ferri soleant: interim pars exhalationum tenuissima ventorum in naturam convertitur. ac de his quidem hactenus dictum esto.

Die quarta deus luminaria creata firmamento inseruit. cum autem appellari audis luminaria, nihil aliud cogitabis quam esse illa quasi vasa quaedam et receptacula lucis. etenim sumpto deus illo lumine quod die primo condiderat, et in omnia luminaria distributo, quanquam aliud hac in parte Chrysostomo placet, quasi quasdam in lucernas id collocavit, ut terram sua luce collustrarent. Chrysostomus autem, vir haud dubie divinus, in oratione de sex dierum operibus quinta, sic ad verbum hac de re disseruit. vides sapientiam opificis: saltem verbum elocutus est, et admirandum hoc elementum, videlicet sol, in ortum productus fuit. nam illum Moses luminare magnum appellat, et ad diei moderationem factum ait. quippe diem is pulcriorem et iucundiorem nobis efficit. quae ipsa causa est quamobrem deus eum die quarto condiderit, ne scilicet existimares solem diei auctorem esse. toti nimirum dies tres creationem solis antecesserunt. ideo putabis voluisse deum per hoc elementum diei lucem aliquanto iucundiorem nobis reddere. quibus in verbis animadvertere te volo videri Iohannem hunc nostrum aliam dicere lucem, quae die

ἄλλο λέγειν εἶναι φῶς τὸ κατὰ τὴν πρώτην ἡμέραν παραχθὲν
καὶ ἕτερον τὸ κατὰ τὴν τετάρτην, πολλῷ τοῦ προτέρου λαμ-
D πρότερον. ἀλλ' ὁ μέγας Βασίλειος ἐν τῷ περὶ φωστήρων
ἕκτῳ λόγῳ αὐτοῦ, ἵνα μὴ λέγω τοὺς ἄλλους ὁσίους πατέρας,
σαφέστερον τὸν περὶ τούτου λόγον ποιεῖ, καί φησιν „εἰ καὶ
προελήφθη τοῦ φωτὸς ἡ γένεσις, πῶς ὁ ἥλιος πάλιν εἰς φαῦ-
σιν λέγεται γεγονέναι; τότε μὲν οὖν αὐτὴ τοῦ φωτὸς ἡ φύ-
σις παρήχθη, νῦν δὲ τὸ ἡλιακὸν τοῦτο σῶμα ὄχημα εἶναι τῷ
πρωτογόνῳ ἐκείνῳ φωτὶ παρεσκεύασται. ὡς γὰρ ἄλλο τὸ
πῦρ καὶ ἄλλο ὁ λύχνος, τὸ μὲν τὴν τοῦ φωτίζειν δύναμιν
ἔχον, τὸ δὲ παρεμφαίνειν τοῖς δεομένοις πεποιημένον, οὕτω
καὶ τῷ καθαρωτάτῳ ἐκείνῳ καὶ εἰλικρινεῖ καὶ ἀΰλῳ φωτὶ
ὄχημα νῦν οἱ φωστῆρες κατεσκευάσθησαν." ἀλλὰ καὶ παρα-
P. 19 κατιὼν οὕτω κατὰ ῥῆμα διέξεισι. „καὶ ἔστω ὁ ἥλιος εἰς
ἐξουσίαν τῆς ἡμέρας. πῶς οὖν ἔχει," φησίν, „τὴν ἐξουσίαν
τῆς ἡμέρας ὁ ἥλιος; ὅτι τὸ φῶς ἐν ἑαυτῷ περιφέρων, ἐπει-
V. 15 δὰν ποτε τὸν ὁρίζοντα ὑπεράρῃ, ἡμέραν παρέχει διαλύσας
τὸ σκότος, ὥστε οὐκ ἂν τις ἁμάρτῃ ἡμέραν ὁρισάμενος εἶ-
ναι τὸν ὑπὸ τοῦ ἡλίου πεφωτισμένον ἀέρα." σαφῶς μὲν
οὖν ἐνταῦθα ὁ μέγας ἔδειξεν ὅτι φωτοδόχα μόνον ἀγγεῖα, μὴ
μέντοι γε δὴ καὶ φῶς κατὰ τὴν τετάρτην ἡμέραν. παρή-
χθησαν δὲ πάντως ἐπὶ τὸ δέξασθαι τὸ φῶς ἐκεῖνο τὸ πρῶτον

21. δὴ] δὲ P.

primo fuerit condita, et aliam, quae die quarto, longe priori splendidiorem. Basilius autem magnus in oratione sexta de luminaribus, ne reliquos sanctissimos patres commemorem, dilucidius hac de re verbis hisce disserit. si iam ante lucis ortus praecesserat, quo pacto fit ut sol rursum dicatur ad lucendum factus esse? nimirum primo quidem die lucis ipsa natura fuit condita, nunc vero solare corpus instruitur, ut illius primigeniae lucis vehiculum sit. quemadmodum enim aliud quiddam est ignis et aliud lucerna, quorum ille quidem lucendi vim habet, haec vero facta est ut lucem nobis adhibeat, si forte quid agendum sit, sic iam (quarto scilicet die) luminaria parantur, quae ignis illius purissimi et ab omni crassa materie secreti vehiculum sint. idem Basilius non multo post in hanc sententiam loquitur: imperium, ait Moses (Gen. 1 16), diei penes solem esto. et quonam pacto imperium diei sol habet? quia lucem in seipso circumferens, quamprimum finitorem circulum transiit, diem nobis praebet dissipatis tenebris. neque magnopere aberrabit qui esse diem definiet a sole collustratum aëra. quibus in verbis eximius hic vir sat clare ostendit vasa quaedam quasique receptacula lucis, non lucem die quarto esse conditam. et condita sunt omnino illa, quo lucem

καὶ φαίνειν ἐπὶ τῆς γῆς. τοῦτο δὲ πεποίηκεν ὁ θεός, ἵνα καταμερισθέν, ὥς φησι Θεοδώρητος, εἰς δέ γε καὶ τοὺς μι- B κροὺς καὶ μεγάλους φωστῆρας τὸ πρωτόγονον ἐκεῖνο φῶς αἴγλην ἐκπέμπῃ ταῖς τῶν ζώων ὄψεσι σύμμετρον. εἰ μὴ γὰρ τοῦτο ἦν, οὐκ ἂν ὀφθαλμοὺς ἔχοντα τὰ ζῶα τὴν ὑπερβολὴν τοῦ φωτὸς ἤνεγκεν. ἐπιβεβαιοῖ ταῦτα καὶ ὁ μέγας Βασίλειος λέγων „καλὸς μὲν ὁ ἥλιος, τουτέστιν ὁ δίσκος ὁ ἡλιακός, ἐν ᾧ ὥσπερ λύχνῳ τινὶ τὸ πρωτόγονον ἐκεῖνο ἐναπετέθη φῶς, καλὸς δὲ καὶ διὰ τὴν συμμετρίαν αὐτοῦ· οὔτε γὰρ διὰ τὴν ἐκείνου λεπτότητα τὸ πῦρ παρεξέρχεται καὶ καταφλέγει πάντα, οὔτε διὰ τὴν αὐτοῦ παχύτητα πρὸς ἡμᾶς ἀμβλυτέραν τὴν αὐτοῦ παραπέμπει ἐνέργειαν."

Πρὸ μέντοι τῆς τετάρτης ἡμέρας, ἤγουν πρὸ τοῦ δη- C μιουργηθῆναι τοὺς δίσκους, καθά φησιν Ἰουστῖνος ὁ φιλόσοφος καὶ μάρτυς Χριστοῦ καὶ ὁ λοιπὸς τῶν πατέρων κατάλογος, ὅλον διόλου τῷ ἀέρι περικεχυμένον οὔτε κίνησιν ὁμαλὴν διέτρεχεν οὔτε τῆς ἡμέρας τὰ μέτρα διώριζεν, ἀλλὰ συστελλόμενον πάροδον ἐδίδου τῇ νυκτί. „καὶ ἐγένετο" γάρ φησιν „ἑσπέρα, καὶ ἐγένετο πρωΐ ἡμέρα μία." τῷ δίσκῳ δὲ τῷ ἡλιακῷ συναιρεθὲν ὕστερον ἀμέμπτως τὸν δρόμον τῆς ἡμέρας ὁρῶν διὰ τοῦ σώματος ἐπιτελεῖ, κἀντεῦθεν ἀνατέλλων ὁ ἥλιος ἡμέραν ποιεῖ, δύνων δὲ ὑπὸ γῆν νυκτὸς αἴτιος γίνεται. ἡ γὰρ νὺξ αὕτη οὐδὲν

20. τῆς] τῶν τῆς?

illam primam reciperent ac in terra lucerent. hoc autem ita fecit deus, quemadmodum Theodoretus tradit, ut lux illa primigenia divisa in exigua pariter ac magna luminaria splendorem animantum oculis respondentem emitteret. nam absque hoc fuisset, animalia oculis praedita ferre splendorem lucis immoderatum non potuissent. idem magnus etiam Basilius his verbis confirmat: pulcrum sane quiddam est ipse sol, hoc est discus ille corporis solaris, in quo veluti lucerna quadam primigenia lux est collocata: verum non minus pulcritudinis atque bonitatis in eo situm est, quod usque adeo sit moderatus atque conveniens. nam neque propter subtilitatem omnia penetrat et exurit ipsus ignis, neque propter densitatem ad nos minus efficacem transmittit vim suam.

Caeterum ante diem quartum, hoc est priusquam ipsi siderum disci crearentur, quemadmodum Iustinus ille philosophus et Christi testis ait, consentiente cum hoc reliquorum patrum coetu, lux universa passim per aëra diffusa nec motu quodam aequabili ferebatur nec diei metas definiebat: sed quamprimum collecta fuisset, succedendi sibi potestatem nocti faciebat. sic enim litterae sacrae (Gen. 1 5) loquuntur „facto vespere ac mane dies unus exstitit." deinde vero cum disco solari compacta cursum diei destinatum accurate per

D ἄλλο ἐστὶν ἢ σκίασμα γῆς τοῦ ἡλίου τὴν γῆν ὑποτρέχοντος. ὠνομάσθη δὲ νὺξ τοῦτο τὸ σκότος, ἐπειδὴ καθεύδοντα νύττει τὸν ἄνθρωπον καὶ οὕτω λέγει μονονουχὶ πρὸς αὐτὸν „μάθε, ὦ ἄνθρωπε, ὅτι θνητὸς ὢν ὕπνῳ δουλεύεις." ὅτι δὲ κατανυγή ἐστιν ἡ νύξ, καὶ ὁ προφήτης ἐδήλωσε Δαβὶδ οὕτως εἰπὼν „ἃ λέγετε ἐν ταῖς καρδίαις ὑμῶν, ἐπὶ ταῖς κοίταις ὑμῶν κατανύγητε." κατὰ ταῦτα δὲ καὶ τὸ φῶς ἡδύ τι καὶ ἱλαρὸν ὂν ἡμέραν ἐκάλεσεν, ʽδιὰ τὸ ἥμεροῦν τὰ πάντα, ὥσπεροῦν καὶ τὰ χειροήθη τῶν ζώων ἥμερα διὰ τοῦτο καλοῦνται.

Οὕτω μὲν οὖν ἀνατέλλοντος τοῦ ἡλίου καὶ δύνοντος τὸ
P. 20 φῶς ἐξ ἀνάγκης καὶ τὸ σκότος παρέπεται, ἐναντία μὲν ἀλλήλοις, ἀναγκαῖα δὲ τοῖς ἀνθρώποις ἀμφότερα· τὸ μὲν γὰρ πρὸς ἐργασίαν συντελεῖ τοῖς ἀνθρώποις καὶ ὑποδείκνυσι τὰ ὁρώμενα, τὸ δὲ διαναπαύει αὐτοὺς καὶ τὸν ἐκ τῆς ἐργασίας διαλύει πόνον. ἡ μέντοι νὺξ καὶ κατὰ τοῦτο χρήσιμος τοῖς ἀνθρώποις εὑρίσκεται· μέση γὰρ καὶ αὕτη κειμένη τῶν ἡμερῶν μετρεῖσθαι τὸν χρόνον ποιεῖ. εἰ γὰρ ἀδιάδοχον ἐμεμενήκει τὸ φῶς, οὐκ ἂν ἐνιαυτῶν ἐμεμαθήκειμεν κύκλους, μία δὲ ἔδοξεν ἂν ἡμέρα πάντως εἶναι τοῦ παρόντος αἰῶνος τὸ μέτρον. ὅπερ ἕξειν τὸν προσδοκώμενον αἰῶνα πιστεύομεν·

ipsum solis corpus absolvit. itaque iam sol oriens diem efficit, sub terram vero semet abdens fit causa noctis. etenim aliud nihil est nox quam umbra terrae, nimirum sole sub terram occultato iterque suum urgente. et caligo istaec appellationem noctis accepit ex eo quod hominem dormientem pungat (νὺξ enim est a νύττειν) tantumque non his ad ipsum verbis utatur „scire debes, homo, te mortalem somno servire." ac huiusmodi quandam stimulationem esse noctem, ipse Davides (Psalm. 4 5) etiam verbis his indicavit: „quae dicitis in cordibus vestris, in cubilibus vestris pungimini." sic et lucem, tanquam rem laetam atque gratam, ἡμέραν dicimus a iucunditate, quemadmodum eadem de causa cicures bestias ἥμερα ζῶα, quasi animalia grata et amabilia vocamus.

Hoc igitur pacto sole tum oriente tum occidente vel lucem vel tenebras est sequi necesse; quae quidem res duae sibimet invicem adversantur, at ambae sunt hominibus utiles. lux enim ad opus faciundum homini usum non exiguum praestat, eidemque res sub aspectum cadentes commonstrat: tenebrae vero mortales per requietem vicissim fovent, conceptamque de labore molestiam omnem dissipant. etiam alia in parte noctem hominibus utilem esse deprehendimus. nam cum diebus interiecta sit, temporis mensuram efficit. quippe si lux continua citra successionem ullam foret, annorum orbes atque conversiones non animadvertissemus, sed totius aevi duratio dies omnino unus esse visus fuisset, id quod futurum in aevo

τοῖς γὰρ ἀθανάτοις ἰσουμένοις καὶ ἀδιαδόχοις τοιοῦτος καὶ ὁ αἰὼν ἁρμόττει. ἐπὶ δὲ τοῦ παρόντος καὶ μάλιστα ἔδει τὰ B μέτρα τοῦ χρόνου γινώσκειν, ἵνα παραθέοντα τοῦτον ὁρῶντες V. 16 ἡμεῖς αὐτῶν ἡμῶν ἐπιμελώμεθα καὶ πρὸς ἀποδημίαν ἑτοιμαζώμεθα· ὅθεν καὶ μεσολαβεῖν τὴν νύκτα πανσόφως ὁ θεὸς διετάξατο.

Καὶ οὕτω μὲν οἱ ὑποφῆται τοῦ πνεύματος περὶ τῆς ἐξ ἀρχῆς τῶν ἀστέρων παραγωγῆς καὶ συστάσεως καὶ φρονοῦσι καὶ λέγουσιν· οἱ δὲ ἐπὶ κενοῖς ἀεὶ ματαιάζοντες, οἱ σοφοὶ C μὲν εἶναι φάσκοντες, μωρανθέντες δὲ κατὰ Παῦλον εἰπεῖν, μυρίαις ἐπὶ τούτοις δόξαις ἑαυτοὺς ἐκδεδώκασιν. αὐτίκα γὰρ ὁ Ἀναξαγόρας τοιάδε περὶ τῆς τῶν ἀστέρων ἐκενολόγησε φύσεως· ἀπὸ γὰρ τῆς τοῦ παντὸς περιδινήσεως πέτρας εἶπεν ἀνασπασθῆναι, καὶ τούτους ἐκπυρωθέντας καὶ ἄνω παγέντας ἀστέρας ὀνομασθῆναι. τὰ αὐτὰ δὲ καὶ Δημοκρίτῳ περὶ τούτου δοκεῖ. ὁ δὲ Διογένης κισσηροειδεῖς ἔφησε τούτους εἶναι, διαπνοάς τινας ἔχοντας. ἀλλὰ καὶ ἐμπίπτειν εἰς τὴν γῆν τινὰς ἐξ αὐτῶν ἀπομάχεται, καὶ σβεννυμένους ἐλέγχεσθαι ὅτι λίθων ἔχουσι φύσιν. καὶ μάρτυρι χρῆται τῷ ἐν Αἰγὸς D ποταμοῖς πυροειδῶς κατενεχθέντι ποτέ. ὁ δὲ Ἀναξίμανδρος συστήματά τινα τοῦ ἀέρος πυρὸς ἔμπλεα, τροχοειδῶς πεπιλημένα, ἀπό τινων στομίων ἀφιέντα τὰς φλόγας. ὁ δέ γε

18. καὶ deerat.

deinceps secuturo credimus. nam cum in eo futuri simus immortales et vicissitudinum expertes, aevum quoque tale nobis conveniet. at in hoc aevo maximopere cognitas nobis esse temporis mensuras oportebat, ut celeriter illud praeterlabi cernentes solliciti de nobis essemus ac nosmet ad migrandum pararemus. atque hac de causa per profecto sapienter deum noctes diebus interieciisse videmus.

Hoc modo sancti spiritus discipuli de siderum creatione atque ortu sentiunt et loquuntur. at vero vanorum dogmatum sectatores, qui sapientes se quidem praedicant, sed de Pauli (Rom. 1 22) sententia facti sunt desipientes, tantum non infinitis hac in parte dissident opinionibus. etenim Anaxagoras de natura siderum hoc modo, per profecto stolide, disseruit. per circumagitationem universitatis rerum saxa quaedam sursum rapi dixit, eaque deinceps inflammata sursumque fixa vocari sidera. idem et Democrito visum. at Diogenes pumici consimilia tradidit esse et quasdam perspirationes habere. contendit et nonnulla ex eis in terram delabi, quorum flammis extinctis animadvertatur esse naturam siderum lapideam. hanc ad rem confirmandam testimonio delapsi quondam ad Caprae flumina (loci nomen hoc est) lapidis candentis utitur. secundum hos Anaximander sidera voluit esse compages quasdam aëreas, igne refertas, quae ro-

Ξενοφάνης τὸν ἥλιον καὶ τὴν σελήνην πεπυρωμένα νέφη ἔφησαν εἶναι, ἄλλοι δὲ μύδρον ἢ πέτρον διάπυρον ἔλεγον εἶναι. Φιλόλαος δὲ ὑαλοειδῆ τοῦτον ἐφιλοσόφει, δεχόμενον μὲν τοῦ ἐν τῷ κόσμῳ πυρὸς τὴν ἀνταύγειαν, διηθοῦντα δὲ πρὸς ἡμᾶς. καὶ ταῦτα μὲν οἱ σοφοὶ τὰ μάταια περὶ τῆς τῶν ἀστέρων ἐφρόνησαν φύσεως· τὸν γὰρ ποιητὴν αὐτῶν ἠγνοηκότες θεὸν αἰτίαν ἔμφρονα τῆς τῶν ὅλων γενέσεως προεστάναι οὐ συνεχώρησαν. ἔνθεν τοι καὶ ἀποκλαιόμενος αὐτοὺς ὁ μέγας Βασίλειος κατακριθῆναι λέγει καὶ πλέον τῶν ἄλλων ἐν ἡμέρᾳ τῆς P. 21 κρίσεως, ὅτι οὕτως ὀξὺ πρὸς τὰ μάταια βλέποντες, ἑκόντες πρὸς τὴν σύνθεσιν τῆς ἀληθείας ἀπετυφλώθησαν.

Ὅσα δὲ καὶ περὶ μεγέθους ἐφιλοσόφησαν τοῦ τε ἡλίου καὶ τῆς σελήνης, τί χρὴ καὶ λέγειν; Ἀναξίμανδρος μὲν γὰρ καὶ Ἀναξιμένης ἑπτακαιεικοσιπλασίονα τῆς γῆς τὸν ἥλιον ἔφησαν εἶναι, Ἀναξαγόρας δὲ Πελοποννήσου μείζονα. καὶ ἕτεροι πάλιν ποδιαῖον τὸν τοιοῦτον ἐφρόνησαν ἥλιον. τὰ αὐτὰ δὲ καὶ περὶ σελήνης διεξιόντες εὑρίσκονται. οἱ μὲν γὰρ μεί- B ζονα τῆς γῆς, οἱ δὲ πάλιν ἰσόμετρον, ἄλλοι δὲ ἐλάσσονα· καὶ ἕτεροι σπιθαμιαίαν εἶναι τὴν σελήνην διισχυρίζονται, καὶ οὐκ αἰσχύνονται τῆς μὲν θαλάττης τὸ βάθος ἀγνοοῦντες, ἔνθα καὶ ὁρμιὰν καθεῖναι δύνανται, τὸ δὲ ἀπὸ γῆς ἄχρι σε-

11. σύνεσιν? 21. μεθεῖναι P.

tae in morem compactae ex osculis quibusdam flammas evomant. Xenophanes vero solem ac lunam esse nubes ignitas dixit, aliis volentibus esse globum ferreum candentem vel saxum quoddam ignitum. Philolaus solem existimabat esse vitro consimilem, quod splendorem ignis mundani ad se delatum recipiat et quasi percolatum ad nos transmittat. hae sapientum illorum, vanae profecto, de natura siderum sententiae fuerunt. nam cum auctorem ipsorum deum ignorarent, minime concedebant causam quandam rationis et prudentiae participem ortui rerum esse praeficiendam. quo fit ut Basilius ille magnus eos deplorans futurum ut magis in die iudicii condemnentur quam alii dicat, quod tam acutum ad vana cernentes sponte sua veritatis in pervestigatione caecutiverint.

Iam vero quam multa iidem de magnitudine tam solis quam lunae commentati sint, quid attinet commemorare? Anaximander et Anaximenes solem terra vicies ac septies maiorem esse dixerunt, Anaxagoras maiorem Peloponeso: alii cum pedis unius ipsi longitudinem haberent, tantum etiam solem esse voluerunt. eadem de luna quoque tradita reperiuntur. fuerunt enim nonnulli qui eam terra maiorem facerent, cum alii parem utriusque magnitudinem statuerent, alii terra minorem, alii palmarem solum esse confirmarent. adeoque non veritum est eos profunditatem maris ignorantes, quae tamen

λήνης κἀκεῖθεν ἄχρις ἡλίου διάστημα εἰδέναι φιλοτιμούμενοι.

Καὶ οἱ μὲν διαληφθέντες ἄνωθεν ἄνδρες περὶ παραγωγῆς ὁμοῦ καὶ μεγέθους τῶν δύο φωστήρων οὑτωσὶ διειλήφασιν· ὁ δὲ τὰ θεῖα σοφὸς καὶ μέγας Βασίλειος εἰς ἀπόδειξιν τοῦ μεγέθους αὐτῶν καὶ τάδε προστίθησιν. ἀπείρων ὄντων τῷ πλήθει τῶν κατ' οὐρανὸν ἀστέρων, τὸ παρ' αὐτῶν συνερανιζόμενον C φῶς οὐκ ἐξαρκεῖ διαλῦσαι τῆς νυκτὸς τὴν κατήφειαν. μόνος δὲ ὁ ἥλιος ὑπερφανεὶς τοῦ ὁρίζοντος, μᾶλλον δὲ ἔτι καὶ προσδοκώμενος, ἠφάνισε μὲν τὸ σκότος, ὑπερηύγασε δὲ τοὺς ἀστέρας, καὶ πεπηγότα τέως καὶ συμπεπιλημένον τὸν περὶ γῆν ἀέρα κατέτηξέ τε καὶ διέχεεν, ὅθεν καὶ ἄνεμοι V. 17 ἑωθινοὶ καὶ δρόσοι ἐν αἰθρίᾳ τὴν γῆν περιρρέουσι. τοσαύτην δὲ οὖσαν τὴν γῆν πῶς ἂν ἠδυνήθη ἐν μιᾷ καιροῦ ῥοπῇ τὴν πᾶσαν καταφωτίζειν, εἰ μὴ ἀπὸ μεγάλου τοῦ κύκλου κατέπεμπε τὴν αὐγήν;

Οὕτω μὲν οὖν καὶ ἐπὶ τῆς σελήνης ἔστιν ἰδεῖν. μέγα γὰρ D καὶ τὸ σῶμα τὸ τῆς σελήνης, καὶ φανότατόν γε μετὰ τὸν ἥλιον. ἐπὶ γὰρ τούτων καὶ ἡ ἁγία ἔφη γραφή „καὶ ἐποίησεν ὁ θεὸς τοὺς φωστῆρας τοὺς μεγάλους." μεγάλους δὲ εἶπεν αὐτοὺς οὐκ ἐπειδὴ μείζους τῶν μικροτέρων ἀστέρων εἰσίν, ἀλλ' ἐπειδὴ τοσοῦτοι τὴν περιγραφὴν ὥστε ἐξαρκεῖν τὴν ἀπ' αὐ-

19. τούτῳ P.

deiecta nautica linea explorari potest, intervallum quod est inter lunam et terram ac vicissim inter solem ac lunam cognitum esse sibi singulari cum ambitione profiteri.

Et hactenus quidem de ortu magnitudineque horum siderum, quae fuerint illorum quos diximus opiniones, indicavimus. caeterum peritissimus ille rerum sacrarum eximiusque vir Basilius ad demonstrationem magnitudinis eorum hoc etiam adiecit. quanquam infinita prope numero sint in coelo sidera, tamen omnis illorum lux in unum quasi collecta non satis est efficax ad tristitiam noctis dissipandam, cum sol unicus supra circulum illum finitorem conspectus congelatum quasique spissatum ante id aëra terrae vicinum liquare possit ac diffundere. hinc fit ut ventos matutinos habeamus, et sereno coelo rores terram perfundant. tantae vero magnitudinis terram quo pacto sol universam uno temporis momento collustrare posset, si non ab ingenti quodam orbe splendor ipsius promanaret?

Idem in luna quoque videre est. nam magnum illius corpus est, ac secundum solem splendidissimum. etenim ad hanc quoque referri debet, quod in sacris litteris (Gen. 1 16) dicitur „creavit deus luminaria magna." quibus in verbis magna dicuntur non eorum ad sidera minora comparatione instituta, sed quia tanta sunt amplitudine, ut

τῶν χεομένην αὐγὴν καὶ οὐρανὸν περιλάμπειν καὶ τὸν ἀέρα, καὶ ὁμοῦ τε τῇ γῇ πάσῃ καὶ τῇ θαλάσσῃ συμπαρεκτείνεσθαι. μὴ οὖν ἀπατάτω σε τουτὶ φαινόμενον, μηδὲ πηχυαῖον αὐτὸν εἶναι νόμιζε· ἡ γὰρ ὄψις ἡμῶν ἐνδαπανηθεῖσα τῷ ἀέρι
P. 22 κἀντεῦθεν ἐξίτηλος γεγονυῖα πρὸς τὴν ἀκριβῆ κατάληψιν τῶν δρωμένων οὐκ ἐξαρκεῖ. κατ' ἔκπληξιν λοιπὸν καὶ κατὰ σύγκρισιν μέγαν ἐκάλεσε τὸν ἥλιον ἡ γραφή. ὅρα γὰρ ὅτι καὶ τὰ κήτη τὰ μεγάλα μεγάλα εἶπεν ἡ γραφὴ οὐχ ὅτι καρίδος καὶ μαινίδος μείζονά εἰσιν, ἀλλ' ὅτι μεγίστοις ἐοίκασιν ὄρεσι τῆς θαλάττης πολλάκις ὑπερνηχόμενα. καὶ ἐποίησεν ὁ θεὸς τοὺς φωστῆρας τοὺς μεγάλους. καὶ πῶς γὰρ οὐ μέγας ὁ ἥλιος, εἴγε καὶ τῆς γῆς αὐτῆς πολλαπλασίων ἐστί; καὶ γὰρ εἰ μὴ τοῦτο ἐτύγχανεν, οὐκ ἂν ὑπερφανεὶς τοῦ ὁρίζοντος τῇ οἰκείᾳ τηνικαῦτα δυνάμει συμπεριείληφε ξύμπαντα.

B Μέγα μέν, ὡς προείρηται, καὶ τὸ τῆς σελήνης σῶμα, καὶ φανότατόν γε μετὰ τὸν ἥλιον. εἰ γὰρ καὶ μὴ διόλου τὸ φῶς αὐτῆς ἀμετακίνητον μένει, ἀλλὰ καὶ τοῦτο ἀρρήτου σοφίας τοῦ δημιουργοῦ πάντων, ὥστε τῷ κατὰ τὴν σελήνην θεάματι παιδεύεσθαι ἡμᾶς τὰ ἡμέτερα δὲ καὶ τῆς ταχείας τῶν ἀνθρωπίνων περιτροπῆς ἐντεῦθεν εἰς ἔννοιαν ἔρχεσθαι. οἶμαι δὲ καὶ τῇ τῶν ζώων κατασκευῇ καὶ τοῖς λοιποῖς τοῖς ἀπὸ γῆς φυομένοις μὴ μικρὰν ὑπάρχειν ἐκ τῆς κατὰ τὴν

profectus ab iis splendor coelum ipsum collustrare possit et aëra, simulque semet ad terram ac mare totum porrigere. quapropter cave ne persuasionem de hoc sidere falsam sequaris, nec magnitudinem eius esse cubitalem existimes. etenim adspectus noster in aëre velut absumptus ac deminutus ad comprehensionem illorum, quae supra nos conspicimus, haudquaquam sufficit. itaque litterae sacrae solem magnum appellant ex admiratione quadam ac stupore, non comparationis alicuius ratione. nam et cetos sive balaenas eaedem magnas vocant, non quod vel squilla vel halece maiores sint, sed quod montibus etiam maximis sint consimiles, cum in superficie maris natant. creavit ergo deus luminaria magna. et quo pacto sol non magnus sit, si quidem eum multis terra partibus esse maiorem constat? nam absque illo foret, non supra circulum finitorem conspectus vi sua cuncta complecteretur.

Itidem ut modo indicabamus, lunae quoque corpus ingens est ac secundum solem lucidissimum. nam quod lux eius non prorsus immobilis est, id vero ad sapientiam illam rerum opificis ineffabilem referri debet. adeoque lunam inspectantes de rerum nostrarum statu et conditione nos erudiri sciamus, ut hinc moniti de celeri rerum humanarum eversione cogitemus. quanquam praeterea non parum prodesse mutationem illam lunae tam ipsis animantibus quam caete-

σελήνην μεταβολῆς τὴν συντέλειαν· ἄλλως γὰρ διατίθεται C μειουμένης αὐτῆς καὶ ἄλλως αὐξομένης τὰ σώματα, νῦν μὲν ληγούσης ἀραιὰ γινόμενα καὶ κενά, νῦν δὲ αὐξομένης καὶ πρὸς τὸ πλῆρες ἐπαγομένης καὶ αὐτὰ πάλιν ἀναπληρούμενα, διότι ὑγρότητά τινα θερμότητι κεκραμένην ἐπὶ τὸ βάθος φθάνουσα λεληθότως ἐνίησι. δηλοῦσι δὲ τοῦτο καὶ οἱ καθεύδοντες τῆς ὑπὸ σελήνης ὑγρότητος περισσῆς τὰς τῆς κεφαλῆς εὐρυχωρίας πληρούμενοι, ἔτι δὲ τὰ νεοσφαγῆ τῶν κρεῶν τῇ προσβολῇ τῆς σελήνης ταχέως τρεπόμενα. κατὰ τοῦτο καὶ ἐφ' ἅρματος αὐτὴν καὶ δύο ταύρων καθίζουσιν ὡς κυκλοῦσαν τὸν κόσμον καὶ ἀροτριῶσαν καὶ σπείρουσαν, ὑγραίνουσάν τε καὶ θερμαίνουσαν. ταῦτα δὲ πάντα οὐκ ἂν ἐξήρκεσε τῇ ἑαυτῆς D ἀλλοιώσει συμμεθιστᾶν, εἰ μή γε κατὰ τὴν τῆς γραφῆς μαρτυρίαν ὑπερφυής τις ἐτύγχανε τῇ δυνάμει τε ὑπερέχουσα. οὕτω μὲν οὖν ἐκ τῆς αἰτίας ταύτης καὶ τὰ κατὰ τὸν ἀέρα πάθη συνίστανται, ὡς μαρτυροῦσιν ἡμῖν αἱ κατὰ τὴν νουμηνίαν πολλάκις ἀπὸ γαλήνης καὶ νηνεμίας αἰφνίδιοι ταραχαὶ τῶν νεφῶν κλονουμένων καὶ συμπιπτόντων ἀλλήλοις, αἱ περὶ τοὺς V. 18 εὐρίπους τε παλίρροιαι, καὶ ἡ περὶ τὸν λεγόμενον Ὠκεανὸν ἄμπωτις, ἣν ταῖς περιόδοις τῆς σελήνης τεταγμένως ἑπομένην

ris e terra nascentibus rebus equidem arbitror. nam aliter adfecta sunt corpora luna deminuta quam esse soleant eadem augescente. quippe cum deficit ac imminuitur, laxa sunt atque vacua: cum augescit et ad plenitudinem suam properat, corpora quoque rursum repleri videmus; idque propterea quod humorem quendam cum calore temperatum et ad ima usque pertinentem quasi tacite corporibus immittat. animadverti hoc de iis quoque potest, qui ad lunam dormientes superfluo humore capitis capacitatem omnem repleri sentiunt. itidem carnes recens mactatorum animalium ad lunam expositae et ab eius radiis attactae cito mutantur ac putrescunt. ea de causa lunam in curru, duobus tauris adiunctis, collocant, tanquam mundum hunc ambientem, arantem, sementem in eo facientem, humectantem atque calfacientem. haec omnia vero per immutationem illam corporis sui perficere nequaquam posset, si non eximiae cuiusdam magnitudinis singulari cum vi et efficacitate coniunctae, quemadmodum et litterae sacrae testantur, esset. atque hac sane de causa videmus et aëris adfectiones certas existere, quemadmodum declarant exortae saepenumero novilunii tempore de summa tranquillitate, ventorum omnium experte, perturbationes aëris repentinae, nubibus inter se collisis quasique confligentibus. declarant et fluxus ac refluxus aquarum in euripis, illaque ipsa quae fit in Oceano (quem vocant) maris reciprocatio, quam quidem homines littoribus marinis finitimi per statas vices lunae circuitus sequi deprehenderunt. hacte-

P. 23 ἔξευρον οἱ προσοικοῦντες. ταῦτα μὲν οὖν καὶ ὁ μέγας διαλαμβάνει Βασίλειος, ἀποδεῖξαι θέλων τῶν φωστήρων τούτων τὸ μέγεθος.

Σὺ δέ, ἀγαπητέ, πρὸς τοῖς εἰρημένοις τοῦτο γίνωσκε ὅτι πάντες μὲν οἱ λοιποὶ ἀστέρες ἴδιον ἔχουσι φῶς, ἐκεῖνο δηλαδὴ τὸ πρώτως καταμερισθὲν καὶ δοθὲν αὐτοῖς, μόνη δὲ ἡ σελήνη φῶς οὐ κέκτηται ἴδιον. εἰ γὰρ καὶ λέγουσί τινες ἀμυδρὸν καὶ ταύτην κεκτῆσθαι φῶς, ἀλλ' αἱ αὐξομειώσεις πάντως αὐτῆς, ἐν αἷς μηνοειδὴς ὁρᾶται καὶ πλησιφαὴς καὶ ἀμφίκυρτος, ἐξ ἡλίου ταύτῃ προσγίνονται κατὰ τὴν ποιὰν αὐτῶν συμπλοκὴν καὶ διάστασιν. μάνθανε οὖν ὅτι φῶς ἀλ-
B λότριον ἡ σελήνη ἐνδύεται, καὶ ὅτι τὸ μέρος ἐκεῖνο παρ' ἡλίου φωτίζεται ὃ πρὸς αὐτὸν νένευκε, δηλονότι τὸν ἥλιον. καὶ δῆλον ἐκ τῆς ἐμπιπτούσης ἡμῖν ἡλιακῆς ἀκτῖνος. ἐνίοτε γὰρ ἑτέρως καὶ ἄλλοτε ἄλλως ὑπ' αὐτῆς αὐγαζόμεθα, κατὰ τὴν τοῦ ἡλίου πάντως θέσιν καὶ κίνησιν. εἰ γὰρ καὶ κατὰ τὸν τῆς συνόδου καιρὸν τὸ πρὸς ἡμᾶς τοῦ σεληναίου σώματος μέρος πάντῃ καθορᾶται ἀφώτιστον, ἀλλὰ τὸ ἀνώτερον ἐκεῖνο καὶ νεῦον πρὸς ἥλιον ἐν τῷ τῆς συνόδου καιρῷ κατ' ἐκεῖνο τὸ μέρος δέχεται καὶ τὸ φῶς καθ' ὃ πρὸς ἥλιον ἀφορᾷ. οὕ-
C τω μὲν οὖν καὶ ἐν ταῖς πανσελήνοις ἔστιν ἰδεῖν· ὁλολαμπῆ γὰρ τὴν σελήνην τηνικαῦτα ὁρῶμεν ἅτε τὰς ἡλιακὰς ἐκ δια-

17. τῆς deerat.

nus quae de his magnus ille Basilius complexus est, dum horum luminarium magnitudinem demonstrare nititur.

Debes autem, dilecte fili, praeter iam indicata illud etiam animadvertere, caetera quidem universa sidera suum ac peculiare quoddam habere lumen, ab initio scilicet eis distributum atque datum, lunam vero lumine proprio destitui. quanquam enim nonnulli tradant ipsam quoque lumen obscurum habere, tamen existimandum est omnino lucis incrementa, quibus fit ut vel in cornua falcata vel pleno resplendens lumine vel dimidiata maior conspiciatur, in ea per solem effici, prout inter se congrediuntur aut disiunguntur. lunam igitur lucem alienam velut induere scias, eamque partem ipsius a sole collustrari quae soli obversa est. potest hoc ex ipsis ad nos delabentibus radiis solis animadverti. nam aliter atque aliter pro diverso tam situ quam motu solis ab eis nos quoque collustramur. quodsi maxime in horum siderum coitu nobis obversa corporis lunaris pars omnino lucis expers conspicitur, nihilominus eiusdem pars superior solemque spectans hoc ipso tempore lumen illius recipit, qua soli scilicet est obversa. licet hoc et in pleniluniis deprehendere: quippe lunam id temporis toto corpore suo lucentem conspicimus, uti quae ex adverso collocati solis

μέτρον δεχομένην αὐγάς, ὡς ἐντεῦθεν τὸ λοιπὸν μέρος τοῦ δίσκου, τὸ ἀφανὲς δηλονότι καὶ ὄπισθεν, κατανοεῖσθαι ἀφώτιστον.

Ὅτι δὲ ταῦτα οὕτως ἔχει, καὶ ὅτι ἐξ ἡλίου τὸ φῶς ἡ σελήνη δανείζεται, σαφῶς ἄρα τοῦτο μάθῃ τις ἂν ἐξ αὐτῶν τῶν τῆς σελήνης ἐκλείψεων. καὶ πῶς ἄκουε. κατὰ διάμετρον οἱ φωστῆρες ἑστήκασι, μεταξὺ δὲ τούτων αὐτὸ τὸ σῶμα τῆς γῆς ἀπῃώρηται. αἱ ἡλιακαὶ τοίνυν ἀκτῖνες ὁρμῶσι μὲν ὡς ἔθος διαβιβασθῆναι καὶ τῷ σεληναίῳ δίσκῳ χορηγῆσαι τὴν D ἔλλαμψιν, οὐ φθάνουσι δὲ ὅμως ἐκεῖσε καταλαβεῖν ἅτε δὴ μεσολαβοῦντός πως καὶ ἀντιφράττοντος τοῦ τῆς γῆς, ὡς εἴπομεν, σώματος. καὶ μή μοι λέγε ὡς εἴγε ταῦτα τοῦτον ἔχει τὸν τρόπον, ἵνα τί μὴ καθ' ἕκαστον διάμετρον ἡ τῆς σελήνης ἔκλειψις γίνεται; οὐδὲ γὰρ ἐπιτηδείως ἔχω περὶ τούτου κατὰ τὸ παρὸν ἀποκρίνεσθαί σοι· καὶ τούτου ἕνεκεν σύγγνωθι. οἱ γὰρ περὶ τὰ τοιαῦτα ἠσχολημένοι συνδέσμους τινὰς ἐκλειπτικοὺς οὕτω καλουμένους ἐν ταῖς συνοδοπανσελήνοις ἐξ ἀνάγκης προσγίνεσθαι. οὐδὲ γὰρ τὸ σῶμα μόνον εἴτε τῆς σελήνης, ὡς ἐπὶ τοῦ ἡλίου, εἴτε τῆς γῆς, ὡς ἐπὶ τῆς σελήνης, ἀντίφραξιν ποιῆσαι δύναται, εἰ μή που καὶ σύν- P. 24 δεσμός τις ἐκλειπτικὸς ἐκεῖσε εὑρεθείη, ὡς ἄγονται.

20. δύνανται P. 21. ἄγονται] ἥγηνται?

radios excipit; qua de causa pars globi eius reliqua, sub adspectum nostrum haud cadens, nimirum posterior, esse lucis expers intelligitur.

Haec ita se habere, lunamque adeo lucem a sole quasi commodato capere, de ipsis lunae defectibus animadvertere quis potest. id autem qui fiat, accipe. sunt id temporis haec luminaria sibi ex adverso rectam ad lineam opposita, terraeque corpus inter ea medio quasi loco pendet. itaque radii solares pro more suo penetrare quidem illi conantur lunaeque globo splendorem impertiri: verum minime ad illum pertingere possunt propter interiectum, ceu diximus, terrae corpus, quod iter ipsis obstruit. nec obiicere nobis hoc loco debes, quamobrem non fiat, siquidem ita res comparata sit, lunae defectus in qualibet ad rectam lineam oppositione. nam hoc loco non satis idonee responderi ad id potest, quod ipsum aequi bonique facies. etenim homines in hisce disciplinis exercitati tradunt nodos quosdam eclipticos (sic enim appellant) in congressibus, qui plenilunii tempore fiunt, nonnunquam permisceri, eoque modo solis ac lunae defectus necessario accidere. nec enim solum corpus sive solis sive lunae oppositionem hanc efficere potest, si non ibidem quoque nodus quidam eclipticus reperiatur, uti iam indicavimus.

*Καὶ κυρίως ἔκλειψις ἐπ' αὐτῆς ἂν λέγοιτο τῆς σελήνης·
ὅτι γὰρ φῶς ἡλιακὸν ἀμφιέννυται, τοῦτο πάλιν δι' ἣν αἰτί-
αν εἴπομεν, ἀπεκδύεται. ἐπὶ δὲ τοῦ ἡλίου οὐκ ἔκλειψιν ἀλλ'
ἐπισκότωσιν λέγειν ἐμάθομεν. οὐδὲ γὰρ τὸ ἡλιακὸν ἐκλείψει
ποτὲ φῶς· ἀλλ' ὑποτρέχοντος ἐν τῷ τῆς συνόδου καιρῷ τοῦ
σώματος τοῦ σεληναίου οἷα περιγειοτέρου τυγχάνοντος, καὶ
οὕτω ταῖς ἡλιακαῖς ἀκτῖσιν ἐπιπροσθοῦντος, ὁ ὑπὲρ κεφαλῆς
ἡμῶν ἀὴρ ζόφῳ τηνικαῦτα καθυποβάλλεται, ἅτε δὴ μὴ βαλ-
B λομένων αὐτῶν κάτωθεν καὶ φωτιζουσῶν τὸ περίγειον.*

V. 19 *Εἰ δὲ καὶ τοῦτο ζητεῖς μετὰ τῶν ἄλλων μαθεῖν, πῶς ἡ
σελήνη μόνη καὶ τίνι τρόπῳ μὴ σχοῦσα φῶς ἀρχῆθεν ἴδιον
ἐξ ἡλίου τοῦτο δανείζεται, εἰδέναι ὀφείλεις ὡς οὐκ ἀπορῶν
ἑτέρου φωτὸς ὁ δημιουργὸς καὶ κτίστης πάντων θεὸς τὴν
καινοτομίαν ταύτην εἰσήνεγκεν, ἀλλ' ἵνα ῥυθμὸς καὶ τάξις
ἐντεθῇ τῇ κτίσει, κατά γε τὸν Δαμασκηνὸν Ἰωάννην, ἄρχον-
τος καὶ ἀρχομένου, καὶ ἵνα παιδευθῶμεν ἐκ τούτου καὶ ἡμεῖς
κοινωνεῖν ἀλλήλοις καὶ μεταδιδόναι, ἀνακρίνειν τε τῶν γινο-
μένων μηδέν, ἀλλ' ἐπὶ πᾶσι καλῶς ὑποτάσσεσθαι.*

C *Πρὸς τούτοις δὲ καὶ ἕτερον ἡμῖν ὑπεμφαίνει παράδοξον
ἡ σελήνη ἐκλείπουσα, ὡς ὁ θειότατός φησιν Ἀναστάσιος·
καθάπερ γὰρ αὕτη ζόφῳ καθυποπίπτει μεσολαβούσης τῆς γῆς*

Et proprie luna deficere dicitur: qua enim luce solari vestita est, ea de causa commemorata rursus exuitur atque spoliatur. in sole non defectum, sed obscurationem appellare didicimus. nec enim lux solaris unquam deficit: sed quia coitus horum siderum tempore lunare corpus, quod terrae vicinius est, medio se interiicit loco radiisque solaribus officit, aër ille supra nos caligine quadam involvitur, non demissis ad nos ullis radiis, qui terrae proxima luce sua collustrarent.

Quodsi etiam cognoscere cupis inter alia, qui fiat ut luna sola primo in rerum exordio lucem nullam propriam consecuta commodato eam a sole capiat, scire debes non hoc propterea novo quasi quodam more factum divinitus, quod opifex et creator ille universitatis huius aliam lucem nullam haberet, sed tum uti concinnitas et ordo quidam creatis inderetur, quemadmodum Damascenus ille Iohannes ait, qui ordo inter superiorem et inferiorem consisteret, tum uti nos etiam erudiremur debere nos invicem alios cum aliis nostra communicare, nec quicquam eorum quae fiunt scrupulose perquirere, sed in omnibus praeclare nosmet summittere.

Praeterea quiddam aliud quoque novum nobis luna deficiens indicat, quemadmodum vir divinus Anastasius tradit. quemadmodum enim a tenebris illa occupatur ob interiectam terram, quae ab ea radios solares avertit, sic etiam ecclesia peccato interveniente tenebris

κἀντεῦθεν τὰς ἡλιακὰς ἀκτῖνας ἀποστρεφούσης, οὕτω καὶ ἡ ἐκκλησία μεσολαβούσης τῆς ἁμαρτίας σκότους ἐμπίπλαται κατ' ἀποστροφὴν πάντως τοῦ νοητοῦ ἡλίου. καλῶς οὖν ἔλεγε καὶ ὁ μακάριος Παῦλος „πάντα εἰς Χριστὸν προτετύπωται." ὅτι δὲ ἡ σελήνη αὕτη τῆς ἐκκλησίας εἰκόνα φέρει, ὡσαύτως ὁ αἰσθητὸς οὗτος ἥλιος τοῦ νοητοῦ ἡλίου, αὐτοῦ δηλαδὴ τοῦ Χριστοῦ, τοῦ προφήτου Ἀβακοὺμ ἄκουε λέγοντος D „ἐπήρθη ὁ ἥλιος, καὶ ἡ σελήνη ἔστη ἐν τῇ τάξει αὐτῆς." κατὰ γὰρ τὸν τὰ τοιαῦτα ἐξηγούμενον μέγαν Κύριλλον ἡ ἐκκλησία πρότερον ἐν ἀταξίᾳ ἐτύγχανεν ἅτε τοῖς δαιμονίοις λατρεύουσα, ὕστερον δὲ τοῦ νοητοῦ ἡλίου ἐπαρθέντος ἐν τῷ σταυρῷ ἐν εὐταξίᾳ γέγονε πρὸς αὐτὸν ἐπιστραφεῖσα τὸν κύριον. καὶ τοῦτο δεδήλωκεν αὐτὸς ὁ Χριστὸς οὕτως εἰπών „ὅταν ὑψωθῶ, τότε πάντας ἑλκύσω πρὸς ἐμαυτόν."

Γίνωσκε δέ, ἀγαπητέ, ὅτι καὶ διὰ ταῦτα μὲν ἐκλείπειν ὁ ἥλιος καὶ ἡ σελήνη συγκεχώρηται, οὐ τοσοῦτον δὲ ὅσον τὴν τῶν προσκυνούντων αὐτὰ διελέγχεσθαι ἄνοιαν, κἀντεῦθεν παιδεύεσθαι ὅτι τρεπτὰ ταῦτα καὶ ἀλλοιωτόν. πᾶν δὲ P. 25 τρεπτὸν οὐ θεός.

Καὶ τοιαῦτα μὲν οἱ ἀστέρες ἐκ τῶν ἐν αὐτοῖς συμπιπτόντων διδάσκουσι τοὺς λόγου μετέχοντας. κατὰ τοῦτο καὶ ὁ θεόπτης ἔλεγε Μωσῆς „καὶ ἔθετο ταῦτα εἰς σημεῖα καὶ εἰς καιροὺς καὶ ἡμέρας καὶ εἰς ἐνιαυτούς." διὰ γὰρ αὐτῶν τοι-

involvitur propter aversionem solis illius intellectilis. iccirco praeclare dictum a Paulo (1 Cor. 10 11) Christi figuras omnia repraesentare. lunam quidem ecclesiae referre imaginem, et consimiliter solem hunc sensilem solis illius intellectilis qui Christus est, de vatis Abacumi (3 11) verbis intelligas licet, qui ait „sol elevatus est, et luna stetit in ordine locoque suo." nam ecclesia, quemadmodum interpres horum verborum magnus ille Cyrillus inquit, prius erat in confusione, cum malos genios coleret. verum ubi deinceps intellectilis ille sol in crucem elevatus est, suum in ordinem rediit, ad dominum conversa. significare voluit hoc ipse Christus (Ioh. 12 32), cum diceret „cum sublatus fuero, tunc omnes ad me traham."

Et animadvertito, dilecte fili, non tam propterea quae diximus, permittere deum ut sol atque luna deficiant, quam ut haec sidera religiose colentum amentiam coarguat, et nos erudiat ut esse omnia mutationibus obnoxia sciamus. quicquid autem mutationibus obnoxium est, numen esse nequit.

Huiusmodi quaedam per ea quae sideribus accidunt, homines rationis compotes docentur. iccirco spectator ille dei Moses (Gen. 1 14) inquit „constituit ea in signa tempora, dies, annos." prout enim

ὧνδε ἢ τοιῶνδε τοῖς χρώμασιν ἀνατελλόντων τήν τε χειμερινὴν τοῦ ἀέρος κατάστασιν καὶ τὴν εὐδιεινὴν σημειούμεθα. δι' αὐτῶν αἱ τροπαί, δι' αὐτῶν οἱ καιροί, ἔαρ δηλαδή, θέρος, μετόπωρον καὶ χειμών· ὁ γὰρ ἥλιος τὸν ζωδιακὸν ἠρέμα διοδεύων κύκλον, καὶ ποτὲ μὲν τῷ καρκίνῳ παραγενόμενος ποτὲ δὲ τῷ ζυγῷ
B καὶ ἄλλοτε πάλιν ἐν τῷ αἰγοκέρωτι, τὰς διαληφθείσας τέσσαρας εἰσφέρει τροπάς. δι' αὐτῶν αἱ ἡμέραι, δι' αὐτῶν οἱ ἐνιαυτοί. τῷ γὰρ οὐρανῷ συμπεριφερόμενος ὁ ἥλιος ποιεῖ τὸ νυχθήμερον, ἰδίᾳ δὲ τὴν ἑαυτοῦ ποιούμενος δίοδον καὶ ἀπὸ ζωδίου μεταβαίνων εἰς ζώδιον τὸν ἐνιαυτὸν ἐκπληροῖ· ἐνιαυτὸς γὰρ οὐδὲν ἄλλο ἐστὶν ἀλλ' ἢ ἀπὸ τοῦ αὐτοῦ καὶ ἑνὸς σημείου ἐπὶ τὸ αὐτὸ πάλιν ἀποκατάστασις. ταῦτα δὲ πάντως οὐκ ἄξιον ἀγνοεῖν τοὺς πιστούς. ἐντεῦθεν γὰρ ἡ ἄρρητος τοῦ θεοῦ σοφία καταλαμβάνεται καὶ δύναμις· τὰ γὰρ
C ἀόρατα αὐτοῦ, καθά φησι Παῦλος, ἀπὸ κτίσεως κόσμου
V. 20 τοῖς ποιήμασι νοούμενα καθορᾶται. ταύτῃ τοι καὶ κατακρίτους ἐκείνους ὁ μέγας φησὶ Μάξιμος, ὅσοι διὰ τῆς τῶν ὄντων αἰτίας οὐ χειραγωγεῖν ἐθέλουσι καὶ ἑαυτούς.

Ἔθετο ταῦτα εἰς σημεῖα καὶ εἰς καιρούς. τῷ μεγάλῳ Βασιλείῳ κἀνταῦθα προσέχειν σε ἄξιον. ἐν γὰρ τῇ εἰς τὴν ἑξαήμερον ἕκτῃ αὐτοῦ ὁμιλίᾳ περὶ τῆς τῶν ἀστέρων παρατηρήσεως καὶ τάδε φησίν. ἀναγκαία πρὸς τὸν ἀνθρώπινον βίον

5. *παραγινόμενος?*

vel hoc vel illo modo colorata oriuntur, aut turbidam aut serenam aëris constitutionem fore notamus. per ea conversiones anni temporum ipsaque tempora efficiuntur, nimirum ver aestas autumnus hiems. etenim sol circulum illum quem Zodiacum vocant sensim percurrens, dum modo in Cancro fertur modo in Libra modo in Capricorno, vices illas anni temporum quattuor indicatas efficit. per eadem et dies efficiuntur et anni. nam una cum coelo sol circumvectus nocturnum diurnumque spatium absolvit. idem itinere suo peculiariter absoluto, deque signo ad signum commeans, anni spatium perficit: annus enim aliud nihil est quam ab uno eodemque signo ad illud ipsum solis reversio. haec omnino religiosis hominibus ignota esse non debent. nam de his sapientia potestasque dei, quae oratione nemini exponi potest, percipitur. etenim quae sunt eius inadspectabilia, quemadmodum Paulus (Rom. 1 10) ait, ea de mundi creatione, dum considerantur per opera, perspiciuntur. propterea damnabiles illos ait esse Maximus, quicunque per cognitionem universitatis rerum ad causam ipsius universitatis sese quasi manuducere nolunt.

Cum autem dici audis „constituit ea in signa et tempora," simul adverte quid a Basilio tradatur. nam in concione de sex dierum operibus numero sexta huiusmodi quaedam de siderum observatione

ἀπὸ τῶν φωστήρων παρασημείωσις, ἐὰν μή τις πέρα τοῦ μέτρου ἐξ αὐτῶν σημεῖα περιεργάζηται. πολλὰ μὲν γὰρ περὶ ἐπομβρίας ἔστι μαθεῖν, πολλὰ δὲ περὶ αὐχμῶν καὶ πνευμάτων κινήσεως ἢ μερικῶν ἢ καθόλου, βιαίων ἀνειμένων. ἓν D γάρ τι τῶν ἀπὸ τοῦ ἡλίου παραδεικνυμένων καὶ ὁ κύριος παρέδωκεν ἡμῶν, εἰπὼν ὅτι χειμὼν ἔσται· στυγνάζει γὰρ πυρράζων ὁ οὐρανός. ἐπειδὰν γὰρ δι' ἀχλύος ἡ ἀναφορὰ γένηται, ἀμαυροῦνται μὲν αἱ ἀκτῖνες τοῦ ἡλίου, ἀνθρακώδης δὲ καὶ ὕφαιμος τὴν χρόαν ὁρᾶται, παχύτητος τοῦ ἀέρος ταύτην ἐμποιούσης τὴν φαντασίαν ταῖς ὄψεσιν. ἀλλὰ καὶ ἐπειδὰν ἡ σελήνη περιλιμνάζηται, ἢ ὕδατος ἀερίου πλῆθος ἢ νότου βιαίαν κίνησιν ἐπαγγέλλεται. καὶ τῷ ἡλίῳ δὲ ὅταν αἱ λεγόμεναι ἅλῳ περιγράφωσιν, ἢ καὶ οὓς ὀνομάζουσιν ἀνθηλίους, ὅταν συμπεριτρέχουσι τῇ τοῦ ἡλίου φορᾷ, συμπτωμάτων τινῶν καίρια σημεῖα γίνεται, ὥσπερ οὖν καὶ αἱ ῥά- P. 26 βδοι αἱ κατὰ τὴν χρόαν τῆς ἴριδος εἰς ὀρθὸν τοῖς νέφεσιν ἐμφαινόμεναι ὄμβρους καὶ χειμῶνας ἐξαισίους ἢ ὅλως τὴν ἐπὶ πλεῖστον μεταβολὴν τοῦ ἀέρος ἐνδείκνυται. πολλὰ δὲ καὶ περὶ σελήνην αὐξανομένην ἢ λήγουσαν οἱ τούτοις ἐσχολακότες τετηρήκασι σημειώδη, ὡς τοῦ περὶ γῆν ἀέρος ἀναγκαίως τοῖς σχήμασιν αὐτῆς συμμεταβαλλομένου· λεπτὴ μὲν γὰρ οὖσα περὶ τὴν τρίτην ἡμέραν καὶ καθαρὰ σταθηρὰν εὐδίαν κατε-

profert. observationes luminarium ad vitam humanam sunt necessariae, nisi quis ultra modum et curiosius quam par sit eorum signa perquirat. nam multa de tempestatibus pluviis hinc cognoscere licet, multa de siccitatum ventorumque concitatione, vel particularium vel universalium, vel vehementium vel lenium. nimirum ex iis quae sol ostendere consuevit, unum ab ipso domino traditur, cum ait (Matth. 16 3) „tempestas erit, quia triste rubet coelum." cum enim exhalationes quadam cum caligine sursum tendunt, obscurantur radii solis, ac sol ipse carbonis instar rutilans sanguinique consimilis apparet, speciem hanc in oculis efficiente aëris crassitie. sic quoties luna caliginosis ab humoribus circumdatur, vel aquae pluviae copiam in aëre vel austri commotionem vehementem minatur. solem cum areae (quas vocant) ambiunt, accidentium quorundam aëris signa existunt. itidem virgae quae Iridis colorem imitantes in nubibus rectae conspiciuntur, imbres ac tempestates immensas vel omnino mutationem aëris diuturnum portendunt. multa praeter haec in augescente vel decrescente luna observarunt harum rerum studiosi, de quibus colligi quaedam indicia possunt, quod cum eius sideris formis aër quoque terrae vicinus commutetur. nam si tenuis puraque sit die tertio, serenitatem durabilem

παγγέλλεται, παχεῖα δὲ ταῖς κεραίαις καὶ ὑπέρυθρος φαινομένη ἢ ὕδωρ λάβρον ἀπὸ νεφῶν ἢ νότου βιαίαν κίνησιν B ἀπειλεῖ. τὴν δὲ ἐκ τούτων σημείωσιν ὅσον τῷ βίῳ παρέχεται τὸ ὠφέλιμον οὐδεὶς ἀγνοεῖ. ὅρα γὰρ ὅτι καὶ οἱ ναυτιλλόμενοι πρός γε τοὺς ἀστέρας ὁρῶντες τὴν ἀκριβῆ τρίβον ὁδεύουσι καὶ τῇ τούτων θέσει προσέχοντες τὸ σκάφος ἰθύνουσιν· ἐπειδὴ γὰρ οὐ δέχεται τῶν ὑδάτων ἡ φύσις ἴχνη, οἷς οἱ ὁδῖται προσέχοντες ἀναμφίβολον τὴν πορείαν ποιοῦνται, δέδωκεν ὁ θεὸς τοῖς μακρὰ διαπερῶσι πελάγη οἷον ἴχνη τῶν θαλαττίων τρίβων, τῶν ἀστέρων τὴν θέσιν. καὶ οὕτω μὲν περὶ τούτων τοῖς ἁγίοις πατράσι δοκεῖ.

Ἕτεροι δὲ τὸ διαληφθὲν παρερμηνεύοντες Μωσαϊκὸν ῥη- C τόν, ἐκ τῆς τῶν ἀστέρων συγκράσεώς τε καὶ διαστάσεως λέγουσι τὰ καθ' ἡμᾶς πάντα διοικεῖσθαι καὶ διεξάγεσθαι, εὐπραγίαν τε καὶ δυσπραγίαν ἐκεῖθεν κατάγουσι, καὶ ἁπλῶς ὅσα τῷ βίῳ καθ' ἑκάστην ἀπροσδοκήτως συμπίπτουσιν. ἀλλὰ μὴ σύ γε, τέκνον ἠγαπημένον, τοιούτοις ὅλως ἀνάσχῃ πείθεσθαι λογισμοῖς, εἰ μὴ βούλει τοὺς ἀστέρας ἐντεῦθεν ἀδίκους εὑρίσκεσθαι, εἴ γε τοὺς μὲν ποιοῦσι πόρνους τοὺς δὲ μοιχούς, καὶ ἄλλους πάλιν φονέας καὶ ἅρπαγας. ἀλλὰ καὶ πρὸ τῶν ἀστέρων αὐτὸς ἂν ὁ ποιητὴς αὐτῶν θεὸς ἄδικος εὑρεθείη, γέενναν πυρὸς τοῖς ἁμαρτωλοῖς ἀπειλῶν καὶ

pollicetur: sin versus extremitates crassa et subrubescens, vel aquam e nubibus copiosam vel austri concitatiorem flatum minatur. ignorat autem nemo quantum harum rerum indicatio vitae humanae utilitatis adferat. nam et ii qui navigant, ad sidera respicientes rectum iter instituunt, eorumque situs rationem habentes navigium dirigunt. cum enim sic comparata sit aquarum natura, nulla restent ut in eis vestigia quibus animadversis itinera mari facientes citra dubitationem progrediantur, propterea deus illis qui ampla traiiciunt maria situm astrorum concessit tanquam marinarum semitarum vestigia. ac de his quidem haec sanctorum patrum est sententia.

Verum alii quidam dictum illud Mosaicum, quod indicatum a nobis est, enarrantes per siderum commistionem atque distantiam universas res humanas administrari regique tradunt, prosperitatem et adversam fortunam indidem deducentes, adeoque simpliciter omnia quaecunque singulos in dies vitae mortalium accidunt. at noli tu committere, dilecte fili, ut huiusmodi cogitationibus fidem habeas, nisi velis ob eam causam iniqua deprehendi sidera, siquidem alios scortatores efficiunt, alios adulteros, alios homicidas et praedones. quinetiam ante ipsa sidera deus eorum opifex iniquus reperiretur, qui gehennam ignis et tenebras extremas peccatoribus minatur. non est autem

σκότος ἐξώτερον. ἀλλ' οὐκ ἔστι τοῦτο, οὐκ ἔστιν· αὐτεξού- D
σιος γὰρ ὢν ὁ κατ' εἰκόνα θεοῦ γεγεννημένος ἄνθρωπος εἱμαρ- V. 21
μένῃ καὶ ἄστρασιν οὐχ ὑπόκειται. εἰ γὰρ τοῦτο ἦν, οὐκ
ἂν τοῖς μὴ κατὰ γνώμην ἁμαρτάνουσι πῦρ ὁ θεὸς καὶ σκότος
ἠπείλησεν. ὅτι δὲ βλασφημία ἐστὶν εἰς θεὸν τὸ νομίζειν ἐξ
ἀστέρων γίνεσθαι τοὺς μὲν τῶν ἀνθρώπων φονέας τοὺς δὲ
πάλιν ἅρπαγας, ὁ κορυφαῖος Πέτρος ἀριδήλως τοῦτο διδά-
ξει σε πρὸς Φαῦστον. καὶ γὰρ περὶ γενέσεως διαλεγόμενος
καὶ τάδε πρὸς τοῖς ἄλλοις ἔλεγεν. „ἐγὼ μὲν ἀστρολογίας
ἔμπειρος οὐκ εἰμί, ὥστε τὴν γένεσιν ἀπ' αὐτῆς τῆς κατὰ γέ-
νεσιν ἐπιστήμης ἀνασκευάζειν. ἄλλῳ δὲ τρόπῳ δύναμαι ἀπο- P. 27
δεικνύειν ὅτι κατὰ πρόνοιαν διοικεῖται τὰ πράγματα· ἕκα-
στος γὰρ πρὸς ἃ πράττει τιμῆς καὶ κολάσεως τεύξεται."
ἁμαρτάνουσιν οὖν οἱ γένεσιν εἰσάγοντες αὐτὸν τὰ πάντα δη-
μιουργήσαντα θεὸν βλασφημοῦντες. ἐπὶ τούτοις γὰρ τοῦ
γέροντος εἰπόντος ὅτι βλασφημεῖν ἐστὶ τὸ λέγειν ὅτι τὰ πάν-
τα γενέσει ὑπόκειται, καὶ πάνυ ὁ Πέτρος ἔλεγεν. εἰ γὰρ
πᾶσαι αἱ τῶν ἀνθρώπων ἁμαρτίαι ἐξ ἀστέρων γίνονται, οἱ
δὲ ἀστέρες ὑπὸ θεοῦ ταῦτα ποιεῖν ἐτάχθησαν, ἵνα πάντων
χαλεπῶν ἀποτελεσματικοὶ γένωνται, ἁπάντων λοιπὸν αἱ ἁμαρ- B
τίαι εἰς αὐτὸν ἀναφέρονται τὸν τὴν γένεσιν ἐνδόντα τοῖς
ἄστρασι. καὶ τὰ μὲν τοῦ κορυφαίου τοιαῦτα· ὅρα δὲ καὶ

10. τῆς deerat. 14. τὰ] τόν?

hoc verum, non est. quippe ad imaginem dei conditus homo, cum suimet ipsius sit compos, nec fato nec sideribus esse subiectus potest; quod si locum haberet, non deus praeter animi sententiam peccantibus ignem atque tenebras minatus fuisset. et fieri sane convicium deo, cum quis existimat per sidera quosdam homicidas effici quosdam raptores, summus ille Petrus ad Faustum scribens te docebit. nam de natalicio sidere disserens haec inter alia profert: „equidem astrologiae non sum peritus, ut nativitatem ex ipsa de natalicio sidere scientia refellere possim: verum alio quodam modo possum demonstrare res humanas a providentia gubernari. nam quisque pro eorum quae agit ratione vel honorem vel poenam consequetur. quamobrem errant qui natalicium sidus introducunt, ipsum opificem rerum omnium deum convicio quodam incessentes." quibus in verbis quod hic senex ait, convicium in deum esse dicere cuncta natalicio sideri esse subiecta, perquam egregie dicitur. nam si omnia mortalium peccata ab astris oriuntur, astra vero divinitus ordinata sunt ut ea efficiant et omnium malorum ab ipsis origo proficiscatur, restat omnium peccata ad deum referri debere, qui nataliciam illam vim sideribus indiderit. huiusmodi sunt quae summus ille vir protulit. praeter haec vide quid ma-

τί φησιν ὁ μέγας Βασίλειος ἐν τῷ περὶ φωστήρων ἕκτῳ λόγῳ αὐτοῦ. τὴν γὰρ ἀστρολογικὴν τέχνην ἐπὶ μέσου παράγων, καὶ ὅπως ἔχει μεθόδου κατεξετάζων, οὕτω κατὰ ῥῆμα διέξεισιν. „ἐν δὴ τούτοις τοῖς λογισμοῖς πολὺ μὲν τὸ ἀνόητον, πολλαπλάσιον δὲ τὸ ἀσεβές. τίνος ἕνεκεν; ὅτι οἱ κακοποιοὶ τῶν ἀστέρων τῆς αὐτῶν πονηρίας ἐπὶ τὸν ποιήσαντα αὐτοὺς τὴν αἰτίαν μετατιθέασιν. ἔπειτα εἰ καὶ τῶν περὶ κα-
C κίαν καὶ ἀρετὴν ἐνεργημάτων οὐκ ἐκ τοῦ ἐφ' ἡμῖν εἰσὶν αἱ ἀρχαὶ ἀλλ' ἐκ τῆς γενέσεως αἱ ἀνάγκαι, περιττοὶ μὲν οἱ νομοθέται τὰ πρακτέα ἡμῖν καὶ τὰ φευκτέα διορίζοντες, περιττοὶ δὲ οἱ δικασταὶ ἀρετὴν τιμῶντες καὶ πονηρίαν κολάζοντες· οὐ μὲν γὰρ τοῦ κλέπτου τὸ ἀδίκημα, οὐδὲ τοῦ φονέως, ᾧ γε οὐδὲ βουλομένῳ δυνατὸν ἦν κρατεῖν τῆς χειρός. ἀλλ' οὐκ ἔστι τοῦτο, οὐκ ἔστιν· αὐτεξούσιος γὰρ ὁ ἄνθρωπος, ὅτι καὶ κατ' εἰκόνα παρήχθη θεοῦ, ἐφ' ᾧ γενέσει καὶ ἄστρασιν οὐχ ὑπόκειται." τοῖς μέντοι προσπταίουσιν ὁπωσδήποτε καθ' εἱμαρμένην, ὡς εἴρηται, καὶ συγγινώσκειν ἄξιον ἦν, οὐ μὴν ἐπιφέρειν μάστιγας, ὡς ὁ χρυσορρήμων Ἰωάννης φησίν.
D καὶ γὰρ ἐν οἷς ἐξέθετο λόγοις περὶ εἱμαρμένης καὶ τάδε διέξεισι. τοῖς μὲν οὖν ἀνάγκῃ κατεχομένοις συγγινώσκειν οἴδαμεν. κἂν γὰρ ὑπὸ δαίμονός τις ἐνοχλούμενος ἢ τὸν χιτῶνα διαρρήξῃ τὸν ἡμέτερον ἢ πληγὰς ἐπενέγκῃ, οὐ μόνον οὐ κο-

gnus ille Basilius in oratione sexta, quae est de luminaribus, dicat. nam artem astrologicam in medium proferens, et quae sit eius methodus explorans, ad verbum hoc modo loquitur. in hisce ratiocinationibus magna inest stultitia et maior etiam impietas. quamobrem? quod malefica noxiaque sidera pravitatis suae causam in auctorem suum transferant. deinde si tam virtuti quam vitiis consentanearum actionum principia non sunt in nostra potestate, sed a necessitatibus siderum nataliciorum pendent, supervacanei sunt legumlatores, qui agenda fugiendaque nobis definiunt. nullum est enim vel furis delictum vel homicidae, si ne volens quidem continere manum poterat. sed non est hoc verum, non est. quippe suae spontis est homo, cum ad imaginem dei sit factus; quo fit ut neque nativitati certae neque sideribus subiectus sit. quin etiam quoquo modo delinquentibus fato quodam, ut diximus, aequum esset ignoscere, non adhibere verbera, quemadmodum Chrysostomus ait. nam in orationibus quas habuit de Fato huiusmodi quaedam tradit: iis qui necessitate coguntur, ignoscere solemus. etenim si quis a malo genio vexatus vel tunicam nostram laceraverit vel nos verberibus adfecerit, non modo non punimus eum, sed etiam miseramur veniamque largimur. quamobrem istuc? quia non electionis sed mali genii vis ea designavit. quo fit

λάζομεν, ἀλλὰ καὶ ἐλεοῦμεν καὶ συγγινώσκομεν. τί δήποτε;
ὅτι οὐχ ἡ προαιρέσεως ἀλλ' ἡ τοῦ δαίμονος βία ταῦτα εἰρ-
γάσατο. ὥστε εἰ καὶ τὰ ἄλλα ἁμαρτήματα ἀπὸ τῆς ἀνάγ-
κης τῆς κατὰ τὴν εἱμαρμένην ἐγίνοντο, συνέγνωμεν ἄν. ἐπει-
δὴ ἴσμεν ὅτι οὐκ ἔστιν ἀνάγκη, διὰ τοῦτο οὐδὲ συγγινώσκο-
μεν. εἰ γὰρ ἀνάγκῃ τὰ ἡμέτερα ἐδέδετο, τίνος ἕνεκεν τὸν
οἰκέτην κεκλοφότα μαστίζεις; διὰ τί τὴν γυναῖκα μοιχευθεῖσαν
εἰς κριτήριον ἕλκεις; ἵνα τί δὲ καὶ πονηρὰ πράττων αἰσχύνῃ;
εὔδηλον οὖν ἐντεῦθεν ὅτι οὔτε εἱμαρμένη οὔτε τύχη οὔτε γένε- P. 28
σις οὔτε δρόμοι ἀστέρων τὰ καθ' ἡμᾶς διοικεῖ. εἰ γὰρ τοῦτο
δώσομεν, τίς χρεία λοιπὸν πόνων καὶ ἱδρώτων πρὸς τὸ κατορ-
σοι τί πρὸς ἀπόδειξιν. πέτρᾳ συμπλακεὶς ὁ πολύπους δυσαποσπάστως ἔχεται· διὸ γλυκὺ ὕδωρ ἐπιχέουσι τῇ πέτρᾳ οἱ πρὸς ἄγραν δεινοί, καὶ οἱ μὲν ἔχουσι τὸ ζητούμενον θήραμα, ὁ δὲ τῆς ἑαυτοῦ καὶ ἄκων ἐξανίσταται φύσεως. ὁ πολύπους οὗτος λέγεται μὲν ἡνίκα πεινάσει, πλόκαμον ἑαυτοῦ ἐσθίειν, ἕτερον δὲ ἀναφύειν.

Γίνωσκε δὲ καὶ τοῦτο, ὅτι τευθίδες μὲν καὶ πολύποδες ἔχουσι θόλωσιν, ἀλλὰ καθ' ἅ φησιν Ἀριστοτέλης ἐπὶ τῇ μύτιδι, σηπυῖα δὲ κατὰ τὴν κοιλίαν, ἀλλὰ καὶ πλείονα. οὐδὲ

femina spatio quodam loci disiuncta nihilominus ramos suos mari summittat, deindeque rursum rectam ad formam redeat quasi potita fructu coniunctionis, cuius aures admiratione non replet? non igitur absurdum etiam torpedinem piscatores laedere.

Qui praeterea fit ut alii quidem pisces in Ponto degere consueverint aliquandiu, polypus autem sinum illum aquilonalem refugiat? quod pisces nonnulli refrigeratione indigeant, quotquot scilicet potabiles aquas petunt, nonnulli calorem expetant et ad mare confugiant. hoc enim caeteris aquis est calidius. itaque polypus mari Pontico infensus est. quippe frigidius est mare istud aquilonare, reliquisque multo dulcius, uti quod a multis atque magnis amnibus irruentibus diluatur. frigus autem ac dulcedo aquae polypo sunt ingrata. quod uti probem, argumento idoneo satis utar. ubi saxum aliquod complexus est polypus, sic illi adhaeret ut avelli nequeat. iccirco piscatores periti dulcem aquam adfundunt saxo, quo facto quod expetebant consequuntur, et polypus vel invitus naturam suam relinquit. idem polypus esuriens capillos suos devorat, quorum loco alii nascuntur.

Hoc etiam scire debes, loligines atque polypos atramentum habere, verum, ut Aristoteles ait, in naso, cum ad ventrem sepia maio-

γὰρ ἄλλην τινὰ βοήθειαν ἔχει, καθάπερ ὁ πολύπους τὴν τοῦ D χρώματος μεταβολήν· πρὸς γὰρ τὴν πέτραν ᾗ προσαράσσει τοὺς ἑαυτοῦ πλοκάμους ἀμείβει καὶ τὴν χροιάν, ἄνευ μέντοι τοῦ λευκοῦ χρώματος. ἄναιμα γὰρ ταῦτα, καὶ διὰ τοῦτο κατεψυγμένα καὶ φοβητικά. ὥσπερ ἐνίοις φοβηθεῖσιν ἡ κοιλία ταράττεται, ἑτέροις δὲ περίττωσις ἡ ἀπὸ τῆς κύστεως ῥεῖ, οὕτω καὶ τούτοις συμβαίνει ἐξ ἀνάγκης ἀφιέναι τὸν θόλον διὰ δειλίας. ἡ δὲ φύσις ἅμα τῷ περιττώματι παρακαταχρῆται καὶ πρὸς σωτηρίαν καὶ βοήθειαν αὐτῷ. πάντα δὲ τὰ ἄναιμα τῶν ζώων ὀλιγότροφά εἰσιν, οὐχ οὕτω διὰ μικρότητα ὡς διὰ ψυχρότητα· τὸ γὰρ θερμὸν καταπέπτει ῥᾳδίως τὴν τροφὴν καὶ δεῖται καὶ τροφῆς ταχέως, τὸ δὲ ψυ- P. 38 χρὸν ἄτροφον. μᾶλλον δὲ τὸ τῶν τεττίγων γένος ἄτροφόν ἐστι, διότι καὶ τῶν ἄλλων ζώων ψυχρότερον· ἐπὶ γὰρ τούτῳ καὶ θέρους ὥρᾳ ζωογονούμενον ὥσπερ τῆς ᾠδῆς ἀπάρχεται. ἱκανὴ δὲ τροφὴ τῇ τέττιγι ἡ ἐκ τοῦ σώματος ὑπομένουσα ὑγρότης, ἣν ἐκ τῆς γενέσεως ἔχει, κατὰ δὴ καὶ τὰ ἐφήμερα ζῶα τὰ περὶ τὸν Πόντον γινόμενα· πλὴν ἐκεῖνα μὲν ἡμέρας μιᾶς χρόνον ζῇ, καὶ διὰ τοῦτο καὶ ἐφήμερα λέγονται, ταῦτα δὲ ζῶσι καὶ πλέον.

Μαλακόστρακα λέγονται καρκίνοι κάραβοι ἀστακοὶ καὶ

13. τὸ] καὶ P. 14. τοῦτο P. 15. ἀπέρχεται P.

rem eius copiam habeat. nec enim quicquam opis alterius habet, ut polypus mutationem coloris. nam is una cum saxo, ad quod capillos applicat, colorem quoque mutat suum, excepto colore albo. sunt enim haec animalia sanguinis expertia, qua de causa sequitur esse frigida formidinisque plena. nam uti nonnullis metu perculsis alvus turbari solet, nonnullis vesicae excrementum effluit, sic et his accidit necessario propter metum ut atramentum emittant. qua quidem in re natura excremento simul et ad salutem animalis et ad opem utitur. sunt autem omnia sanguinis expertia perquam exiguo nutrimento contenta, non tam quia parva sunt quam quia frigida. nam calor et concoquit facile nutrimentum et cito alterius eget, cum frigiditas parum alimenti requirat. iccirco cicadae parum pastus expetunt, uti quae caeteris animalibus natura sint frigidiores; eaque de causa aestivo tempore quasi vivificatae cantum suum occipiunt. et satis eis alimenti suppetit ipsa corporis humiditas, quam a natura habent; sicut et animalculis illis ephemeris accidit, quae in Ponto nascuntur, uno excepto, quod haec unius diei tempus vivendo expleant ideoque nomen istud consecuta sint, illae diuturniori vita fruantur.

Testa molli munita dicuntur, cancri, carabi, aestaci sive gammari, carides sive squillae. eadem, si squillam excipias, chelis prae-

καρίδες. ταῦτα δὲ ἄνευ τῶν καρίδων χηλὰς ἔχουσιν, οὐ χάριν B τοῦ περιπατεῖν, τοῦ συλλαμβάνειν δέ τι. ὅθεν καὶ μείζονες αἱ δεξιαί· τοῖς γὰρ δεξιοῖς πέφυκε τὰ ζῶα δρᾶν μᾶλλον. περὶ τούτων ὁ προφήτης Δαυίδ „τὰ διαπορευόμενα τρίβους θαλασσῶν.“ σηπίαι δὲ τευθίδες καὶ πολύποδες ἀνὰ πόδας ὀκτὼ ἔχουσιν, μείζονας δὲ μόνος ὁ πολύπους.

Διαφορὰν οἱ ἰχθύες καὶ περὶ τὸ στόμα ἔχουσι· τὰ μὲν γὰρ καταντικρὺ ἔχει τὸ στόμα καὶ εἰς τὸ ἔμπροσθεν, τὰ δ' ἐν ὑπτίοις, οἷον οἱ δελφῖνες καὶ τὰ σελάχη, διὸ καὶ ὕπτια στρεφόμενα λαμβάνει τὴν τροφήν. ὄρχεις δὲ οὐδεὶς ἔχει ἰχθύς, οὔτε ἐντὸς οὔτε ἐκτός, οὔτε ἄλλο οὐδὲν τῶν ἀπόδων, διὸ οὐδὲ οἱ ὄφεις. οἱ δὲ δελφῖνες καὶ αἱ φάλαιναι C καὶ πάντα τὰ κητώδη βράγχια μὲν οὐκ ἔχουσιν, αὐλὸν δὲ διὰ τὸ ἔχειν πνεύμονα. τὰ μὲν γὰρ βράγχια χρήσιμα ἐπὶ τοῖς μὴ ἀναπνέουσιν, ἀδύνατον δὲ τὸ αὐτὰ ἔχειν καὶ ἀναπνεῖν. V.30 ἔστι δὲ ταῦτα τρόπον τινὰ πεζὰ καὶ ἔνυδρα, καὶ πεζὰ μὲν ὡς ἀέρα δεχόμενα, ἔνυδρα δὲ ὡς ἄποδα καὶ τὴν τροφὴν ἐκ τοῦ ὑγροῦ δεχόμενα. τὰ μέντοι μαλάκια, οἷον τευθίδες σηπίαι καὶ ὅσα τοιαῦτα, ὅλα σαρκώδη καὶ μαλακά· οὐδὲ γὰρ ὀστῶδες ἔχειν ἔτυχεν οὐδὲ γεηρὸν ἀποκεκρυμμένον. πρὸς δὲ τὸ μὴ εὔφθαρτον εἶναι τὸ σῶμα αὐτῶν, καθὰ δὴ καὶ τὰ σαρκώδη, μεταξὺ σαρκὸς καὶ νεύρου τὴν D

dita sunt, non ambulationis causa sed prehensionis. qua de causa chelas dextras maiores habent: nam dextris partibus uti animalia magis consueverunt. de his vates ille Davides ait „semitas marium permeant." sepiae, loligines, polypi pedes singuli octonos habent, et maximos horum polypus.

Etiam ora diversa pisces habent. nam aliis os adversum est et anteriori a parte, cum aliis sit supinum, cuius generis delphini sunt et cartilaginatae. propterea supini nutrimentum capiunt. testes piscium nullus habet, nec intus nec foris, ut eisdem animalia caetera quoque carent, quaecunque a pedibus destituuntur, et inter alia serpentes. delphini, balaenae, et omnia quae cetacei sunt generis, branchias nullas habent, sed eius loco tibiam quasi quandam, uti pulmone praedita. quippe non respirantibus utiles sunt branchiae, quas ut piscis aliquis habeat simulque respiratione utatur, fieri nullo modo potest. et sunt sane cetacei pisces modo quodam et terrestres et aquatiles bestiae, terrestres, quod aëra recipiant, aquatiles, quod pedibus careant et alimentum suum ex humido sumant. qui cute molles sunt, verbi gratia loligines sepiae et alii tales, toti sunt carnei atque molles: nihil enim osseum ac terrenum alicubi abditum habent. ut autem corpus eorum non facile sit obnoxium intercidi, quod carneis usuvenire solet, mistam cum carne naturam nerveam

φύσιν ἔχει· μαλακὸν μὲν γάρ ἐστιν ὥσπερ σάρξ, ἔχει δὲ τάσιν ὥσπερ νεῦρον.

Χρὴ δέ σε καὶ τοῦτο περὶ τῶν ἰχθύων εἰδέναι. τὸ μὲν γὰρ ἄρρεν καὶ θῆλυ ἰδίως νήχονται, οὐ συγγίνονται δέ, ἀλλ' ἀσπόρως ἐξ ὕδατος καὶ πνεύματος τοῦ ἀνέμου τίκτονται, τὴν πνευματικὴν ἡμῶν ἐντεῦθεν καὶ ἄσπορον ἐξ ὕδατος καὶ πνεύματος προσημαίνοντα γέννησιν, ὡς ὁ θειότατός φησιν Ἀναστάσιος.

Ἀλλ' οὐδὲ τοῦτό σε παραδραμεῖν ἄξιον. ὁ χερσαῖος ὄφις τῷ αἰγιαλῷ προσιὼν συρίττει, καὶ συρίττων προσκαλεῖται τὴν μύραιναν εἰς συνάφειαν. ὁ γοῦν θαλάσσιος ὄφις
P. 39 εἴτ' οὖν ἡ μύραινα τῷ συριγμῷ ἀκούσασα εὐθὺς ἐπανάγεται. καὶ συμπλακέντες ἀλλήλοις, πρότερον τοῦ χερσαίου τὸν ἰὸν ἐξεμέσαντος, πρὸς τὰ ἴδια ὁ καθ' ἕνα χωρεῖ. εὔδηλον οὖν ἐντεῦθεν ὅτι καὶ ὁ νοητὸς ὄφις συριγμῷ καὶ δελεάσματι καὶ ὑποκρίσει ἤθους χρηστοῦ καὶ συμβουλῆς ἀγαθῆς τοὺς ἀνθρώπους ἐφέλκεται καὶ κατὰ τὸ βουλητὸν αὐτῷ τούτοις συγγίνεται, τοῦ ὕδατος καὶ πνεύματος πρότερον αὐτοὺς ἐξιστῶν· οὐ γὰρ ἂν ἄλλως μεταδοῦναι τούτοις τοῦ οἰκείου δύναται σπόρου, εἰ μὴ πάντα κάλων κινήσας ἐκεῖθεν αὐτοὺς ἀποσπά-
B σειε. καὶ τί χρὴ πολλὰ λέγειν καὶ ἀπαριθμεῖν τὰ καθ' ἕκαστον, ἐπεὶ ἑρπετὰ ὧν οὐκ ἔστιν ἀριθμός; καὶ ἑρπετὰ μέν,

habent. sunt enim molles instar carnis, et tendi nihilominus instar nervi possunt.

Hoc etiam de piscibus tibi cognoscendum est, quod mas et femina seorsum natent, nec inter se consuescunt, sed absque coitu de aqua flatuque venti gignuntur. qua quidem re spiritualis illa nostra et coitus expers generatio de aqua et spiritu exprimitur, quemadmodum Anastasius inquit.

Ne hoc quidem obiter praeterire debes. serpens terrestris ad litus accedens sibilum edit, quo muraenam invitat. hoc audito muraena mox accedit, ac serpente terrestri venenum prius exspuente mutuos in complexus veniunt, secundum quos uterque ad sua se conferunt. de quo exemplo perspicue potest intelligi etiam serpentem illum intellectilem sibilo quodam et inescatione, probaeque indolis et boni consilii simulatione mortales allicere, proque arbitratu et libidine sua cum eis consuescere, prius opera data ut aquam et spiritum relinquant: nam aliter semen suum in eos transfundere nequit, nisi omni fune moto ab his duobus ipsos avellat. quid autem multis verbis opus est? cur singula commemorare velimus? sunt in aquis reptilia, quod ita nimirum progrediantur, nec tamen sub numerum cadunt, ne scilicet paulatim absumpta deficerent. nam nisi numero

ὅτι ἕρπει τῷ ὕδατι καὶ οὕτω τὴν ἑαυτῶν πορείαν ποιοῦνται, ἀριθμῷ δὲ οὐχ ὑποπίπτουσιν ὥστε μὴ ἐκλεῖψαι κατὰ μικρὸν δαπανώμενα. βόσκονται γὰρ οἱ δυνατώτεροι τοὺς καταδεεστέρους, καὶ οὐκ ἠνάλωσαν· νικᾷ γὰρ τὴν δαπάνην ἡ πρόσοδος.

Ἀλλ' ὅρα φωνὴν θεοῦ, μᾶλλον δὲ οὐδὲ φωνὴν θεοῦ ἀλλὰ θέλησιν μόνον, ἥτις τὰ παντοδαπὰ γένη τῶν ἰχθύων ἐκ τῶν ὑδάτων παρήγαγεν. ἡ γὰρ θέλησις αὕτη φύσις ἐγεγόνει τοῖς ὕδασι. ταῦτα μὲν τὰ ὕδατα καὶ ἐξ ἀρχῆς αὐτῆς ζωτικὴν ἐδέχοντο δύναμιν. εἰ μὴ γὰρ τοῦτο ἦν, οὐκ ἂν C
αὐτοῖς πνεῦμα θεοῦ ἐπεφέρετο. φερόμενον δὲ ζωτικὴν ἐδίδου τοῖς ὕδασι τὴν δύναμιν, ὡς ὁ χρυσόστομος Ἰωάννης φησί, καὶ ὅτι μετὰ μικρὸν ζῷα ἐξ αὐτῶν παραχθήσονται. καὶ ὁ μὲν χρυσορρήμων, καθάπερ εἴρηται, ζωτικὴν ἐντεῦθεν ἐνέργειαν κατασημαίνεσθαι λέγει· ὁ δὲ μέγας Βασίλειος καὶ πλατύτερον τὰ περὶ τούτων διέξεισι, καὶ οὕτω φησίν. „εἴτε τοῦτο λέγει τὸ πνεῦμα τὴν τοῦ ἀέρος χύσιν, δέξαι τὸν συγγραφέα τὰ μέρη τοῦ κοσμοῦ καταριθμοῦντά σοι, ὅτι ἐποίησεν ὁ θεὸς οὐρανὸν γῆν ὕδωρ ἀέρα, καὶ τοῦτον χεόμενον ἤδη καὶ ῥέοντα. εἴτε, ὃ καὶ μᾶλλον ἀληθέστερόν ἐστι καὶ τοῖς πρὸ ἡμῶν ἐκκριθέν, πνεῦμα θεοῦ τὸ ἅγιον εἴρηται (οὐδὲ D
γὰρ ἄλλο παρὰ τῇ γραφῇ πνεῦμα θεοῦ ὀνομάζεται ἢ τὸ

10. ἂν post γὰρ P.

pisces infiniti essent, non possent ad usum ullo modo sufficere, cum pariter et a se invicem et ab hominibus absumantur. quippe tametsi viribus superiores devorandis imbecillioribus sese pascant, non tamen omnino consumuntur, quando maius eorum est incrementum quam ut absumi possint.

Et considera hoc mihi loco dei vocem, vel potius non vocem dei sed voluntatem solam, quae omnis generis piscium species ex aquis produxit. nam hoc ipsum dei velle naturam suam aquis tribuit, quae ipso a principio vitalem quandam vim sunt consecutae. absque quo foret, non in eis dei spiritus latus fuisset, qua motatione vim illam vitalem aquis impertiebatur, quemadmodum Chrysostomus loquitur, ut non multo post ex eis animalia provenirent. tradit enim Chrysostomus hisce verbis vitalem quandam efficacitatem significari. Basilius autem latius de eis in haec verba disserit. sive de aëris diffusione Moses loquitur, intelligito nostrum hunc scriptorem historiae mundi partes enumerare, condidisse videlicet deum coelum terram aquam aëra, qui quidem iam tum diffunderetur atque flueret. sive quod verius est et ab iis qui ante nos fuere traditum, de Spiritu Dei sancto haec dici putato. nam sacris in litteris nullus alius dei spiritus appellatur extra spiritum illum

ἅγιον τὸ τῆς θείας καὶ μακαρίας τριάδος συμπληρωτικόν), καὶ ταύτην προσδεξάμενος τὴν διάνοιαν μείζονα τὴν ἀπ' αὐτῆς ὠφέλειαν εὑρήσεις. ἐπεφέρετο γὰρ τὸ πνεῦμα, καθάπερ Σύρος τις ἔλεγε θαυμαστὸς ἀνήρ, ἀντὶ τοῦ ἐπέθαλπε
V. 31 καὶ ἐζωογόνει τὴν τῶν ὑδάτων φύσιν κατὰ τὴν εἰκόνα τῆς ἐπῳαζούσης ὄρνιθος καὶ ζωτικήν τινα δύναμιν ἐνιούσης τοῖς ὑποθαλπομένοις, ὡς ἐντεῦθεν σαφῶς ἀποδείκνυσθαι ὅτι οὐδὲ τῆς δημιουργικῆς ἐνεργείας τὸ πνεῦμα τὸ ἅγιον ἀπολείπεται."

P. 40 Καὶ τοσαῦτα μὲν περὶ τῶν ἰχθύων. ἀκόλουθον δ' ἂν εἴη καὶ περὶ τῶν πετεινῶν ὀλίγα διεξελθεῖν, ὅτι καὶ ταῦτα ἐξ ὑδάτων τὴν γένεσιν ἔσχηκε. διὰ γὰρ τοῦτο καὶ συγγένειά τις πρόσεστι τούτοις πρὸς τὰ νηκτά. καὶ γὰρ ὥσπερ οἱ ἰχθύες τὸ ὕδωρ τέμνουσι, τῇ μὲν κινήσει τῶν πτερύγων εἰς τὸ πρόσω χωροῦντες, τῇ δὲ τοῦ οὐραίου μεταβολῇ τάς τε περιστροφὰς καὶ τὰς εὐθείας ὁρμὰς ἑαυτοῖς οἰακίζοντες, οὕτω καὶ ἐπὶ τῶν πτηνῶν ἔστιν ἰδεῖν διανηχομένων τὸν ἀέρα τοῖς πτεροῖς κατὰ τὸν ὅμοιον τρόπον. ὅτι δὲ ἐξ ὑδάτων τοῖς πετεινοῖς ἡ γένεσις, διὰ τοῦτο καὶ ταῦτα πάντα τοῖς ὕδασι χαίρουσι· πλήν γε ὅτι οὐδὲν τῶν πτηνῶν ἄπουν διὰ τὸ πᾶσι τὴν δίαιταν ἀπὸ τῆς γῆς ὑπάρχειν. καὶ πάντα ἀναγκαί-
B ως· τοῖς μὲν γὰρ ἁρπακτικοῖς πρὸς τὴν ἄγραν αἱ τῶν ὀνύ-

6. ἐνιείσης?

sanctum, qui divinam beatamque trinitatem absolvit et complet. quam sententiam si amplecti volueris, maiorem ex ea fructum percipies. nam ferebatur in eis spiritus hic, uti Syrus quidam, admirabilis doctrinae vir, dicere solebat, hoc est fovebat ac fetificandi vim largiebatur aquarum naturae, instar gallinae cuiusdam ovis incubantis ac fotis ab se vim quandam vitalem indentis. quo ipso etiam perspicue commonstratur spiritum sanctum ne a rerum quidem condendarum facultate destitui.

Et tantum quidem de piscibus. nunc rerum ordo poscit ut de volucribus etiam pauca commemoremus, quae et ipsae suum ortum ex aquis habuerunt. quamobrem et cognatione quadam natatilium tenentur. quippe quemadmodum pisces in aquis degentes pennarum agitatione progrediuntur, et diversis caudae motibus tum inflexiones tum directos cursus moderantur, sic et volucres videre est consimili quodam modo suis alis aëra pervolare. et gaudent aquis volucres propterea quod ex aquis ortae sint. hoc solo differunt a piscibus, quod nulla pedibus careat, quando de terra victum petere coguntur, et omnes necessario pedum adminiculis indigent. nam rapacibus ad capiendam praedam ungues accommodati sunt, caeteris ad sustinendam

γων ἀκμαί, τοῖς δὲ λοιποῖς [ἀναγκαίως] πρὸς τὴν τοῦ βίου διεξαγωγὴν ἡ τῶν ποδῶν ὑπηρεσία δεδώρηται. ὀλίγοι δὲ τῶν ὀρνίθων κακόποδές εἰσιν, οὔτε βαδίζειν οὔτε ἀγρεύειν τοῖς ποσὶν ἐπιτήδειοι, ὡς αἱ χελιδόνες καὶ αἱ δρεπανίδες λεγόμεναι, οἷς ἡ τροφὴ ἀπὸ τῶν ἐν τῷ ἀέρι ἐμφερομένων ἐπινενόηται.

Πρόσεχε λοιπόν. ἄλλη καὶ γὰρ κατασκευὴ τοῖς σπερμολόγοις ὄρνεσι καὶ ἄλλη τοῖς σαρκοβόροις, τῷ τρόπῳ τῆς διαίτης αὐτῶν πρέπουσα, ὀνύχων ἀκμαὶ καὶ χεῖλος ἀγκύλον καὶ πτερὸν ὀξύ, ὥστε καὶ συλληφθῆναι ῥᾳδίως τὸ θήραμα. διὰ γὰρ τοῦτο καὶ σκληρότεροι τῶν ζώων οἱ ὄνυχες ἢ τοῦ ἀνθρώπου· μαλθακώτεροι καὶ γὰρ οὗτοι τῷ ἀνθρώπῳ κατε- C σκευάσθησαν, ὅτι τε καὶ τὸ δέρμα τούτου μαλθακώτερον, ἀφ' οὗ καὶ οἱ ὄνυχες τὴν γένεσιν ἔχουσι, καὶ ὅτι πρὸς τὴν χρῆσιν ἑκάστῳ τῶν ζώων ἥ τε σκληρότης τῶν ὀνύχων καὶ ἡ μαλθακότης δεδώρηται. ἀλλὰ καὶ τῶν πτηνῶν τὰ μὲν ἄναρχά εἰσι καὶ οἷον αὐτόνομα, τὰ δὲ ὑφ' ἡγεμόνι τετάχθαι καταδεχόμενα ὡς οἱ γέρανοι. ἀλλὰ καὶ αἱ μέλισσαι ὑπὸ βασιλεῖ καὶ ταξιάρχῳ τινὶ τῶν ἔργων ἅπτονται, οὐ πρότερον ἐπὶ τοὺς λειμῶνας ἐλθεῖν καταδεχόμεναι, πρὶν ἂν ἴδωσι τὸν βασιλέα κατάρξαντα τῆς πτήσεως. οὐ χειροτονητὸς δὲ οὗτος, ἀλλ' ἐκ φύσεως ἔχων τὸ κατὰ πάντων πρωτεῖον, καὶ μεγέ- D θει διαφέρων καὶ σχήματι καὶ τῇ τοῦ ἤθους πρᾳότητι. ἔστι

caeteroqui vitam pedum usus est concessus. perpaucis pedes male sunt adfecti atque debiles, ita ut nec incedere nec venari quicquam pedibus possint, in quo genere sunt hirundines et quae falculae sive ripariae dicuntur, quae pro alimento vescuntur insectis per aëra volantibus.

Animadverte porro structuram aliam illarum avium esse, quae semina legunt, aliam carnivorarum, victui scilicet earum accommodatam. habent enim peracutos ungues, rostrum aduncum, celeres alas, ut praedam corripere celeriter possint. qua quidem ipsa de causa duriores animalibus ungues sunt quam homini, cui sunt omnino molliores. et constat certe cutem eiusdem consimiliter esse molliorem, de qua ungues oriuntur, itemque tam duritiem quam mollitiem unguium animalibus ex ipsorum usu datam. praeterea volucrum aliae nullo tenentur imperio, libertateque veluti quadam fruuntur; aliae ducis imperio subiectae sunt, ut grues. apes etiam sub rege ac praefecto quodam operas suas absolvunt, nec prius ad prata convolare solent quam regem initium avolandi fecisse conspexerint. neque regem hunc suffragiis quasi delectum habent, sed a natura in omnibus principem, excellentem caeteros magnitudine forma et indolis atque

μὲν γὰρ κέντρον τῷ βασιλεῖ, ἀλλ' οὐ χρῆται τούτῳ πρὸς ἄμυναν. νόμοι τινές εἰσιν οὗτοι τῆς φύσεως ἄγραφοι, ἀργοὺς εἶναι πρὸς τιμωρίαν τοὺς τῶν μεγίστων δυναστειῶν ἐπιβαίνοντας. οὕτω μὲν αἱ τῷ τοῦ βασιλέως ὑποδείγματι μὴ ἀκολουθοῦσαι τῇ τοῦ κέντρου πληγῇ ἐναποθνήσκουσιν, ἄξια τῆς ἑαυτῶν ὠμότητος εὑρίσκουσαι τὰ ἐπίχειρα.

Ἀλλὰ καὶ τοῦτο θαυμάζειν ἄξιον, πῶς αἱ γέρανοι τὰς ἐν τῇ νυκτὶ προφυλακὰς ἐκ περιτροπῆς ὑποδέχονται, καὶ αἱ μὲν καθεύδουσιν, αἱ δὲ κύκλῳ περιιοῦσαι πᾶσαν αὐταῖς ἐν P. 41 τῷ ὕπνῳ παρέχουσι τὴν ἀσφάλειαν. εἶτα τοῦ καιροῦ τῆς φυλακῆς πληρουμένου ἡ μὲν βοήσασα πρὸς ὕπνον ἐτράπη, ἡ δὲ τὴν διαδοχὴν δεξαμένη, ἧς ἔτυχεν ἀσφαλείας, καὶ ἀντέδωκε ταῖς λοιπαῖς. οὕτω μὲν οὖν καὶ τὸ τῶν πελαργῶν εἰς ἔκπληξιν ἄγει πάντας τῶν διαληφθέντων οὐκ ἔλασσον. ἐκεῖνοι γὰρ τὸν πατέρα ὑπὸ τοῦ γήρους πτερορρυήσαντα περιστάντες ἐν κύκλῳ τοῖς οἰκείοις πτεροῖς διαθάλπουσι, καὶ τὰς V. 32 τροφὰς ἀφθόνως παρασκευάζοντες βοήθειαν αὐτῷ κατά γε τὴν πτῆσιν παρέχουσιν, ἠρέμα τῷ πτερῷ κουφίζοντες ἑκατέρωθεν. καὶ οὕτως πᾶσι τοῦτο διαβεβόηται ὥς ἐντεῦθεν καί B τινας τὴν τῶν εὐεργετημάτων ἀντίδοσιν ὀνομάζειν ἀντιπελάργωσιν. μηδείς οὖν διὰ πενίαν τὴν αὐτοῦ ἀπογινωσκέτω ζωήν.

morum mansuetudine. nam stimulo quidem rex praeditus est, verum ad vindictam eo non utitur. sunt hae leges quaedam non scriptae, sed ab ipsa profectae natura, ut qui maximis imperiis potiuntur, ad puniendum tardi sint. et quidem si quae apes exemplum regis sui non imitantur, defixo stimulo simul emoriuntur dignaque crudelitate sua praemia consequuntur.

Hoc etiam nos admirari par est, quo pacto grues nocturnas excubias per vices obeant, dum aliae quidem dormiunt, aliae circumeundo praestant, ut omnes ab omni periculo per quietem tutae sint. ubi deinde tempus excubiis unius destinatum praeteriit, clamore illa sublato se quieti dat: ibi tum altera succedens in eius locum, quam illius beneficio consecuta est, quietem vicissim reliquis tutam praestat. consimili modo ciconiarum quoque natio cunctos in admirationem rapit, iam indicatis haud cedens. nam patrem, qui prae senio pennas amisit, undique circumstantes alis propriis fovent, alimentum illi abunde suppeditant, atque etiam in volatu iuvant, leniter eum ab utraque parte sublevantes. quod quidem usque adeo passim apud omnes pervulgatum est, ut hac de causa nonnulli compensationem beneficiorum appellare mutuam ciconiarum pietatem consueverint. quo exemplo moneri nos convenit ne quis ob paupertatem de vita desperet.

Τὸ δὲ τῆς χελιδόνος εὐμήχανον πῶς οὐκ ἄν τις ὑπεραγάσαιτο; ἐκείνη γὰρ τὴν καλιὰν πηγνυμένη τὰ μὲν κάρφη τῷ στόματι διακομίζει, πηλὸν δὲ τοῖς ποσὶν ἄραι μὴ δυναμένη (ἀνεπιτήδειοι γὰρ οὗτοι πρὸς πᾶσαν ὑπηρεσίαν) τὰ ἄκρα τῶν πτερῶν ὕδατι καταβρέξασα, εἶτα τῇ λεπτοτάτῃ κόνει ἐνειληθεῖσα, οὕτως ἐπινοεῖ τοῦ πηλοῦ τὴν χρείαν, καὶ κατὰ μικρὸν ἀλλήλοις τὰ κάρφη οἷον κόλλῃ τινὶ τῷ πηλῷ συνδήσασα ἐν αὐτῇ τοὺς νεοττοὺς ἐκτρέφει· ὧν ἐάν τις ἐκκεντήσῃ τὰ ὄμματα, ἔχει τινὰ παρὰ τῆς φύσεως βοήθειαν C ἰατρικήν, δι' ἧς πρὸς ὑγείαν ἐπανάγει τῶν ἐγγόνων τὰς ὄψεις.

Ἡ δὲ ἀλκυὼν θαλάττιόν ἐστιν ὄρνεον. αὕτη παρ' αὐτοὺς τοὺς αἰγιαλοὺς νοσσεύειν πέφυκεν ἐν καιρῷ χειμῶνος, ἐπ' αὐτῆς τὰ ᾠὰ θεμένη τῆς ψάμμου, ὅτε πολλοῖς καὶ βιαίοις ἀνέμοις ἡ θάλασσα τῇ γῇ προσαράσσεται. ἀλλ' ὅμως κοιμίζονται πάντες οἱ ἄνεμοι, ἡσυχάζει δὲ κῦμα θαλάσσιον, ὅτε ἀλκυὼν ἐπῳάζει, τὰς ἑπτὰ δηλονότι ἡμέρας. ἐπεὶ δὲ καὶ τροφῆς αὐτοῖς χρεία, ἄλλας ἑπτὰ ἡμέρας πρὸς τὴν τῶν νεοττῶν αὔξησιν ὁ μεγαλόδωρος αὐτῇ παρέσχε θεός. ὥστε καὶ ναυτικοὶ πάντες ἴσασι τοῦτο, καὶ ἀλκυονίτιδας τὰς ἡμέρας ἐκείνας προσαγορεύουσιν. D

Ἀλλὰ καὶ τὴν τρυγόνα φασὶ διαζευχθεῖσάν ποτε τοῦ ὁμόζυγος μηκέτι πρὸς ἕτερον καταδέχεσθαι κοινωνίαν, μνήμῃ τοῦ ποτὲ συζευχθέντος. ἀκουέτωσαν αἱ γυναῖκες ὅπως

12. Ἡ] Ὁ P.

Et quis non hirundinis solertiam maximopere admiretur? ea cum nidum conficit, festucas quidem collectas ore profert: sed cum tollere lutum pedibus nequeat, quos ad quasvis operas prorsus ineptos habet, extremis alarum partibus in aquam tinctis, ac deinde minutissimum in pulverem provoluta, rationem usurpandi luti excogitat. nam paulatim festucis luto tanquam glutino quodam colligatis nidum exstruit, et pullos in eo suos educat. quorum si quis oculos amittat, opem a natura medicam habet, qua eos fetui suo restituit.

Marina quaedam avicula est, halcedo. ea brumae tempore propter littora fetificare consuevit, ovis in arena collocatis, cum multis ac vehementibus a ventis mare ad terram alliditur. verum mox omnes venti sopiuntur et fluctus marini conquiescunt. tum halcedo totos septem dies ovis suis incubat, cumque temporis aliquid ad educationem quoque sit necessarium, dies alios septem, quibus pulli nonnihil crescant, divina largitas ei concedit. quae res nauticae rei peritis nota est, qui dies illos Halcedonia vocant.

Tradunt et turturem a compari seiunctam ob coniugis prioris memoriam nullius alterius societatem admittere. dictum hoc mulieri-

τὸ σεμνὸν τῆς χηρείας καὶ παρὰ τοῖς ἀλόγοις τοῦ ἐν ταῖς πολυγαμίαις ἀπρεποῦς προτιμότερον.

Ἀδικώτατος περὶ τὴν τῶν ἐγγόνων τροφὴν ὁ ἀετός. δύο γὰρ ἐξαγαγὼν νεοσσούς, τὸν ἕτερον αὐτῶν εἰς γῆν καταρρήγνυσι ταῖς πληγαῖς τῶν πτερῶν ἀπωθούμενος, διὰ τὸ τῆς τροφῆς ἐπίπονον ὃν ἐγέννησεν ἀποποιούμενος. ἀλλ' οὐκ ἐᾷ τοῦτον ἡ φήνη διαφθαρῆναι, ἀλλ' ὑπολαβοῦσα αὐτὸν τοῖς οἰκείοις
P. 42 αὐτὴ νεοσσοῖς συνεκτρέφει. ὃν δὲ κρατήσας ἐκθρέψειν νεοττὸν ὁ ἀετός, λαμβάνει καὶ συνίπταται αὐτῷ, καὶ ἐὰν ἴδῃ αὐτὸν εὐτόλμως μὲν τὸν ἀέρα νηχόμενον, ὀξυωποῦντα δὲ πρὸς τὴν τοῦ ἡλίου λαμπρότητα, ὡς οἰκεῖον περιποιεῖται, εἰ δὲ μή γε, ὡς νόθον ἀποβάλλει.

Ἀλλ' ἐπαινετὸν τὸ τῆς κορώνης φιλότεκνον, ἣ καὶ πετομένοις ἤδη τοῖς νεοττοῖς παρέπεται σιτίζουσα αὐτοὺς καὶ ἐκτρέφουσα μέχρι πολλοῦ. περὶ μέντοι τῶν κορωνῶν καὶ τάδε φησὶν ὁ μέγας Βασίλειος ἐν τῷ περὶ προνοίας λόγῳ αὐτοῦ. „θαῦμα μέγα πῶς αἱ κορῶναι τοῖς πελαργοῖς συναπαίρουσαι
B δορυφοροῦσιν αὐτοῖς καὶ παραπέμπουσιν, ἐμοὶ δοκεῖ, καὶ συμμαχίαν αὐτοῖς τινὰ παρέχουσι πρὸς ὄρνιθας πολεμίους. σημεῖον δὲ πρῶτον μὲν μὴ φαίνεσθαι ὑπὸ τὸν καιρὸν ἐκεῖνον κορώνην παντάπασιν·* ἔπειτα μετὰ τραυμάτων ἐπανερχόμεναι τῆς συμμαχίας ἐναργῆ σημεῖα κομίζουσι."

bus esto, vitae nimirum viduae puritatem ab ipsis etiam brutis animantibus indecorae plurium nuptiarum appetitioni praeferri.

Longe iniustissima est in educatione suae sobolis aquila. nam cum pullos duos produxit, alterum in terram deiicit alarum verberibus protrusum, ob educationis scilicet aerumnas atque molestias fetum ab se procreatum removens. sed abiectum phene, quam ossifragam dicunt, perire non sinit: nam sublatum suis cum pullis educat. quem autem pullum ipsa alit aquila, secum deinde sumit, et inter volandum cum eo, si quidem audacter aëra secantem videat ac solis splendorem acutis contuentem oculis, ut suum retinet atque servat, sin autem, ceu spurium abiicit.

* E contrario cornicis amor in sobolem praedicari meretur, quae pullos iam volantes nihilominus eos consectatur, pascit, et longum satis ad tempus educat. de his magnus ille Basilius haec etiam in oratione sua de providentia tradit. res, inquit, est mira, cum ciconiis cornices discedere, quasique satellites earum et itineris comites esse. quinetiam, mea quidem sententia, ferunt eis adversus aves quasdam hostiles auxilium. quod esse verum primum eo signo colligitur, quod eo tempore nusquam ulla cornix conspiciatur, deinde quod cum vulneribus revertentes praestitae societatis evidentes notas secum ferant.

Τὸ δέ γε πλέον τῶν ἄλλων παραδοξότερον, τοὺς γῦπάς φασιν ἀσυνδυάστως τίκτειν, καὶ ταῦτα μακροβιωτάτους ὄντας, καὶ μέχρις ἑκατὸν ἐτῶν τὴν ζωὴν αὐτῶν παρεκτείνεσθαι. διὰ τί δὲ τοῦτο, καὶ τίνος ἕνεκεν; ἵνα γὰρ μή τινες V. 33 ἐπιγελῶσι τῷ μυστηρίῳ ἡμῶν, ὡς ἀδύνατον παρθένον τεκεῖν C καὶ αὖθις μεῖναι παρθένον, μυρίας ἐκ τῆς φύσεως ἀφορμὰς πρὸς τὴν πίστιν τῶν παραδόξων προλαβὼν κατεβάλετο. καὶ οὕτω μὲν περὶ τούτων ὁ μέγας Βασίλειος· οἱ δέ γε τὰς φύσεις τῶν ζώων διασκεψάμενοι τριετῆ χρόνον τοὺς γῦπας ἐγκυμονεῖν τερατεύονται. καὶ πῶς ἄκουε. οὐκ ἔστιν ἄρρενα γῦπα θεάσασθαι· ἀσυνδυάστως γὰρ αὐτοὺς τίκτειν νόμοι φύσεως παρακελεύονται, ὅθεν καὶ πᾶν τὸ γένος αὐτῶν ἡ τοῦ θήλεος φύσις ἠνέγκατο. ὅπερ ἐπιστάμενοι γῦπες καὶ τὴν ἐρημίαν δεδιότες τῶν τέκνων, εἰς ἐπιγονὴν ἅπαν τὸ γένος στρατεύεται, καὶ δρῶσί τι σόφισμα ἄριστον. τῷ νότῳ καὶ D γὰρ ἀντίπρῳροι πέτανται. εἰ δὲ μὴ νότος εἴη, τῷ συγγενεῖ εὔρῳ ἁπλοῦσι τὰς πτέρυγας, εἶτα κεχήνασι καὶ τοῦ πνεύματος ἐμφοροῦνται εἰσρέοντος, καὶ τίκτουσι ζῶα, μὴ μέντοι γε ᾠὰ ὑπηνέμια. διὸ πλείστου χρόνου δεῖται ἡ φύσις πρὸς ζώου τελεσιουργίαν· χαλεπὸν γὰρ καὶ λίαν ἐργῶδες τῇ φύσει οὐσιῶσαι τὸ πνεῦμα καὶ πρὸς ζῶον πλαστουργεῖν τὸ λεπτότατον. ἐπειδὰν τοίνυν ἀκούεις καὶ σὺ συναφείας ἄνευ

Iam quod rebus caeteris magis etiam ab opinione hominum abhorret, vultures aiunt absque maris et feminae coniunctione gignere, senecta etiam in extrema: nam ad centesimum annum vivendo perveniunt. quamobrem istuc? nimirum ne qui mysterium nostrum irriderent, quasi fieri nequeat ut pariat virgo et nihilominus virgo maneat, ex ipsa natura deus nobis tantum non infinitas suppeditavit occasiones faciundi fidem rebus caeteroquin absurdis et nostrae opinioni non respondentibus. hoc modo de his Basilius disserit. caeteri vero, qui naturas animalium perspectas habent, vultures toto triennio gestare uterum prodigiose tradunt. quinam istuc? audi. vultur mas nullus conspicitur. nam absque duum coniunctione gignere de praescripto naturae solent. quo fit ut eorum universa natio consistat in feminis. hoc cum non ignorent vultures, orbitatis metu simul universi ad fetificandum quandam velut expeditionem suscipiunt. heic si nullus eis sese Auster offerat, ad cognatum Eurum alas expandunt. inde per oris hiatum vento influente replentur, et animalia, non ova subventanea gignunt. quae causa est quamobrem maximo temporis spatio natura huius ad animalis absolutionem indigeat. nam difficile et operosum est naturae de vento quandam essentiam efficere deque re longe subtilissima et exili prorsus animal fingere. cum igitur audies virginem illam purissimam absque ullo viri commercio

ἐγκυμονῆσαι τὴν πάναγνον, πρότερον αὐτῇ πνεύματος ἁγίου ἐπισκιάσαντος καὶ τοῦ κυρίου κατὰ τὸν προφήτην ἀπὸ Θαιμὰν ἥξαντος, μηδ' ὅλως ἀπίστει τῷ πράγματι, κἂν μέγα τῷ
P. 43 ὄντι δοκεῖ καὶ παράδοξον· ἐπὶ γὰρ τούτῳ καὶ ἡ παρὰ φύσιν τῶν γυπῶν κυοφορία θαυμασίως οὕτω τῷ θεῷ προητοίμασται. λέγεται γὰρ ὅτι γενόμενος ἔγκυος ὁ γὺψ πορεύεται εἰς τὴν Ἰνδικήν, καὶ λαβὼν λίθον τὸ καλούμενον εὐτόκιον ἐπάνω αὐτοῦ κάθηται συνεχόμενος ὠδῖσι, καὶ οὕτως ἀποτίκτει. ὁ μέντοι λίθος περιφερὴς ὡς κάρυον, καὶ κινούμενος ἦχον ἐκπέμπει ὡς κώδων, ἔνδοθεν ἑτέρου λίθου κινουμένου. φασὶ δὲ καὶ τοῦτο περὶ γυπός, ὅτι μύρῳ ῥοδίνῳ χρισθεὶς ἀποθνήσκει.

Θαυμάσειε δ' ἄν τις καὶ τὸ τῶν κοράκων τῶν διαλη-
B φθέντων οὐκ ἔλασσον. πεπόνθασί τι πάθος ὥρᾳ θέρους οἱ κόρακες, τὸ δὲ πάθος ἐστὶ ῥύσις γαστρός. ἐντεῦθεν ποταμοὶ καὶ πηγαὶ καὶ λίμναι οὐδέν τι χρῆμα κατά γε τὸ θέρος τοῖς κόραξιν, ἵνα μὴ τῷ ὑγρῷ ἡ τῆς γαστρὸς ῥύσις σχοίη ἐπίτασιν. ἴσασι τοίνυν καὶ διαίτης τέχνην οἱ κόρακες, οὐ τὰ Ἱπποκράτους παιδευθέντες, οὐ τὰ Χείρωνος, οὐ τὰ Μαχάονος φάρμακα, κἀντεῦθεν μὲν ὁρῶσι ποταμούς, ἀλλ' ὅμως πίνειν ἐκείνοις οὐκ ἔνεστιν, ἀλλ' οἷα Τάνταλοι κολαζόμενοι δριμυτέραν δίκην ταῦτα εἰσπράττονται.

gravidam fuisse factam, cum prius eam sanctus ille spiritus inumbrasset ac dominus, uti vates loquitur, de Thaemane venisset, nequaquam huic rei fidem derogato, tametsi reapse magna videatur et ab opinione hominum abhorrens. nam ea de causa vulturum quoque conceptio tam admirabiliter a deo est instituta. traditur autem monumentis litterarum vulturem, posteaquam conceperit, in Indiam sese conferre, nactumque lapidem, quem a facilitate partus quem adiuvat Eutocium vocant, in eo se parturigine vexatum collocare atque illo modo parere. lapis ipse rotundus est, avellanae nucis instar, et succussus in morem tintinabuli sonum edit, moto intus alio lapide. perhibetur hoc etiam de vulture, quod unguento rosaceo perunctus moriatur.

De corvis quoque non abs re quis miretur, quod hactenus indicatis non est inferius. aestivo tempore corvi quodam morbo laborant. is morbus ventris est profluvium. quamobrem fluvii fontes stagna per aestatem nulli sunt corvis usui, ne per humorem ventris illa fluxio magis etiam adaugeatur. de quo scilicet intelligitur etiam diaetae rationem sibi convenientem corvos non ignorare, quanquam nec Hippocratis nec Chironis nec Machaonis remedia discendo percepta teneant. iccirco fluvios quidem intuentur, sed haurire de iis nequeunt, gravemque hanc adeo poenam luunt, quasi Tantali quidam multati.

Θαυμάζειν σε ἄξιον καὶ διὰ τί τῆς ᾠδῆς οἱ τέττιγες ἐν
μέσῳ θέρει ἀπάρχονται. ψυχροί τινες τὴν φύσιν οἱ τέττι- C
γες, διὸ καὶ μετὰ θερινὰς τροπὰς ἀπάρχονται τῆς ᾠδῆς, καὶ
ἡλίου ἀπαρχομένου τὸν ἑαυτῶν μετίασι κέλαδον. ἐφ' ᾧ καὶ
μεσημβρίας εἰσὶν ᾠδικώτεροι. ἡ μέντοι θήλεια τέττιξ πολὺ
ψυχροτέρα τοῦ ἄρρενος οὖσα σιωπῶσα ἐφιζάνει τοῖς δένδρεσι,
τὰ Πυθαγόρου ὥσπερ διδαχθεῖσα διδάγματα. πῶς δὲ καὶ
φθαρτικὰ πτερῶν ἑτέρων ἀετῶν τυγχάνει πτερά; σηπεδονώ-
δους ταῦτα μετειλήφασι φύσεως. οὐκ ἂν σωθείη ἕτερα τὰ
πτερὰ τούτοις συναναμιγνύμενα· θᾶττον γὰρ ἐντεῦθεν ἀπόλ-
λυνται. διὰ τί δὲ καὶ ὁ χαραδριὸς εἴ ποτε ἀντιβλέψει τῷ
ἰκτεριῶντι, μύει τοὺς ὀφθαλμούς; οὐχ ὥς τινές φασι, τῷ
νοσοῦντι βασκαίνων καὶ τὸ φρόνημα πρὸς ὑγείας μετάδοσιν V.34
ἔχων ἐπίφθονον· οὐ γὰρ τοῖς ἀλόγοις βασκανία τις μέτε- D
στιν, οὐδὲ Προμηθεὺς παρ' ἐκείνοις κολάζεται, ἀγαθοῦ τι-
νὸς τοῦ πυρὸς μεταδοὺς τοῖς ἀνθρώποις. ὀφθαλμὸν δὲ μύ-
ει χαραδριός, ἐπεὶ τὸ πάθος ἀμείβεται καὶ τὴν ὄρνιν εὐθὺς
ἡ νόσος μετέρχεται.

Ἀλλ' οὐδὲ τοῦτο ἔξωθεν θαύματος, ὡς ἄγρυπνος ἡ ἀη-
δὼν ὅταν ἐπῳάζει, διὰ πάσης νυκτὸς τῆς μελῳδίας μὴ ἀπο-
λήγουσα. πῶς τετράπουν τὸ αὐτὸ καὶ πτηνὸν ἡ νυκτερίς;
πῶς μόνη τῶν ὀρνίθων ὀδοῦσι κέχρηται; ζῳογονεῖ μὲν ὡς τε- P.44

9. ἕτερ' ἄττα?

Meretur et hoc admirationem, quamobrem cicadae cantum suum aestate media primum incipiant. nimirum natura frigidae sunt, qua de causa post aestivum solstitium canendi faciunt initium; nec nisi exorto sole strepunt, ipsoque meridie maxime sunt canorae. et quidem femella cum longe sit mare frigidior, arboribus taciturna insidet, quasi si Pythagorae disciplinis esset imbuta. qui fit ut aquilarum pennae cum aliarum avium pennis commistae illas ipsas absumant? nam celeriter admodum pereunt. quamobrem charadrius, si quando quem morbo regio laborantem conspicit, oculos claudit? non id profecto propterea, quemadmodum aliqui volunt, quod aegroto invideat, livoreque praepediatur quo minus eum rectae valetudini restituat. non enim bruta laborant invidia, nec Prometheus apud ipsa punitur, quod ignem bonum cum mortalibus communicaverit. sed oculos iccirco claudit, quod morbus hic de uno ad alterum transeat; adeoque mox aviculam hanc morbus occupat.

Nec illud admiratione caret, quod luscinia vigilans, cum ovis incubat, noctem integram canere non desinat. qui vespertilio pariter et quadrupes est et volucris? qui avium haec sola dentes habet? ac fetificat quidem instar quadrupedum, aëra vero leviter permeat,

τράποδα, ἐπιπολάζει δὲ τῷ ἀέρι, οὐχὶ πτερῷ κουφιζομένη ἀλλ' ὑμένι τινὶ δερματίνῳ. πῶς δὲ καὶ τῶν χηνῶν γένος ἄγρυπνον καὶ πρὸς τὴν τῶν λανθανόντων αἴσθησιν ὀξύτατον; οἵγε ποτὲ καὶ τὴν βασιλίδα πόλιν περιεσώσαντο, πολεμίους τινὰς ἀφανεῖς δι' ὑπονόμων ἀφανῶν δὴ μέλλοντας τὴν ἄκραν τῆς Ῥώμης καταλαμβάνειν μηνύσαντες.

Τίς ὁ τοῖς γυψὶ προαγγέλλων τῶν ἀνθρώπων τὸν θάνατον, ὅταν κατ' ἀλλήλων ἐπιστρατεύσωσιν; ἴδοις γὰρ ἂν μυρίας ἀγέλας γυπῶν τοῖς στρατοπέδοις παρεπομένας, ἐκ τῆς τῶν ὅπλων παρασκευῆς τεκμαιρομένας τὴν ἔκβασιν, ὅπερ οὐ μακρὰν ἐστι λογισμῶν ἀνθρωπίνων.

B Καὶ ἄλλας δὲ θαυμάζειν ἔπεισι τῷ προσέχοντι. τὰ μὲν γὰρ ἐκ τῆς διαδοχῆς τῶν προϋπαρχόντων παράγεται, τὰ δὲ ἔτι καὶ νῦν ἐξ αὐτῆς τῆς γῆς ζωογονούμενα δείκνυται. οὐ γὰρ μόνον τέττιγες ἐν ἐπομβρίαις ἀνίασιν, οὐδὲ ἄλλα μυρία γένη τῶν ἐμφερομένων τῷ ἀέρι πτηνῶν, ὧν ἀκατονόμαστά ἐστι τὰ πλεῖστα διὰ λεπτότητα· ἀλλ' ἤδη καὶ μῦς καὶ βατράχους ἐξ αὐτοῦ ἀναδίδοσθαι, ὅπου γε περὶ Θήβας τὰς Αἰγυπτίας, ἐπειδὰν ὕσῃ λάβρως ἐν καύμασιν, εὐθὺς ἀρουραίων μυῶν ἡ χώρα καταπληροῦται. τὰς δὲ ἐγχέλυς οὐκ ἄλλως ὁρῶμεν ἢ ἐκ τῆς ἰλύος συνισταμένας, ὧν οὔτε ᾠὸν οὔτε τις ἄλλος τρόπος τὴν διαδοχὴν συνίστησιν, ἀλλ' ἐκ τῆς γῆς αὐτῆς ἐστὶν ἡ γένεσις.

5. δὴ] ἤδη? 12. ἄλλα?

non alis sed pellicula quadam sublata. qui fit ut anseres pervigiles sint et ad sentiendum obscura latentiaque longe acerrimi? qui quidem olim etiam urbem orbis principem conservarunt, cum hostes quosdam occultos, qui per ignotos abditosque cuniculos arcem Romanam occupaturi erant, indicio suo prodidissent.

Quis hominum caedem vulturibus denuntiat, cum expeditiones adversus se invicem suscipiunt? videas enim tantum non infinita vulturum agmina castra sequi, de armorum apparatu eventus indicia colligentium, quod ipsum a ratiocinationibus humanis parum abest.

Aliis etiam de causis in admirationem quaedam veniunt, si quis animum advertat. quaedam enim volucres de prius existentium propagatione veniunt, quaedam hodieque de terra oriuntur. non enim cicadae tantum e pluviis proveniunt, aliaque plurima quae in aëre volant, pleraque nominibus propriis ob eorum exiguitatem carentia: sed etiam mures atque ranae de eadem prodeunt, quando apud Thebas Aegyptias, si vehementes in aestu pluviae cadant, mox terrenis muribus universa regio completur. nec anguillas aliunde cernimus oriri quam de limo. quippe nec ovis nec alio quopiam modo propagantur, sed ortum e terra tantum habent.

Ὅρα δὲ καὶ τὸν ἐρωδιόν. ὁ ἐρωδιὸς εἶδος ὀρνέου ἐστὶ C πηγνύντος τὴν καλιὰν αὐτοῦ πάντων ἄνωθεν τῶν στρουθῶν, ἤγουν ἐν τοῖς ὑψηλοτάτοις τῶν δένδρων, καὶ μάλιστα ταῖς ἐλάταις. καὶ ὁ Ἀκύλας „ἐρωδιῷ ἐλάται οἴκῳ αὐτοῦ." πάντων οὖν ἄνωθεν τῶν στρουθῶν πήγνυσι τὴν καλιάν. κατὰ τοῦτο καὶ ὁ Δαβίδ φησι „τοῦ ἐρωδιοῦ ἡ κατοικία ἡγεῖται αὐτῶν." τοσαύτῃ δὲ σωφροσύνῃ συζῆν τὸν ἐρωδιὸν ὥστε ἡνίκα πρὸς συνουσίαν ἔρχεσθαι μέλλει, ἡμέρας πενθεῖ τεσσαράκοντα καὶ μετὰ τὴν συνουσίαν ἑτέρας τεσσαρακοντα· δυσανασχετεῖ καὶ γὰρ τουτὶ τὸ ὄρνεον εἴ ποτε φύσεως ἀνάγκῃ πρὸς ἄλληλα συνδυάζεσθαι καθέλκοιτο, ἅτε δὴ τὴν ἐντεῦθεν ἀηδίαν παριστῶν. εἰ δὲ ταῦτα οὕτως ἔχει, τί ποιήσομεν ἡμεῖς; οἱ λόγῳ μὲν τετιμημένοι, ταῖς δὲ τοῦ βίου κατὰ το- D σοῦτον ἡδοναῖς ἐμπεδούμενοι.

Καὶ περὶ μὲν τοῦ πελεκάνου, οὗ καὶ ὁ Δαβὶδ μέμνηται λέγων „ὡμοιώθην πελεκᾶνι ἐρημικῷ," τί χρὴ καὶ λέγειν; τοῦτο τὸ πτηνὸν ἐν ἄκραις πέτραις πήγνυσι τὴν καλιάν, τοὺς ἐπιβούλους ἐκφεύγειν διὰ φροντίδος ποιούμενον. ἀλλ' ὁ ἐπίβουλος ὄφις ἡνίκα τὸν πατέρα μικρόν τι τῶν τέκνων ἀποπτάντα θεάσηται, τῆς ἐπιβουλῆς παραχρῆμα ἐφάπτεται. καὶ ἐπειδὴ μὴ προσεγγίζειν τῇ καλιᾷ δύναται, τὸν ἰὸν αὐτοῖς ἐπιχέει καὶ πόρρωθεν· περισκοπήσας γὰρ πρότερον ὅθεν εἰσπνέει ὁ ἄνεμος, κἀκεῖθεν ἐμφυσήσας αὐτοῖς τὸν ἰόν, ἐπάγει

13. δὲ deerat.

Erodium mihi quaeso considera. species haec avis est supra quosvis passeres nidificantis, altissimis nimirum in arboribus, praesertim abietibus. unde Aquila psalmi (103 17) dictum vertens „erodio" inquit „domicilium sunt abietes." supra omnes alias certe volucres nidificat. iccirco Davides ait „erodii domicilium superat eos." hunc erodium tanta praeditum esse castimonia tradunt, ut cum ad Venerem accessurus est, dies quadraginta continuos lugeat, et post coniunctionem alios totidem dies. aegre enim fert, si quando necessitate sic exigente mutuam ad coniunctionem pertrahitur, quasi quiddam inde sibi ingratae rei accidere significaret. quae si vera sunt, quid nos, quaeso, facturi sumus? qui beneficio rationis ornati nihilominus vitae voluptatibus plus aequo sumus addicti.

Quid de Pelecano dicemus? cuius in psalmis suis (101 8) Davides etiam meminit: „factus sum" ait „pelecano solitario similis." avis haec summis in scopulis nidum exstruit, sollicite incumbens in id ut insidiatores vitet. verum serpens insidiator etiam magno ex intervallo virus suum in pullos eius evomit. posteaquam enim circumspexit unde ventus spiret, ab ea parte veneno adflato interitum eis

P. 45 τὸν ὄλεθρον. ἀλλ' ὁ πατὴρ ἐπιπτὰς αὖθις αὐτοῖς καὶ φυσικοῖς τισὶ λόγοις τὴν ἐπιβουλὴν συνιὼν οἶδεν αὖθις ὅθεν ἀναβιώσαιντο· κατὰ κορυφῆς γὰρ αὐτῶν ἠρέμα πτερύσσεται,
V. 35 καὶ τὰς πλευρὰς ἑκατέρωθεν ἐπιπλήσσων ταῖς πτέρυξιν αἵματος αὐτοῖς ῥανίδας ἀφίησι, κἀντεῦθεν οἱ τεθνεῶτες νεοττοὶ παραδόξως ἀναβιώσκουσιν.

Ἐπίγνωθι οὖν, ἀγαπητέ, τίνος ἕνεκεν ἡ παράδοξος αὕτη περὶ τὰ ἔγγονα τῷ πελεκᾶνι συμπάθεια. σκιαγραφῆσαι γὰρ ὁ κύριος τὰ καθ' ἡμᾶς πάντα κἀν τῷ πτηνῷ τούτῳ θέλων
B ἀνέκαθεν, ὅτι τε παράδεισος ἔκτισται καὶ ὅτι περ ἐν αὐτῷ οἱ πρωτόπλαστοι τέθεινται, ὅτι ὁ νοητὸς ὄφις τὸν ψυχικὸν αὐτοῖς προυξένησε θάνατον, καὶ ὅτι φιλόστοργος οἷα πατὴρ ἐπὶ τεθνεῶσι παισὶν ὁ ποιητὴς πάντων θεὸς ἐπ' αὐτοῖς ἐπικάμπτεται, χρηματίζει τε τὰ καθ' ἡμᾶς ἄνθρωπος καὶ πάντα τὰ λοιπὰ καταδέχεται, ἐπὶ σταυροῦ τελευταῖον ὑψοῦται, καὶ τῆς πλευρᾶς αὐτοῦ ζωήρρυτον αἷμα ἐκχέει εἰς ἀνάπλασιν τῶν πρωτοπλάστων ἐκείνων τῶν τῷ ἰῷ τεθνηκότων τοῦ ὄφεως, τοιαύτην τῷ πελεκᾶνι συμπάθειαν περὶ τὰ ἔγγονα κατ' ἀρχὰς ἐνεφύτευσε. διὰ γὰρ τοῦτο καὶ Δαβὶδ προλαβὼν ἔλεγεν
C „ὡμοιώθην πελεκᾶνι ἐρημικῷ." πελεκὰν γὰρ αὐτὸς ὁ Χριστός, καλιὰ ὁ παράδεισος, νεοττοὶ οἱ πρωτόπλαστοι, ἐπίβουλος ὄφις αὐτὸς ὁ διάβολος, ἰὸς ὄφεως ἡ ἐκ τοῦ διαβόλου

adfert. tum vero pater supra ipsos volans, et naturali quodam instinctu factas insidias deprehendens, quo pacto recuperare vitam possint cognitum habet. nam leniter supra illorum verticem alas expandens, et feriens utrinque latera, guttas in eos sanguinis demittit. quo facto nova et inopinata quadam ratione pulli vitae restituuntur.

Hoc exemplum, dilecte fili, velim mihi consideres. quamobrem indita est pelecano admirabilis haec erga sobolem adfectio? cum multo ante dominus hac in ave vellet exprimere cuncta quae nobis acciderunt, quod nimirum paradisus conditus sit, quod in eo collocati homines illi primi, quod intellectilis ille serpens animi mortem eis conciliaverit, quod opifex omnium deus paterna benevolentia velut erga filios motus, homo factus, omnia perpessus, tandem in crucem sublatus sit, quod de latere suo sanguinem effuderit, verum vitae rivum, ad primorum hominum instaurationem, qui veneno serpentis extincti fuerant, ipso rerum initio talem erga sobolem suam adfectionem pelecano insevit. nam propterea per Davidem multo ante verbis his usus est „factus sum pelecano solitario similis." etenim pelecanus est ipse Christus, nidus paradisus, pulli primum conditi homines, serpens insidiator ipse diabolus, virus serpentis fraus dia-

πάντως ἀπάτη, θάνατος ὁ ἐκ τοῦ θεοῦ χωρισμός, συμπάθεια πατρικὴ ἡ τοῦ θεοῦ λόγου δι' ἡμᾶς ἐνανθρώπησις. ἡ δὲ τῶν νεοττῶν ὕπερθεν ἐπιπτέρυξις ἡ ἐπὶ σταυροῦ τοῦ Χριστοῦ τῶν πρωτοπλάστων ἄνωθεν ἀπαιώρησις, πλευρῶν ἐπίπληξις ἡ τῆς θείας νύξις πλευρᾶς, καὶ τελευταῖον τοῖς τεθνεῶσιν ἐπιστάζον αἷμα ζωόρρυτον· εἰ μὴ γὰρ ζωόρρυτον ἦν, οὐκ ἂν τοῖς κάτω κειμένοις ἐχαρίσατο τὴν ἀνάστασιν. καλῶς οὖν ἔλεγε διὰ τοῦ προφήτου ὁ κύριος „ὡμοιώθην πελεκᾶνι ἐρη- D μικῷ."

Λέγει δὲ τὸ κατὰ Λουκᾶν εὐαγγέλιον περὶ τῶν κοράκων ὅτι οὐ σπείρουσιν οὐδὲ θερίζουσιν, ὁ δὲ θεὸς τρέφει αὐτά. τίνος ἕνεκεν ἐνταῦθα τῶν κοράκων ἐξ ὀνόματος μέμνηται; λέγεται οὖν ὅτι μισοτέκνους ὄντας αὐτοὺς μὴ τρέφειν τὰ οἰκεῖα νεόττια, τρέφεσθαι δὲ προνοίᾳ θεοῦ ἀπὸ τῶν παραφυομένων τῷ ἀέρι ζωϋφίων τῷ στόματι αὐτῶν ἐμπιπτόντων. πόσου δὲ καὶ τοῦτο θαύματος ἄξιον;

Αἱ μέλισσαι τοὺς κηφῆνας ἐφάπαξ καταλαβοῦσαι πεφεισμένως τύπτουσι καὶ ἀπολύουσιν, εἰ δὲ καὶ αὖθις αὐτοὺς κατάσχωσι νεκροὺς ἐργάζονται. καὶ αἱ μὲν αὐτῶν τῷ βασιλεῖ P. 46 δορυφοροῦσιν, αἱ δὲ νυκτὸς ἐπαγρυπνοῦσι φυλακῆς χάριν διὰ τὸ τὰς κοπιώσας τότε ἀναπαύεσθαι, τῶν δὲ ἔργον ἐστὶ τὸ τὰς νεκρὰς ἀποκομίζειν ἔξωθεν.

boli, mors a deo diremptus atque separatio, paterna adfectio dei sermonis facta nostri causa naturae humanae adsumptio, alarum supra pullos expansio Christi supra conditos illos primum homines in crucem sublatio, laterum pulsatio divini lateris punctio, quam secuta est sanguinis vitae fontem continentis destillatio. nisi enim vivificus esset, prostratis resurrectionem impartiri non posset. itaque per vatem dominus praeclare dixit „factus sum pelecano solitario similis."

Perscriptum est in evangelio Lucae (12 24) „considerate corvos, qui neque serunt neque metunt, et deus nihilominus eos alit." quamobrem hoc loco nominatim corvorum fit mentio? perhibentur corvi sobolem suam odisse, ac propterea pullorum alendorum curam abiicere. verum ii dei providentia victitare quibusdam feruntur animalculis ex aëre propter ipsos nascentibus et in ora illorum delabentibus. hoc ipsum, quaeso, quantam admirationem meretur?

Cum semel fucos deprehenderunt apes, parce ac leniter in eos irruunt et captos a contubernio suo ablegant. sin rursus eos intercipiant, morte adficiunt. eaedem partim regem veluti satellites stipant, partim nocturnas excubias agunt, quod eo tempore quiescant aliae laboribus fatigatae, partim hoc muneris habent ut mortuas exportent.

Οὐ χρὴ θαυμάζειν εἴγε ταῖς τῆς σελήνης αὐξομειώσεσι
μεταβάλλεται ὁ ἀήρ, ὅπου γε καὶ ἐν ζώοις τισὶν ἔστι τοῦτο
ἰδεῖν. φασὶ γὰρ τὴν ἶβιν μηδαμοῦ ὁρᾶν ὅτε ἀσέληνος ὁ οὐ-
ρανός, μύειν δὲ καὶ ἄσιτον μένειν. ὁ δὲ κέρκωψ προδηλο-
τέρας ἔχει τὰς ἐνεργείας· ὅτε γὰρ αὔξει ἡ σελήνη, ὁ τῶν
ὀφθαλμῶν κύκλος τούτῳ εὐρύνεται, ὅτε δὲ μειοῦται, συστέλ-
B λεται. ἀλλὰ καὶ ἡ γαλῆ λειψοφωτούσης τῆς σελήνης ἥπατος
λείπεται· αὐξιφωτούσης δὲ πάλιν αὐτῆς τὸ τοιοῦτον αὐτῆς
προσεπαύξεται μόριον. φασὶ δὲ καὶ ἐν ποταμῷ τῷ Ὑδάσπῃ
V. 36 γεννᾶσθαι λίθον λίχνην καλούμενον, ὃς σελήνης αὐξομένης ἦχον
μελῳδίας ἀποτελεῖ. καὶ ἐν ποταμῷ δὲ Κελτικῷ διαιτᾶσθαι
ἰχθὺν κλωπίαν ἐγχωρίως καλούμενον, ὃς αὐξομένης τῆς σε-
λήνης λευκαίνεται μειουμένης δὲ μελαίνεται. ταῦτα δὲ τῇ
ἑξαημέρῳ αὐτοῦ συμπεριείληφεν ὁ μέγας Ἀναστάσιος.

Ἀλλὰ καὶ διὰ τοὺς ἀπιστοῦντας ἢ μᾶλλον εἰπεῖν ἐπιγε-
C λῶντας τῇ ἀναστάσει, καθά φησιν ὁ μέγας Ἐπιφάνιος, πα-
ράδοξά τινα προῳκονόμησαν γίνεσθαι. ἡ φάσκα θνήσκει ἡμέ-
ρας τεσσαράκοντα, καὶ πάλιν ἀνίσταται. ὁ μύωψ θνήσκει
μῆνας ἕξ, καὶ πάλιν ἀνίσταται. ὁ φοῖνιξ ὁ Ἀραβικὸς ὄρνις
λέγεται εἶναι μονογενής, ἄζυγος ἐν τῇ δημιουργίᾳ, κατὰ ἔτη
πεντακόσια τοῦτο πάσχει ὃ καὶ φαιδρὰν προϊστᾷ τὴν ἀνά-

19. ὄρνις δς λ.?

Mirum videri non debet una cum incrementis ac deminutionibus lunae aëra quoque mutari, quando nonnullis in animalibus idem usuvenire videmus. nam tradunt ibim coelo luna carente nihil cernere sed oculos habere clausos, nec cibis ullis uti. et quidem in simio, quem cercopem vocant, effectiones hac in parte sunt illustriores: nam cum augescit luna, oculorum orbis ei dilatatur, cum deminuitur, et ipse contrahitur. quinetiam mustela deficiente lunae lumine iecur imminui sentit; eademque rursum crescente, membrum idem vicissim augetur. perhibent etiam in Hydaspe fluvio lapidem quendam nasci quem Lichnen vocant: is augescente luna sonum dulcis cantus edere fertur. in flumine quodam Celtico piscem existere tradunt, qui ab incolis Clopias appelletur: is luna crescente albescit, deminuta nigricat. atque haec quidem etiam libro suo de sex primorum ab ortu mundi dierum opificiis magnus Anastasius ille complexus est.

Caeterum praeter illos quoque qui resurrectionem futuram non credunt vel potius eam irrident, ut eximius ille noster Epiphanius ait, admirabilia quaedam et nova deus uti fierent consilio singulari instituit. phascusa dies XL mortua reviviscit. myops sive tabanus VI totos menses mortuus vitam recuperat. phoenix avis est Arabica, quae et unigena et comparis expers fertur in creatione rerum exsti-

στασιν. αὐτοὶ καὶ γὰρ οἱ Ἕλληνες περὶ αὐτοῦ διηγοῦνται ὅτι προγνοὺς τὸ τέλος αὐτοῦ ἔρχεται περὶ τὴν Αἴγυπτον καὶ ἀντικρὺ τοῦ ἡλίου ἵσταται, εἶτα τεφροῦται, καὶ ἀπὸ τοῦ χοὸς αὐτοῦ σκώληξ γεννᾶται; καὶ αὐτὸς αὖθις εἰς πτηνὸν μεταβάλλεται. τὸν φοίνικα δὲ τοῦτον, ὡς εἴπομεν, μετὰ ἔτη D πεντακόσια εἴωθε γίνεσθαι. ὁ δὲ στρουθὸς ὁ Λιβυκὸς ὄρνις μέν ἐστι, πτερωτὸς δέ, οὐ πέταται δὲ διὰ τὸ τὰ πτερὰ αὐτοῦ μὴ χρησιμεύειν εἰς πτῆσιν· τριχοειδῆ γάρ. καὶ δίπους μέν ἐστιν ὡς ὄρνις, διχηλεῖ δὲ ὡς τετράπους. ἀλλὰ καὶ μονότοκον οὐδὲν τῶν ὀρνίθων ἐστίν, εἰ μὴ μόνος ὁ κόκκυξ διὰ τὸ ψυχρὸν τῆς αὐτοῦ φύσεως. ὅτι δὲ ψυχρός, δῆλον ἐκ τῆς δειλίας αὐτοῦ· καὶ γὰρ εἰ μὴ ἦν δειλός, οὐκ ἂν ὑπὸ πάντων ἐδιώκετο τῶν ὀρνέων, κἀντεῦθεν ἐν ἀλλοτρίαις ἔτικτε νεοττιαῖς. πανταχοῦ δὲ ἡ ψυχρότης αἰτία δειλίας.

Ἀλλ' οὐδὲ τοῦτό σε παραδραμεῖν, ἀγαπητέ, βούλομαι, P. 47 παραδοξότερον καὶ μάλιστα τῶν ἄλλων ὄν, ὃ περὶ ὄρνιθος τοῦ καλουμένου μέροπος ὁ Αἰλιανὸς ἱστορεῖ, „μέροψ" λέγων „τὸ ὄρνεον εἰς τοὐπίσω πέταται." καὶ ἔπεισί μοι θαυμάζειν τὴν ἐπίσημον ἀναφορὰν ἣν ἐκεῖνο ἄγει τὸ ζῷον.

Τὸ δὲ τὸν ἀλεκτρυόνα νυκτὸς ᾄδειν ἐν ὡρισμένοις καιροῖς οὐ πρὸ πολλοῦ τῆς τοῦ ἡλίου ἀνατολῆς τινὲς μὲν ἐφυ-

tisse. huic in singulos annos D eiusmodi quiddam usuvenire traditur, quod laetam illam resurrectionem egregie nobis ob oculos ponit. nam Graeci commemorant eum finem suum prospicientem in Aegyptum sese conferre ac soli obvertere. deinde in pulverem exuritur, de quo pulvere vermis nascitur, qui rursus in volucrem commutatur quem phoenicem dicimus. atque hoc, ut indicavimus, post singulos quingentos annos fieri consuevit. passer autem Lybicus avis quidem est (alas enim habet), verum non volat propterea quod pennas habeat ad volatum non satis idoneas, uti quae pilis consimiles sint. idem bipes est avium more, sed ungulas divisas habet ut quadrupes. unicum modo fetum avis nulla gignit praeter Ceycem. quod quidem fit ob eius naturae frigiditatem, quae de formidine colligitur: nam nisi timidus esset, aves ipsum universae non persequerentur. quo ipso fit ut nidis alienis utatur. est autem frigiditas ubique formidinis causa.

Ne hoc quidem silentio praeterire possum, multis aliis rebus admirabilius, quod de ave quam Meropem vocant Aelianus memoriae prodidit. merops, inquit, avis retrorsum volat, quem quidem motum volatumque huius animalis notabilem ac inusitatum haud abs re mirari subit.

Iam quod gallus gallinaceus noctu certis horis cantet, non multum ante solis ortum, eius rei causam in hunc modum nonnulli explica-

σιολόγησαν οὕτως, ὅτι θερμότατον ὂν τὸ ζῷον καὶ λίχνον
περὶ τὰς τῶν τροφῶν ὀρέξεις τῇ μὲν ἐμφύτῳ θερμότητι τα-
χύτερον πέπτει τὴν διδομένην τροφήν, τῇ δὲ λιχνείᾳ τῆς
B φύσεως προαναφωνεῖ τὴν περὶ ταῦτα ὄρεξιν, οἱονεὶ προσκα-
λούμενος τὸν σιτίζοντα. ἕτεροι δέ φασιν ὅτι καὶ ἕκαστον τῶν
ἐνταῦθα ὄντων καὶ γινομένων ἑκάστῳ τῶν φωστήρων ἀνάκει-
ται, ὥσπερ ὁ λωτὸς τὸ φυτὸν ἡλιακόν ἐστιν, ὅθεν ἀνατέλ-
λοντι μὲν τῷ φωστῆρι ἐξαπλοῖ τὰ φύλλα, δύνοντι δὲ συστέλ-
λει. οὕτω μὲν οὖν καὶ ὁ ἀλεκτρυὼν ὑπὸ τὴν ἡλιακὴν τάξιν
ἐστί. ταύτῃ τοι καὶ πρὸς ἀνατολὴν ἐπανιόντι τῷ ἰδίῳ ἀρχη-
γέτῃ ἀπορρήτως καὶ φυσικῶς ἐπιγάννυται, καὶ ὥσπερ ᾠδὴν
αὐτῷ ποιούμενος ἀπολαμπρύνει τε τὴν φωνὴν καὶ μέγα βοᾷ.
C καὶ οὗτοι μὲν οὕτως· σὺ δέ, ἀγαπητέ, τὰς τοιαύτας φω-
νὰς μετὰ τῶν μύθων ἀριθμεῖν μὴ δέδιθι. τὸν γὰρ ἀλε-
κτρυόνα νυκτὸς ἔταξεν ᾄδειν ὁ κηδεμὼν πάντων θεός, ὡς ἐν-
τεῦθεν ἡμᾶς ἄκοντας τῆς κλίνης ἐγείρεσθαι καὶ μὴ τὴν νύ-
κτα καταναλίσκειν ὅλην ἐπὶ κενοῖς, ἀλλὰ τοὺς μὲν εἰς ἐργα-
σίαν ἐκτρέπεσθαι, τοὺς δὲ πρὸς θείαν δοξολογίαν ἀνίστασθαι·
V. 37 τοιαῦτα γὰρ τοῦ θεοῦ καὶ διὰ λόγων καὶ διὰ ζώων οὐκ ἀναι-
νομένου παιδεύειν. καὶ πρόσχες τῷ Σολομῶντι λέγοντι „ἴθι
πρὸς τὸν μύρμηκα ὦ ὀκνηρέ."

Γίνωσκε δὲ καὶ τοῦτο, ὅτι τὴν μυῖαν Ἀττικῷ μέλιτι μὴ ἐπικαθῆσθαι φασί. θύμοις καὶ γὰρ τὴν Ἀττικὴν κομῶσαν

runt. aiunt enim animal hoc a natura calidissimum et in primis in appetendo nutrimento avidum ob calorem quidem insitum citius acceptum alimentum concoquere, ob aviditatem vero naturae appetitum suum significare, quasi pascentem se invitet et excitet. alii volunt rem quamlibet alicui certo sideri dicatam esse, sicuti lotus herba solaris est. quo fit ut huic luminari exorienti folia sua pandat, cum eadem eodem occidente contrahat. sic et gallus gallinaceus de horum opinione sub solem refertur. quamobrem ad ortum redeunte duce suo ratione quadam occulta et naturali gaudet. simul quasi carmen ei quoddam concinere velit, clarius vocem attollit et altum clamat. atque illorum quidem haec est sententia. tu vero, mi fili, voces huiusmodi referre inter fabulas ne verearis. nam gallum gallinaceum noctu canere deus iussit, qui omnia providentia sua complectitur, ut hoc modo vel inviti de lectulo surgamus nec sine fructu noctem integram consumamus, sed partim ad operas nos convertamus, partim ad dei celebrationem excitemur. sic enim consuevit deus tam per doctrinam quam ipsa etiam animalia nos erudire. quid Solomo (Prov. 6 6) dicat, audi: „ad formicam, ignave, te confer."

Hoc etiam animadverte, quod muscam Attico melli negant insi-

ἔστι θεάσασθαι, οἷς ἐφιζάνουσιν Ἀττικαὶ συχνότερον μέλισ- D σαι. ἐντεῦθεν καὶ δριμυτέραν ἔχει τὴν ὄσφρησιν. διὸ καθάπερ ἱερῷ τινὶ Ἀττικῷ μυῖα οὐκ ἐπικάθηται μέλιτι.

Γίνωσκε δὲ πρὸς τούτοις ὅτι μυῖαι καὶ μέλισσαι καὶ μύρμηκες ὑπὸ ἐλαίου ἀπόλλυνται, διότι τὰ ἀναπνευστικὰ στενὰ ἔχει, τὸ δὲ ἔλαιον γλίσχρον ἐμφράττει αὐτά. πάσχουσι δὲ τοῦτο καὶ οἱ ὄφεις ὑπὸ τῶν βαρυόδμων· τὸ γὰρ παρ' αὐτοῖς στενόπορον τῶν ἀναπνευστικῶν ἐμφράττεται ὑπὸ τῆς τῶν θυμιωμένων παχύτητος. ἐπὶ γὰρ τούτῳ καὶ τὸ τῆς ἐλάφου κέρας θυμιώμενον φεύγει καὶ μᾶλλον ὁ ὄφις· λειποθυμεῖν γὰρ αὐτὸν ἀναγκάζει.

Ἐπὶ πᾶσι δὲ τούτοις τοῖς ὀρνέοις οὐρηδόχον κύστιν καὶ P.48 νεφροὺς ἡ φύσις οὐκ ἔδωκεν, ὅτι πολλῆς ὑγρότητος ἔδει πρὸς γένεσιν τῶν πτερῶν. ἀλλὰ καὶ τὸ γυμνάζεσθαι κατὰ τὴν πτῆσιν ἐξαναλίσκει ταύτην. ἔχουσι δὲ καὶ τὴν κόπρον ἐξιοῦσαν σὺν ὑγρότητι οὐ μετρίως. καὶ τούτου χάριν οὐρηδόχον κύστιν ἡ φύσις τοῖς ὀρνέοις οὐκ ἔδωκεν.

Ἔχεις ἰδοὺ καὶ τὰ τῆς πέμπτης ἡμέρας.

Ἐν δὲ τῇ ἕκτῃ ἡμέρᾳ ἐκ τῆς γῆς ἐξάγει τὰ τετράποδα· „καὶ εἶπε" γάρ φησιν „ὁ θεὸς ἐξαγαγέτω ἡ γῆ ψυχὴν ζῶ- B

6. γλίσχρον ὂν ἐμφρ.? 9. τοῦτο P.

dere. nam thymo Atticam abundare videmus, cui herbae ut plurimum apes Atticae insident. quo fit ut mel Atticum etiam odorem habeat acriorem. iccirco melli Attico, tanquam sacro, muscae non insident: sed ut maxime cum strepitu circumvolent, ab direptione tamen laborum apis Atticae arcentur.

Praeter haec scire debes, muscas et apes et formicas oleo extingui. nam vasa quibus respiratio fit sunt eis angusta, quae ab oleo natura lento viscosoque facile obstruuntur. idem serpentibus accidit offerentibus se rebus quarum gravis est odor. etenim angustia meatuum in eis respirationi destinatorum per suffituum crassitiem obstruitur. qua ipsa de causa fit ut cornu cervinum serpens magis etiam fugiat quam res illas oderatas: quippe serpentem id prorsus exanimat.

Supra omnia nobis in hoc etiam, fili, est inquirendum. vesicam illam qua urina excipitur, itemque renes avibus iccirco natura non dedit, quod ad producendas pennas multo humore opus erat. atque etiam ipsa volandi exercitatio facile humorem in eis absumit. praeterea cum stercus excernunt, non parum humoris simul exit. quamobrem urinae receptaculum in avibus natura non condidit.

En habes et quintae diei opera.

Sexta die deus e terra bestias quadrupedes producit. inquit enim historiae scriptor (Gen. 1 24) „dixit deus, edat tellus animam vi-

σαν." ἀλλ' ἐπιπηδῶσιν οἱ Μανιχαῖοι κἀνταῦθα, ψυχὴν ἐντιθέντες τῇ γῇ. ματαιάζουσι δὲ προφανῶς· οὐδὲ γὰρ ἐπειδὴ εἶπεν „ἐξαγαγέτω ψυχήν," τὸ ἐναποκείμενον αὐτῇ προσήνεγκεν, ἀλλ' ὁ δοὺς τὸ πρόσταγμα καὶ τὴν τοῦ ἐξαγαγεῖν αὐτῇ δύναμιν ἐχαρίσατο. οὔτε γὰρ ὅτε ἤκουσεν ἡ γῆ „βλαστησάτω βοτάνην χόρτου καὶ ξύλον κάρπιμον ποιοῦν καρπόν," κεκρυμμένον ἔχουσα τὸν χόρτον ἐξήνεγκεν, οὐδὲ τὸν φοίνικα ἢ τὴν δρῦν ἢ τὴν κυπάρισσον κάτω που κεκρυμμένην ἐν ταῖς C ἑαυτῆς λαγόσιν ἀνῆκε πρὸς τὴν ἐπιφάνειαν, ἀλλ' ὁ θεῖος λόγος φύσις τῶν γινομένων ἐστίν. ἐξάγει λοιπὸν ἡ γῆ οὐχ ὅπερ ἔχει, ἀλλ' ὅπερ σήμερον κτᾶται, θεοῦ δωρουμένου τῆς ἐνεργείας τὴν δύναμιν. εἰ γὰρ καὶ φυσικῷ λογῳ τὰ πάντα γίνεται σήμερον, ἀλλ' ἐκεῖθεν ἐσχήκασι κατ' ἀρχὰς τὴν ὁρμήν. κατὰ τοῦτο καὶ ὁ μέγας Βασίλειος λέγει ὅτι ποιεῖ μὲν ἡ φύσις ἅπαντα κατὰ τὴν ἀκολουθίαν, θείῳ δὲ προστάγματι διὰ πάσης ἀρχῆθεν λαληθέντι τῆς κτίσεως.

Ἐξάγει μὲν οὖν κατὰ τὴν ἕκτην ἀπὸ τῆς γῆς τὰ τετράποδα.

Ἀλλ' ἐνταῦθα ζητῆσαι ἄξιον, ἀγαπητέ, τίνος ἕνεκεν τοὺς D μὲν ἰχθύας εὐλογίας ἠξίωσεν ὁ θεός, αὐξάνεσθαι καὶ πληθύνεσθαι εἰπών, ἐπὶ δὲ τοῖς χερσαίοις τοῦτο οὐκ ἐποίησε. καὶ λέγομεν ὅτι διὰ τὴν ἐπὶ τῷ ὄφει μετ' οὐ πολὺ γενησο-

vam." prosiliunt heic contra nos Manichaei, qui terrae animam indunt. verum manifesto desipiunt. non enim propterea quod dixit deus „edat animam" id edidit quod erat in ea quasi reconditum: sed mandatum hoc vias atque facultatem edendi terrae largiebatur. quippe cum audiit terra (Gen. 1 10) „pariat herbas gramineas, et arbores fructiferas, quae fructum edant," non iccirco gramen intus abditum protulit, nec palmam vel quercum vel cupressum intra sinus suos occultatam in superficiem eduxit: sed ipsa dei oratio rerum quae existunt ipsa natura est. itaque terram non quod continebat edit, sed quod hodie possidet, largiente nimirum deo vim efficacitatis. quamvis enim ratione naturali oriuntur hodie omnia, tamen inde profecta sunt in ipso rerum exordio secundum seriem suam, idque per mandatum divinum, quod in creatione pronuntiatum ubique fuit.

Itaque sexta die, ceu diximus, bestias quadrupedes e terra producit.

Heic vero inquiri operae pretium est quamobrem deus imprecatione fausta pisces quidem dignatus fuerit, cum hisce verbis uteretur „fetificate ac multiplicamini," verum in terrestribus idem non fecerit? respondemus antem factum id esse propter exsecrationem serpentis,

μένην κατάραν. ἐπειδὴ γὰρ προεῖδεν ὁ θεὸς ὅτι διὰ τοῦ
ὄφεως ἀπατηθήσεται ὁ ἄνθρωπος κἀντεῦθεν αὐτὸς ὁ ὄφις
ἀρᾷ ὑποπεσεῖται, τούτου χάριν εὐλογίας ἀξιῶσαι τὰ χερσαῖα
οὐκ ἔφθασεν, ἵνα μὴ εὑρεθείη τὰ αὐτὰ εὐλογῶν καὶ κατα-
ρώμενος, ὡς θειότατός φησιν Ἀναστάσιος. ἀλλ' ἡ μὲν τῶν V. 38
ἰχθύων φύσις εὐτελεστέρας δοκεῖ μετέχειν ζωῆς διὰ τὸ ἐν τῇ
παχύτητι τοῦ ὕδατος διαιτᾶσθαι· καὶ γὰρ ἀκοὴ παρ' ἐκείνοις
βαρεῖα, καὶ ὁρῶσιν ἀμβλύ, καὶ οὔτε τις μνήμη παρ' ἐκεί- P. 49
νοις οὔτε φαντασία οὔτε συνήθους ἐπίγνωσις. ἐπὶ δέ γε τοῖς
χερσαίοις τί χρὴ καὶ λέγειν; αἵ τε γὰρ αἰσθήσεις τετράνων-
ται, καὶ ἀκριβεῖς μνῆμαι τῶν παρελθόντων ἐν αὐτοῖς. οἶδε
τὴν συνήθη φωνὴν ὁ ὄνος, οἶδεν ὁδὸν ἣν πολλάκις ἐβάδισε,
καί που καὶ ὁδηγὸς ἐνίοτε ἀποσφαλέντι τῷ ἀνθρώπῳ γίνεται·
τὸ δὲ ὀξυήκοον τοῦ ζώου οὐδὲν ἄλλο τι λέγεται τῶν χερσαί-
ων ἔχειν. τὸ δὲ τῶν καμήλων μνησίκακον καὶ βαρύμηνι διαρ-
κὲς πρὸς ὀργὴν πῶς ἄν τις εἴπῃ; πάλαι ποτὲ πληγεῖσα κά-
μηλος, μακρῷ χρόνῳ ταμιευσαμένη τὴν μῆνιν, ἐπειδὰν εὐκαι-
ρίας λάβηται, τὸ κακὸν ἀντιδίδωσι. τοῦτο καὶ ἐπὶ ἐλέφαντος
ἱστορούμενον εὕρομεν. ποτὲ γὰρ εἰς ἱπποδρομίαν ἐλέφας B
ἀπαγόμενος καταλλάκτην τινὰ καθήμενον ἐν τῷ μιλίῳ φόνου
πεποίηκε παρανάλωμα διὰ τῶν ὀδόντων αὐτοῦ, ἀναιδῶς πως
καὶ ἀτάκτως ὁρμήσας κατ' αὐτοῦ. τὸ δ' αἴτιον ὅτι πρὸ δέκα

8. ὅρασις ἀμβλυχὴ F. 9. οὔτε τοῦ συνήθους?

quae non multo post subsecuta est. nam quia futurum prospiciebat deus ut homo per serpentem deciperetur eaque de causa serpens exsecrationi subiiceretur, iccirco terrestres bestias imprecatione fausta noluit prius dignari, ne deprehenderetur eadem et imprecatione fausta et exsecratione prosequi, sicut ait vir divinus Anastasius. videtur autem natura piscium tenui quadam et vili omnino vita frui propterea quod in aquae crassitie degant. nam et gravis ac difficilis est apud ipsos auditio, et obtusum cernunt. nec recordatio est apud ipsos ulla nec imaginatio nec rei consuetae agnitio. at vero de terrestribus quid opus est multa commemorare? sunt his acres sensus et rerum praeteritarum recordationes. novit vocem consuetam sibi ac familiarem asinus. novit viam quam saepius trivit, ac nonnunquam etiam viae dux est homini, qui aberravit. auditus autem acrimonia tanta in hoc est animali quanta esse in alio nullo terrestrium perhibetur. in camelo quae iniuriarum sit memoria, quae iracundia, quae in ira perseveratio, quo pacto quis explicet? si vel olim verberatus sit, ira diuturno tempore veluti penu quodam recondita, quamprimum se opportunitas obtulerit, vicem refert. de elephanto huiusmodi quiddam memoriae proditum reperimus. cum in hippodromum

ἐνιαυτῶν ὁ τοιοῦτος καταλλάκτης σιδήρῳ ἔπληξεν αὐτὸν ἀπαγόμενον καὶ τότε εἰς ἱπποδρομίαν διὰ τοῦ αὐτοῦ τόπου. καὶ τὰ μὲν τοῦ ἐλέφαντος τοιαῦτα· αἱ δὲ παρδάλεις φυσικήν τινα ἔχουσι πρὸς τὸν ἄνθρωπον ὀργήν, καὶ πεφύκασι μᾶλλον τοῖς ὀφθαλμοῖς τῶν ἀνθρώπων ἐφάλλεσθαι. ἀλλὰ καὶ ἐν χάρτῃ ἰδοῦσαι τυπωθέντα ἄνθρωπον, ὥς πού φησιν ὁ μέγας Βασίλειος, τὸν χάρτην σπαράττουσιν.

C Ἱκανῶς δὲ θαυμάσειεν ἄν τις καὶ τὰ τοῦ λέοντος, τὸ μοναστικὸν αὐτοῦ τῆς ζωῆς, τὸ ἀκοινώνητον πρὸς τὸ ὁμόφυλον. οἷον γάρ τις τύραννος τῶν ἀλόγων διὰ τὴν ἐκ φύσεως ὑπεροψίαν τὴν πρὸς τοὺς πολλοὺς ὁμοτιμίαν οὐ καταδέχεται, ὥστε οὐδὲ χθεσινὴν τροφὴν προσίεται. ᾧ καὶ τηλικαῦτα ὄργανα ἡ φύσις ἐνέθηκεν ὥστε πολλὰ τῶν ζώων ὑπερβάλλοντα τῇ ταχύτητι μόνῳ πολλάκις ἁλίσκεται τῷ βρυχήματι. καὶ τοῦτο Δαβὶδ ὁ προφήτης ὑπεμφαίνειν λέγων „ὁ λέων ἐνεδρεύει ἐν ἀποκρύφῳ." αἴφνης γὰρ ἐκπηδήσας ἐκεῖθεν καὶ μέγα D βοήσας τὰ παροδεύοντα τῶν ζώων ἵστασθαι ποιεῖ, καὶ οὕτως ἐσθίει καταλαμβάνων αὐτά. καλῶς οὖν ὁ προφήτης ἔλεγε „σκύμνοι ὠρυόμενοι" καὶ τὰ λοιπά.

Οὐ τοσοῦτον δὲ ἡμεῖς οἱ λόγῳ τετιμημένοι, ὅσον αὐτὰ δήπου τὰ ἄλογα ζῷα τὴν οἰκείαν οἴδασι σωτηρίαν, καὶ ὅθεν

deduceretur elephas, quendam magistrum ferarum et cicuratorem in miliario sedentem interfecit, immaniter adversus illum cum dentibus suis irruens. eius rei causa erat, quod is ante totos decem annos elephantum ferro percusserat, cum id temporis per eundem locum ad hippodromum deduceretur. pardales naturalem quandam adversus homines iram fovent, ac plerumque consueverunt in oculos hominum insilire. quin pictos etiam in chartis lacerant.

Leonis quoque mores et indolem non abs re quis admiretur, nimirum vitam eius solitariam et abhorrentem a sui generis animalium societate naturam. nam cum sit quasi quidem brutorum tyrannus et rex, pari esse cum caeteris honore dignitateque recusat propter quandam inditam ipsi a natura superbiam. consimiliter cibum hesternum non sumit. eidem instrumenta vocis tanta natura dedit, ut cum animalia pleraque velocitate superet, solo saepenumero semet rugitu suo prodat. indicare hoc ipsum vates etiam Davides voluit (Psalm. 10 9) hisce verbis „tanquam leo abditis in locis insidiatur." nam ex iis repente prosiliens, magno clamore sublato, animalia praetereuntia sistit et hoc modo capta devorat. itaque praeclare vates ait (Psalm. 103 21) „catuli leonini rugientes, ut praedam faciant."

Neque vero nos homines, quanquam rationis beneficio simus or-

αὐτοῖς παθαινομένοις ἡ ὑγεία προσγίνεται. ἄρκτος γὰρ πολλάκις βαρυτάταις κατατρωθεῖσα πληγαῖς ἑαυτὴν ἰατρεύει, τῷ φλόμῳ τούτῳ ξηρὰν τὴν φύσιν ἔχοντι τὰς ὠτειλὰς παραβύουσα. ἴδοις δ' ἂν καὶ ἀλώπεκα τῷ δακρύῳ τῆς πίτυος ἑαυτὴν ἰατρεύουσαν. χελώνη δὲ σαρκῶν ἐχίδνης ἐμφορηθεῖσα διὰ τῆς ὀριγάνου ἀντιπαθείας φεύγει τὴν βλάβην τοῦ ἰο- P. 50
βόλου. καὶ ὄφις τὴν ἐν τοῖς ὀφθαλμοῖς βλάβην ἐξιᾶται βοσκηθεὶς μάλαθρα. οἶδε δὲ καὶ ὁ ἔλαφος, καθά φησιν Αἰλιανός, θεραπεύειν ἑαυτὸν ἄνθει τινί, ἐάν ποτε ὑπὸ τοῦ βέλους τρωθῇ. οἶδε δὲ καὶ κάμηλος κεκαυμένους χυμοὺς ἐξεμεῖν, εἰ φύλλων ὑγρῶν ἐφάψοιτο δρυός. ἀλλὰ καὶ κύων οὐκ ἀγνοεῖ χολῆς μελαίνης χλωρὰν ἄγρωστιν εἶναι καθάρσιον. ἀλλὰ καὶ τράγοι τὴν ἀσκαμωνίαν τῆς ἀπεψίας ἀλεξητήριον οἴδασι. καὶ πάρδαλις λύθρον αἰγὸς ἀγρίου σωτήριον οἴεται. καὶ πτηνὸς ἱέραξ τὸν ὀπὸν τῶν πικροφύλλων θριδακίων ὀπτικὸν ἀχλύος V. 39
ἐπίσταται φάρμακον. καὶ κύκνοι δὲ βατράχους ἐσθίοντες τοῦ λυποῦντος ἀπαλλαγὴν εὑρίσκουσι. φεύγουσι καὶ γῦπες καὶ B
κάνθαροι τὴν τῶν ῥόδων ὀσμήν. ἀλλὰ καὶ ὄφις ὁ Λιβυκὸς ἀποστρέφεται πήγανον· ψυχρὰν γὰρ καὶ ξηρὰν καὶ νευρώδη τὴν φύσιν κληρωσάμενος ὑπὸ τοῦ ξηροτάτου ὄντος λειποψυχεῖν ἀναγκάζεται, ὥσπερ ὑπὸ κραιπάλης τινὸς καὶ σκοτοδινίας ταῖς ὑπερβολαῖς τῆς ξηρότητος ἀπονεκρούμενος. φεύγει

nati, tam egregie nobis consulere possumus quam ipsa bruta animalia rationes se conservandi norunt, et unde male adfectis sanitas reparetur. . . . . ursus enim saepenumero gravissimis vulneribus adfectus sibi ipse medicinam facit, dum verbasco naturalem siccitatem habente vulnera obstruit. etiam vulpem lacryma pinus se ipsam curantem videre est. testudo vipere carnibus satiata per contrariam origani vim, quominus a re venenosa laedatur, efficit. serpens oculos laesos sanitati restituit, malathris pastus. novit et cervus, quemadmodum Aelianus tradit, seipsum flore quodam curare, si quando telo laesus est. camelus humores perustos evomere novit, contactis humidis quercus foliis. nec canis ignorat viride gramèn nigrae bilis expurgandae vim habere. hirci scamoniam cruditatis remedium esse sciunt. pardalis cruorem caprae silvestris sibi salutarem existimat. accipiter volucris succum lactucarum, quarum folia sunt amara, caligantium oculorum scit esse remedium. cygni ranas devorantes, adfectione quadam sibi molesta sese liberant. vultures et scarabaei rosarum odorem fugiunt. serpens Libycus rutam aversatur: nam quum natura frigidus, siccus, nervosus sit: per hanc herbam, quae siccandi vim habet maximam, necessario velut exanimatur: tanquam si per crapulam quandam et vertiginem ob siccitatis vim nimiam ex-

τοίνυν ὁ ὄφις τὸ πήγανον ἐντεῦθεν, καθὰ δήπου καὶ τὸν χειμῶνα διὰ τὴν ὑπερβολὴν τῆς ψυχρότητος.

Οὕτω μὲν οὖν τὰ ζῶα πάντα φυσικῶς οἶδε τό τε σωτήριον τό τε ὀλέθριον. αἱ δὲ παρ' αὐτοῖς προγνώσεις τῆς C *περὶ τὸν ἀέρα μεταβολῆς ποίαν οὐχὶ σύνεσιν λογικὴν ἀποκρύπτουσιν; ὅπου γε τὸ μὲν πρόβατον χειμῶνος προϊόντος λάβρως ἐπεμβάλλεται τῇ τροφῇ ὥσπερ ἐπισιτιζόμενον πρὸς τὴν μέλλουσαν ἔνδειαν. ἤδη δέ τις τῶν φιλοπόνων καὶ τὸν χερσαῖον ἐχῖνον ἐτήρησε διπλᾶς ἀναπνοὰς τῇ ἑαυτοῦ καταδύσει μηχανησάμενον, καὶ μέλλοντος βορέου πνεῖν ἀποφράσσοντα τὴν ἀρκτῴαν, νότου δὲ πάλιν μεταβάλλοντος εἰς τὴν προσάρκτιον μεταβαίνοντα.*

Ἀλλὰ καὶ τὴν τῶν αἰσθητηρίων περιουσίαν μεγάλην παρὰ τοῖς ζώοις ἴδοι τις ἄν. εἰ μὴ γὰρ τοῦτο ἦν, οὐκ ἂν D *ἀρνειὸς ἐν μυρίοις προβάτοις τῶν σηκῶν ἐξαλλόμενος τήν τε χροιὰν καὶ φωνὴν τὴν τῆς μητρὸς ἐπέγνω καὶ πρὸς ἐκείνην ἠπείγετο, καὶ ταῦτα πολλὰ παραδραμὼν οὔθατα βαρυνόμενα. ἔστι καὶ γὰρ παρ' αὐτοῖς αἴσθησις τῆς ἡμετέρας καταλήψεως ὀξυτέρα, καθ' ἣν ἑκάστῳ πάρεστι τοῦ οἰκείου διάγνωσις. οὔπω οἱ ὀδόντες τῷ σκύλακι, καὶ ὅμως διὰ τοῦ στόματος ἀμύνεται τὸν λυπήσαντα. οὔπω τὰ κέρατα τῷ μόσχῳ, καὶ*

16. *τὴν μητέρος* P.

tingueretur. hac de causa serpens sic rutam fugit ac vitat, sicut et hiemem, propter nimium scilicet frigus.

Sic igitur animalia cuncta quid salutare sit ipsis, quid exitiale, cognitum habent. iam quae sunt apud ea rerum futurarum praesagia, verbi gratia, de aëris mutatione: (quam obsecro prudentiam rationalem quoque non obscurant? ovis adventante hieme parce nutrimento vescitur, quasi quandam sibi commeatus copiam pro secutura inopia comparans.) quinetiam homines industrii terrestrem echinum sive erinaceum respirationes sibi geminas excogitare suis in lustris observarunt. quod si spiraturus est aquilo, partem aquilonalem obstruit: quod si vento mutato flat auster, ad foramen obversum aquiloni se confert.

Etiam sentiendi organorum in animalibus excellentiam quandam cernere licet: absque quo foret, agnus inter oves innumeras caulis inclusas exsiliens, colorem vocemque matris haud agnosceret, nec ad eam se studiose conferret, praesertim cum ubera multa valde distenta gravataque praetereat. nimirum est in eis sensus acrior, quam nos existimemus: quo ipso quaelibet ab alienis sua dignoscunt. necdum catulus dentes habet, ac nihilominus se laedentem ore vicissim ulciscitur. necdum cornua vitulus habet, ac nihilominus quo loco ipsi arma sint proditura novit. quamobrem praeclare dixit Hippo-

οἶδε ποῦ τὰ ὅπλα αὐτῷ ἐκφυήσεται. καλῶς οὖν ὁ Ἱπποκράτης ἔλεγε „φύσεις ζώων ἀδίδακτοι."

Τὸ δὲ τοῦ κυνὸς μνημονευτικὸν τίνα τῶν πρὸς τοὺς εὐεργέτας ἀχαρίστων οὐ καταισχύνει; ὅπου γε καὶ φονευθεῖσι P. 51 δεσπόταις κατ' ἐρημίαν πολλοὶ τῶν κυνῶν ἐπαποθανόντες μνημονεύονται. ἤδη δέ τινες ἐπὶ θερμῷ τῷ πάθει καὶ ὁδηγοὶ τοῖς ἐκζητοῦσι τοὺς φονέας ἐγένοντο, καὶ ὑπὸ δίκην ἀχθῆναι τοὺς κακούργους ἐποίησαν. κύων γάρ τις ἐν πανδοχείῳ τὸν φονέα ἰδὼν τοῦ κυρίου αὐτοῦ, κἀντεῦθεν ἀκρατεῖ κατ' αὐτοῦ χρησάμενος ὑλακῇ, οὐκ ἀγαθὴν ὑποψίαν ἔδωκε τοῖς περὶ αὐτοῦ, ἐφ' ᾧ καὶ εἰς κρίσιν αὐτὸν ἀχθέντα ὡς κακοῦργον ἐκόλασαν.

Ἀλλ' ὅρα σοφίαν θεοῦ, πῶς τοῖς σαρκοφάγοις ζώοις ὀξεῖς τοὺς ὀδόντας ἐνήρμοσε· τοιούτων γὰρ χρεία ἦν αὐτοῖς πρὸς τὸ τῆς τροφῆς εἶδος. ἃ δὲ ἐξ ἡμισείας ὥπλισται τοῖς B ὀδοῦσι, πολλαῖς καὶ ποικίλαις ἀποθήκαις τῶν τροφῶν παρεσκεύασε· διὰ γὰρ τὸ παρὰ τὴν πρώτην μὴ ἀρκούντως καταλεπτύνεσθαι τὴν τροφήν, ἔδωκεν αὐτοῖς τὸ καταποθὲν πάλιν ἀναπεμπάζεσθαι, ὥστε καταλεανθὲν τῷ μηρυκισμῷ προσοικειοῦσθαι τῷ τρεφομένῳ.

Ἀλλὰ καὶ τοῖς ὅπλοις αὐτοῖς τὰ ζῶα πρὸς ἄλληλα διενήνοχε. κατὰ τὰ ἤθη γὰρ τῶν ψυχῶν, καθὰ καὶ ὁ Ἀριστοτέλης

crates: animalium natura nihil habet a doctrina, velut adscititium.

Canis autem in reminiscendo quemvis hominem erga bene de se meritos ingratum pudore non adficit? quando canes non paucos una cum heris suis in solitudine caesis occubuisse, litterarum monumentis proditur. quinetiam aliqui recenti adhuc facinore quaerentibus homicidas se duces itineris praebuerunt, utque facinorosi homines et improbi ad supplicia pertraherentur, effecerunt. accidit enim aliquando, ut canis in diversorio quodam eo conspecto, qui herum ipsius interemerat, adversus ipsum perpetuo latrans, suspicionem de homine sinistram moveret. quamobrem is ad tribunal deductus, habita quaestione ceu reus facinoris morte multatus est.

Adspice vero mihi dei sapientiam. carnivoris animalibus dentes acutos dedit, quod talibus eis opus esset, pro nutrimenti ratione, quo alerentur. quae vero dimidia ex parte dentibus armata et instructa sunt, iis multas atque varias nutrimentorum velut apothecas et conditoria paravit. nam cum ab initio nutrimentum non satis comminuatur, hoc eis dedit, ut quod deglutiverunt, rursum egerant sursum, quo per ruminationem mollificatum, in usum nutriendi animalis cedat.

Etiam armis ipsis inter se differunt animalia. nam pro indole ac

V. 40 φησί, δίδωσιν ὁ θεὸς καὶ τὰς τοῦ σώματος διαπλάσεις τε
καὶ ἐνεργείας. οἷον τί λέγω; τῷ λαγωῷ καὶ τῷ ἐλάφῳ δει-
λοῖς οὖσι κατὰ ψυχὴν δρόμον ἔδωκεν, ἵνα τὰς τῶν κυνηγούν-
C των χεῖρας ἐκφεύγωσι. τῷ χοίρῳ θυμώδει καὶ πολεμιστῇ
ὄντι τοὺς χαυλιόδοντας, τῷ ταύρῳ κέρας χαρίζεται, καὶ τῷ
λέοντι ὀδόντας καὶ ὄνυχας. καὶ οὕτω μὲν τὰ πάντα προσφό-
ρως καθώπλισε, τὸν δὲ ἄνθρωπον γυμνὸν εἰς τὸν βίον πα-
ραγαγὼν τῇ περιουσίᾳ τοῦ λόγου παρεμυθήσατο· ἐν γὰρ
τῷ λόγῳ τὸ πάντων ἄρχειν αὐτῷ πρόσεστι. διὰ λόγου τὰ
πτηνὰ ἐξ ἀέρος κατάγει, τοὺς ἰχθύας ἐξ ὑδάτων ἀνέλκει. διὰ
λόγου τὰ πάντα ποιεῖ ὅσα πρὸς σύστασιν τῆς ζωῆς αὐτοῦ,
οἰκίας ἄμφια περιβολὴν ὅπλον, καὶ ὅσα τοιαῦτα. κατὰ τοῦ-
D το καὶ χεῖρας αὐτῷ δέδωκεν ὁ θεός, ὡς ἐντεῦθεν ἀκωλύτως
τὸν προσόντα λόγον αὐτῷ πάντα πράττειν ὅσα καὶ βούλεται.
ταύτῃ τοι καὶ ὁ μέγας Βασίλειος ἐν τῇ εἰς τὸν προφήτην
Ἡσαΐαν ἑρμηνείᾳ περὶ τούτων οὕτω φησὶ „τοῖς μὲν ἀλόγοις
εὔκολον δέδωκε τὴν πρὸς τὸ ζῆν ἀφορμήν, τροφὰς αὐτομά-
τους καὶ σκέπην αὐτοφυᾶ, καὶ τὰ τῶν τριχῶν καὶ πτερῶν
ἐνδύματα ἡ πάντα οἰκονομοῦσα δύναμις ἐχαρίσατο· τὸν δὲ
ἄνθρωπον γυμνὸν παραγαγοῦσα λόγον ἔδωκεν ἀντὶ πάντων
αὐτῷ, δι' οὗ αἱ ποριστικαὶ συνεστήσαντο τέχναι, οἰκοδομη-
τικὴ ὑφαντικὴ καὶ αἱ λοιπαί, τὸ τοῖς σώμασι δέον ἀναπλη-

5. post χαυλιόδοντας P καὶ οὕτω μὲν τὰ πάντα. 6. οὕτω μὲν τὰ deerant.

moribus animorum, quemadmodum et Aristoteles scripsit, corporibus quoque tum figuras, tum operationes deus concedit. eius rei haec exempla sunto. lepori et cervo, qui animo formidolosi sunt, currendi facultatem dedit, ut venatorum manus effugiant. apro, qui et animosus, et admodum pugnax est, dentes exertos ac prominentes dedit. cornua tauro, leoni dentes et ungues largitur. omnia denique armis idoneis instruxit. solum hominem nudum in vitam productum rationis excellentia consolatur. nam cum ratione coniunctum est in res universas imperium. per rationem homo volucres ex aëre deducit, pisces ex aquis extrahit; per rationem reliqua perficit omnia, quaecunque sunt ad vitae conservationem ipsi necessaria, vestes armaturam aliaque talia. propterea manus etiam dedit ei deus, ut earum operatio quicquid vellet absque ullo impedimento efficeret. disserit de his Basilius in enarratione sua vatis Esaiae verbis huiusmodi. „brutis deus vivendi rationem facilem dedit, alimenta ultro oblata, tectum nativum, pilorum atque pennarum indumenta eisdem potestas illa, quae cunctorum est gubernatrix, largitur. homini, quem nudum creavit, omnium loco rationem tribuit, a qua rerum parandarum artes sunt profectae, ut ea quae extruit aedes, ut textura,

ρούσης τῆς ψυχῆς τῇ περιουσίᾳ τοῦ λόγου." εἶχε μὲν οὖν συνυ- P. 52
πογεννηθῆναι τῷ ἀνθρώπῳ τὰ πάντα μετὰ καὶ τοῦ λόγου αὐτοῦ κατὰ πλείονα φιλοτιμίαν. ἀλλ' οὐμενοῦν ἡ τοῦ λόγου χάρις ἐντεῦθεν ἐδείκνυτο. ἀνάγκης γὰρ μὴ οὔσης τίνι ἂν ἡ αὐτοῦ ἐνέργεια διάδηλος γέγονε; κατὰ τοῦτο δὲ παρὰ τοῖς ἀλόγοις ζώοις καὶ αἰσθήσεις, ἅτε λόγου μὴ ὄντος, τετράνωνται· τὸ γὰρ ἐλλεῖπον τοῦ λόγου τῇ περιουσίᾳ τῶν αἰσθήσεων πανσόφως ὁ τῶν ἁπάντων παρεμυθήσατο πρύτανις.

Ἀλλ' ὅρα κἀν τούτοις τὴν κηδεμονίαν τοῦ θεοῦ. μακρὸς ὁ τράχηλος τῆς καμήλου τίνος ἕνεκεν; ἵνα τοῖς ποσὶν ἐξισάζηται, καὶ ἐφικνῆται τῆς βοτάνης ἐξ ἧς ἀποζῇ. ὅσα δὲ B
τῶν ζώων οὐκ ἀπὸ τῆς πόας τὴν ζωὴν ἔχει, οὐδὲ πρὸς γῆν κυπτάζειν καταναγκάζεται ἅτε δὴ σαρκοβόρα ὄντα, βραχὺν καὶ τοῖς ὤμοις ἐνδεδυκότα ἔσχε τὸν τράχηλον. διὰ τοῦτο καὶ ἡ προνομαία δεδώρηται τῷ ἐλέφαντι, τὴν βρῶσιν καὶ πόσιν ἀντὶ τοῦ τραχήλου κομίζουσα. ἐπεὶ δὲ εἰς ἔκπληξιν τῶν ὁρώντων τὸ σῶμα αὐτοῦ καὶ πάνυ μέγα ἐσκεύαστο, δι' αὐτὸ τοῦτο καὶ ἀδιάρθρωτοι αὐτοῦ οἱ πόδες καθάπερ τινὲς κίονες τὸ βάρος ὑποστηρίζοντες· εἰ γὰρ χαῦνα αὐτῷ καὶ δίυγρα ὑπετέθη τὰ κῶλα, συνεχεῖς ἂν ἐγένοντο τῶν ἄρθρων αἱ ἐκτροπαί. ἀλλὰ καὶ τριακόσια ἔτη ἱστοροῦσί τινες βιοῦν τὸν ἐλέφαντα. οὐ μᾶλλον δέ, φησίν, ἄγαμαι τὸν ἐλέφαντα τοῦ C

ut caeterae, supplente nimirum animo per rationis excellentiam quod corporibus deest." potuisset quidem homini nascenti etiam praeter rationem alia tribuere omnia, verum hoc modo rationis gratia beneficiumque non eluxisset. nam si nihil ei necessarium foret, quanam re vis eius declarata fuisset? eadem de causa brutis animalibus dati sunt sensus acriores, uti quae ratione carerent. sapienter enim gubernator ille universitatis huius defectum et inopiam rationis sensuum acrimonia praestantiaque compensavit.

Hic etiam in rebus curam providentiamque dei considerato. longum camelus collum habet. quamobrem? ut pedes aequaret, atque pertingere posset ad herbas quibus victitat. quaecunque vero animalia victum e terra non habent, nec ad terram caput demittere coguntur uti quae carnibus vescuntur, breve collum et intra humeros velut abditum habent. propterea proboscis elephanto data est, quae colli loco cibum atque potum ei subministrat. quia vero corpus eius comparatum ad spectatorum admirationem et ingens admodum est, iccirco pedes etiam ipsius carent articulis, quasi pondus quoddam sustinentes: nam si mollibus et humidis membris inniteretur, nunquam non articuli laxarentur. tradunt etiam nonnulli, CCC totos annos elephantum vivere. neque vero magis, inquit idem Basilius, ele-

μεγέθους ἕνεκεν, καὶ τὸν μῦν, ὅτι φοβερός ἐστι τῷ ἐλέφαν-
τι, ὥσπερ δὴ καὶ τὸ λεπτότατον ἄγαμαι τοῦ σκορπίου κέν-
τρον πῶς ἐκοίλανεν ὥσπερ αὐλὸν ὁ τεχνίτης, ὥστε δι' αὐ-
τοῦ τὸν ἰὸν τοῖς τρωθεῖσιν ἐνίεσθαι. ἀλλὰ καὶ τὸν ἐλέφαν-
τα μὴ πρότερον πίνειν λέγουσιν, ἐὰν μὴ θολώσῃ τῇ προνο-
μαίᾳ τὰ νάματα. τίνος ἕνεκεν; ὅτι μορμολύττεται σκιὰν
ἐλέφας ἐν ὕδατι τὴν ἑαυτοῦ θεώμενος. διὸ καὶ τοὺς Ἰνδοὺς
ἐπιτηρεῖν ἀσέληνον νύκτα φασίν, ὁπηνίκα διαπορθμεύουσι
τουτὶ δι' ὑδάτων τὸ ζῶον. καὶ τούτου χάριν ὑποθολοῦσι τῇ
D προνομαίᾳ τὰ νάματα πίνοντες. ἔτι καὶ τοῦτο πρόσεστι θαυ-
μαστὸν τοῖς ἐλέφασι. τὸν γὰρ Ἰνδὸν ποταμὸν ἔστιν ὅτε δια-
V. 41 περαιούμενοι οὐχ ἁπλῶς καὶ ὡς ἔτυχε τὴν ἐκεῖσε ποιοῦνται
διάβασιν, ἀλλ' ὁ μικρότατος πάντων τῆς περαιώσεως πρῶτος
ἀπάρχεται, μετὰ τοῦτον ὁ μείζων αὐτοῦ, ἔπειτα καὶ ὁ ἀμφο-
τέρων ἐπέκεινα. καὶ καθεξῆς ὡσαύτως τῇ τοιαύτῃ τάξει
χρώμενοι τὸν ποταμὸν ἀκωλύτως διέρχονται. ἐὰν γὰρ οἱ
μείζους τῆς πορείας ἀπήρχοντο, τάχα ἂν τῇ βαθύτητι τῶν
ποδῶν βόθρους ἐπ' αὐτῆς τῆς ἰλύος ἐργαζόμενοι προοδεύειν
οὐκέτι συνεχώρουν τοὺς τὸ σῶμα σμικρότατον φέροντας, μᾶλ-
λον μὲν οὖν καὶ τῷ τοῦ ποταμοῦ τέλματι κατηνάγκαζον τοὺς
τοιούτους ἀποπνίγεσθαι. τὸ δὲ τὸν ἐλέφαντα μὴ ἄλλως πως
εἰς συνδυασμὸν ἔρχεσθαι, καθά φασιν οἱ περὶ τὰ τοιαῦτα
P. 53 δεινοί, εἰ μὴ τοῦ μανδραγόρου γεύσαιντο (οὐδὲ γὰρ ἐπιθυ-

1. καὶ] ἢ?

phantum ob eius magnitudinem admiror quam murem ex eo, quod terrori sit elephanto? quemadmodum et minutissimum scorpii stimulum mirari soleo, quo scilicet pacto rerum artifex eum exenteraverit instar cuiusdam tibiae, ut per ipsum vulneratis virus immitatur. perhibent item non prius elephantum bibere quam aquas proboscide turbaverit. quamobrem istuc? quia suam ipsius umbram in aqua conspiciens expavescit. propterea ferunt Indos observare noctem expertem lunae, quoties animal hoc aquas traiicere volunt. haec aquae turbationis est causa. praeterea meretur hoc etiam in elephantis admirationem. quoties Indorum amnem traiicere volunt, non simpliciter ac fortuito transeunt: sed minimus omnium traietionem primus inchoat; deinde sequitur alius hoc maior, hinc rursum alius utroque maior; et sic deinceps eodem utentes ordine per fluvium citra impedimentum aliquod transeunt. nam si grandiores in transeundo primi forent, fortasse pedum gravitate foveas in limo efficientes, quominus transire minores possent, impedirent, adeoque cogerentur hi fluminis in coeno suffocari. nec ad Venerem elephantus accedit, quemadmodum harum rerum periti tradunt, nisi mandragoram degustet. nam prius quam hoc

μία μίξεως πρότερον κεῖται, ἐφ' ᾧ ἡ θήλεια λαβοῦσα μανδραγόραν καὶ φαγοῦσα δίδωσι καὶ τῷ ἄρρενι, καὶ οὕτω πρὸς μῖξιν ἔρχονται) φανερῶς εἰς τοὺς πρωτοπλάστους ἀνάγεται· κἀκεῖνοι γὰρ πρὸ μὲν τῆς τοῦ φυτοῦ γεύσεως ἰσάγγελον βίον εἶχον, μετὰ δὲ τὴν τοῦ ξύλου γεῦσιν καὶ τῆς παρακοῆς εἰσαχθείσης ἔγνω Ἀδὰμ Εὔαν τὴν γυναῖκα αὐτοῦ, καὶ ἔτεκε τὸν Κάϊν.

Περὶ δὲ τοῦ μυρμηκολέοντος τί χρὴ καὶ λέγειν; γέγραπται γὰρ ἐν τῷ Ἰὼβ „μυρμηκολέων ἀπώλετο διὰ τὸ μὴ ἔχειν βοράν.“ ὁ μυρμηκολέων ζῶόν τί ἐστιν ἐκ μύρμηκος μὲν καὶ λέοντος τικτόμενον, εὐθέως δὲ τελευτῶν διὰ τὸ μὴ εὑρίσκειν B τροφὴν κατάλληλον· ὡς μὲν γὰρ λέων κρέατα ἐπιζητεῖ, ὡς δὲ μύρμηξ πάλιν σῖτον, καὶ διὰ τοῦτο εὐχερῶς ἀπόλλυται. ταῦτα δὲ πάντως εἰς αὐτὸν ἀνάγεται τὸν διάβολον, ὅστις ἀπὸ μικροῦ μὲν ἄρχεται, εἰς μεγάλα δὲ καταντᾷ. ἐφ' ᾧ καί τις τῶν πατέρων ἔλεγε „τὰ μικρὰ τῶν ἁμαρτημάτων εὐτελίζειν οἶδεν ὁ διάβολος· ἄλλως γὰρ ἐπὶ μεῖζον κακὸν ἀγαγεῖν σε οὐ δύναται.“ ὅθεν ἀπόλλυται καὶ οὗτος, καὶ οἷον εἰπεῖν θνήσκει κατὰ τὸν μυρμηκολέοντα, μὴ τροφὴν εὑρίσκων παρ' ἡμῶν καὶ ἀνάπαυσιν.

Ὁ μέντοι ἐλέφας πίπτων ἐγερθῆναι οὐ δύναται διὰ τὸ C μὴ ἔχειν ἁρμογὰς εἰς τοὺς πόδας αὐτοῦ. ἀλλὰ καὶ μονοτόκα

4. ἰσάγγελον β. εἶχον] ἀνώτεροι ἐπιθυμιῶν ἦσαν F.

fiat, nullam coitus libidinem experitur. quapropter femina sumptam mandragoram comedit eandemque mari porrigit, et hoc pacto ad consuetudinem Veneream accedunt. hoc autem manifesto referri ad homines illos primum conditos debet: nam et illi ante ligni vetiti degustationem libidinibus superiores erant. verum post eam cum Eva rem Adamus habuit, eaque Cainum peperit.

Quid de myrmecoleonte sive formicario leone dicemus? in Iobi libro perscriptum est „myrmecoleon periit, quod escam non haberet.“ est myrmecoleon animal quoddam, quod e formica leoneque gignitur, sed mox vivendi finem facit propterea quod cibum sibi convenientem non inveniat: nam ut leo, carnes expetit, ut formica, frumentum; iccirco facili momento extinguitur. haec autem transferri omnino ad diabolum possunt, qui ab exigua re primum exorsus ad magna progreditur. ideo quidam ex patribus dixit „exigua delicta novit extenuare diabolus: nam caeteroquin ad maiora perducere te non posset.“ itaque perit et ipse ac myrmecoleontis instar emoritur, cum apud nos alimenti nihil, nihil requietis invenit.

Quodsi cadat elephantus, surgere propterea non potest quod pedes ipsius nullas iuncturas habeant. et fetum haec animalia tantum

ταῦτα δὴ τὰ σώματα τὰ μέγιστα φέροντα. ἔδει μὲν δι' αὐτὸ
τοῦτο πολύτοκα μᾶλλον εἶναι, ἐλέφαντα λέγω καὶ ἵππον καὶ
κάμηλον· ἀλλὰ δαπανωμένης τῆς τροφῆς εἰς τὴν τοῦ σώματος
αὔξησιν πλῆθος ἐμβρύων θρέψαι οὐ δύναται. καὶ περὶ μὲν
τούτων οὕτως, τοὺς δὲ λαγωοὺς φασι τὰ μὲν τῶν ἐγγόνων
ὠδῖναι, τὰ δὲ τετοκέναι, ἔνια δὲ ἡμιτελῆ φέρεσθαι τῇ γα-
D στρί. τὸ δὲ αἴτιον ὅτι γονιμωτάτη τῶν λαγωῶν ἡ φύσις κα-
θέστηκεν· ὅρα γὰρ ὅτι λαγωοῦ πιτύα γυναικὶ ἐντεθειμένη
ἄπαιδι ἐγκύμονα ταύτην θᾶττον ἐποίησε, καὶ παῖδα ὑπομά-
ζιον στείρᾳ χαρίζεται. ἡ τοίνυν σύλληψις οὐκ ἔστιν ἐν λα-
γωοῖς ὡρισμένη, ἀλλ' ἔτι κυοφορουμένων τῶν ἐγγόνων ἐπι-
σύλληψις αὐτοῖς ἐγγίνεται. οὐκοῦν ἃ μὲν τέτοκεν ὁ λαγωὸς
τῶν ἐγγόνων, ἃ δὲ ὠδίνει, ἃ δὲ ἡμιτελῆ ἐπιφέρει τῇ γα-
στρί· ταῦτα γὰρ ἡ ἐπισύλληψις ἐξ ἀνάγκης ποιεῖ. κατὰ
τοῦτο δὲ καὶ δασύπους ὁ λαγωός, καθά φησιν ὁ Ἀριστοτέ-
λης, ὡς πλήρης περιττωμάτων ὤν· ἡ γὰρ δασύτης σημεῖον
πλήθους περιττώματος. ὅθεν καὶ ἐπικυΐσκεται τοῦτο τὸ ζῶ-
P. 54 ον. διὸ καὶ τῶν ἀνθρώπων οἱ δασεῖς ἀφροδισιαστικοὶ καὶ
πολύσπερμοι μᾶλλόν εἰσι τῶν λείων. καὶ οὗτοι μὲν οὕτως,
ὁ δὲ Αἰλιανὸς παράδοξόν τι καὶ λίαν διέξεισι περὶ τοῦ λα-
V. 42 γωοῦ· τὸ γὰρ ἐκ τούτου γεννώμενον ἔμβρυον ἐντὸς ἐπιφέ-

6. ὠδίνειν?

unicum edunt ob maximi corporis molem. debebant quidem hac ipsa de causa, quod magna sint, potius complures fetus simul edere (loquor autem de elephanto, equo, camelo): verum quia nutrimentum ad corporis amplificationem absumitur, fetus in utero multos alere nequeunt, ac de his quidem hoc modo dictum esto. caeterum lepores aiunt fetus alios in lucem edere, alios paulo prius edidisse, alios necdum absolutos utero gestare. eius rei causa est, quod leporum natura longe sit fecundissima. ecce enim lac leporinum mulieri non fecundae impositum celeriter conceptionem adiuvat, et feminae sterili donat infantem, quem uberibus lactet. non est igitur in leporibus conceptio certo definita tempore, sed dum adhuc uterum gerunt, altera fit rursum conceptio. qua de causa lepus, ut dictum est, alios quidem fetus iam edidit, alios parturiendo profert, alios utero gestat semiperfectos. nam id necessario conceptionem, quae alia fit mox post aliam, sequitur. iccirco lepus etiam pedes hirsutos habet, quemadmodum Aristoteles ait, ut qui superflui sit humoris plenus; nam hirsuties istaec ingentis superfluitatis est argumentum. hinc animalis huius superfetatio. eadem de causa fit ut homines hirsuti caeteros laeviores tum Venere tum seminis copia superent. et haec quidem ab his tradita sunt. caeterum Aelianus valde novum et inusitatum quiddam de lepore commemorat: nam qui ex eo nascitur fetus,

ῥει ἕτερον ἔμβρυον. ὡσαύτως λέγουσι τόν τε λαγωὸν καὶ τὴν ὕαιναν ἀρρενόθηλυν γίνεσθαι. ἀλλὰ καὶ δειλὸς ὁ λαγωός. τίνος ἕνεκεν; ὅτι μεγίστην ἔχει καρδίαν, ὥσπερ δὴ ἔλαφος μῦς ὕαινα ὄνος πάρδαλις γαλῆ, καὶ ἁπλῶς πάνθ' ὅσα φανερῶς εἰσι δειλὰ ἢ διὰ φόβον κακοῦργα. μεγίστων γὰρ ἐν αὐτοῖς τῶν καρδιῶν οὐσῶν διαχέεται τὸ πῦρ καὶ οὐ συν- B *ῆκται· ἐφ' ᾧ καὶ τυγχάνει δειλά. τὰ μέντοι μικρὰν ἔχοντα τὴν καρδίαν συνηγμένον ἐξ ἀνάγκης τὸ ἔμφυτον ἔχοντα πῦρ· ἐφ' ᾧ καὶ πρὸς μάχην ὑπάρχει τὰ τοιαῦτα ὀξύρροπα.*

Γίνωσκε δὲ καὶ τοῦτο, ὅτι διετὴς ὁ τῶν ἐλεφάντων τόκος. τίνος ἕνεκεν; ὅτι τὰ μείζονα κυήματα πλείονος χρόνου δεῖται πρὸς τελείωσιν· τὰ μὲν γὰρ δεκάμηνα, τὰ δὲ ἐνιαύσια, καθάπερ ἐπὶ ἵππον. κατὰ τοῦτο τοίνυν πολυχρόνιός ἐστι καὶ ὁ τῶν ἐλεφάντων τόκος. διετὴς γὰρ ἡ κύησις αὐτῶν διὰ τὴν ὑπερβολὴν τοῦ μεγέθους, ὡς Ἀριστοτέλης φησίν.

Ἡ ἔλαφος ἀποβαλοῦσα τὰ κέρατα κρύπτεται, αἰδουμένη C *ὥσπερ διὰ τὴν ἐκείνων γύμνωσιν. ἐπὰν δὲ ταῦτα εἰς αὔξησιν ἔλθῃ, παρρησιάζεται πάλιν καθὰ καὶ πρότερον. οὕτω καὶ ὁ δίκαιος ἐκτραπεὶς ὁπωσδήποτε τοῦ καθήκοντος καὶ τῶν ἀρετῶν γυμνωθεὶς κρύπτεται ἀπὸ θεοῦ, καθάπερ ποτὲ Ἀδὰμ*

8. *ἔχοντα*] *ἔχει*?

eum dicit intra se fetum alium gerere. itidem aiunt leporem et hyaenam alternis vicibus tam marem quam feminam esse. formidolosus etiam lepus est. quamobrem? quia cor maximum habet, sicut et cervus et mus et hyaenae et asinus et pardalis et mustela, et simpliciter omnia quaecunque palam timida sunt vel ob metum noxia. nam cum corda sint in eis perampla, calor diffunditur, non colligitur; ideoque formidolosa sunt. quae vero cor exiguum habent, in eis etiam necessario collectus est ignis ille nativus et insitus; ideoque sunt ad pugnandum prona. debes hoc etiam scire, totum biennium elephantos uterum gerere. qua de causa? quia feturae maiores tempore longiori ad perfectionem egent.

Aliae decem mensibus absolvuntur, aliae toto demum anno, ut in equo videmus usuvenire. sic igitur etiam elephantorum partus diuturnior est, uterum biennio gestantium ob magnitudinem fetus nimiam, sicut Aristoteles loquitur.

Caeterum ubi cornua cervus abiecit, semet occulit pudore quasi quodam adfectus, quod iis sit denudatus. cum autem illa rursum augescere coeperunt, vicissim liberius pristino more prodit. hoc iusti hominis est simulacrum. nam cum is ab officio quocunque tandem modo deflexit et virtutibus nudatus est, a deo semet abscondit Adami

ἐν τῷ παραδείσῳ πέπονθεν, ἡνίκα γυμνον ἑαυτον ἑώρα διὰ τὴν παράβασιν. ἐπὰν δὲ ἀγωνισάμενος διορθώσηται καὶ τὰς ἀρετὰς ἐπαυξηθείσας θεάσηται, τότε δὴ πρὸς θεὸν ἐπανάγεται καὶ παρρησίας τῆς πρὶν μέτοχος δείκνυται. καὶ τοῦτο δηλῶν ὁ Δαβὶδ ἔλεγε „τότε οὐ μὴ αἰσχυνθῶ ἐν τῷ με ἐπι- D βλέπειν ἐπὶ πάσας τὰς ἐντολάς σου." καὶ οὗτοι μὲν οὕτως, ἕτεροι δέ φασιν ὡς οὐ τὴν ἀποβολὴν αἱ ἔλαφοι τῶν κεράτων αἰσχυνόμεναι τὰς συνήθεις δραπετεύουσι διατριβάς, ἀλλ' ἑαυτῶν μάλιστα προνοούμεναι. ἔστι γὰρ αἴσθησις καὶ ἐν τοῖς ἀλόγοις ζώοις, καθ' ἣν τῆς οἰκείας σωτηρίας ἀπειλήφασι τὴν διάγνωσιν. οἶδεν ἡ σηπία τῆς ἀχλύος τὸ σόφισμα, καί που θηραταῖς ἀορασίαν ἄγρας πολλάκις ἐνέθηκεν. οἶδε τὰ γαμψώνυχα τὴν διὰ τῶν ὀνύχων ἀκήν. οἶδεν ὁ λαγωὸς διὰ τοῦ δρόμου καὶ τῆς τῶν ποδῶν ὀξύτητος κυνηγετῶν ἐπιβουλὰς ἀποπέμπεσθαι. οἶδεν ἡ ἔλαφος ἀποκειραμένη τὰ κέρατα P. 55 ἀσθενεστέραν τὴν φύσιν ἀμύνεσθαι τοὺς λυπήσοντας· οὐκοῦν ἀποκρύπτεται οἷά τις τῶν στρατιωτῶν ἄνοπλος δεδιὼς παρατάττεσθαι. μόνη δὲ ἡ ἔλαφος ἀποβάλλεται τὰ κέρατα χάριν ὠφελείας, ὡς Ἀριστοτέλης φησί· βάρος γὰρ ἐξ ἀνάγκης κουφίζεται, διότι καὶναστὰ ταῦτα δι' ὅλου τυγχάνει. τῶν δ' ἄλλων τὰ κέρατα μέχρι τινὸς κοῖλα, τὰ δ' ἄκρα στερεὰ διὰ τὸ ταῖς πληγαῖς χρησιμεύειν.

16. λυπήσαντας P.

exemplo, cui quid eiusmodi accidit in paradiso, cum ob transgressionem se nudum esse conspiceret. verum ubi deinde susceptis certaminibus rectius sese gerit ac virtutes crevisse videt, tum scilicet ad deum revertitur et pristinae se libertatis participem declarat. hoc Davides indicare volens ait (Psalm. 118 6) „tunc non pudefiam, cuncta tua praecepta intuens." haec a quibusdam tradita sunt. caeterum alii dicunt cervos non propter abiectionem cornuum pudore adfectos de locis consuetis aufugere, sed hoc ipso maxima providentia sibi prospicere. nam inest etiam brutis animantibus sensus quidam, de quo suae salutis cognitionem hauriunt. novit sepia semet obscurandi artificium, ac saepe sic piscatoribus imponit ut amplius captam ab se praedam conspicere nequeant. norunt ea quibus adunci sunt ungues, ad quid eorum ungues prodesse possint. novit lepus cursu pedumque celeritate venatorum insidias vitare. sic etiam cerva novit amissis cornibus naturam debiliorem tueri se contra laedentes haud posse; quapropter abdit se, instar militis cuiusdam inermis, qui hosti se obiicere non audet. caeterum solus cervus utilitatis suae causa deponit cornua, quemadmodum Aristoteles inquit. nam onere gravi necessario se levat, quando cornua cervorum prorsus vacua non sunt. caeterorum quidem animalium cornua sunt aliquousque cava, cum extremae partes existant solidae, quibus scilicet ictus excipiunt.

Γίνωσκε δὲ τοῦτο, ὅτι γεννήτορες τοῦ ἀρώματος μόσχου οἱ ἐν Ἰνδίᾳ νεμόμενοι ἔλαφοι. οὐδὲν γὰρ ἕτερόν ἐστι τὸ πολυθρύλλητον τοῦτο ἄρωμα ἢ αἷμα ἐλάφου ἐσπαργανωμένον B ἐν τῷ ὀμφαλῷ· περὶ μέντοι τὰ τέλη τοῦ ἔαρος ῥίπτεται ὥσπερ τι περίττωμα. εὐῶδες οὐδέν τι μέρος αὐτοῦ συλλεγόμενον· ἀλλ' ἐπειδὰν χρόνῳ ταμιευθῇ καὶ εἰς ἑτέραν ἤπειρον μετακομισθῇ, τηνικαῦτα τὸ εὐῶδες πνεῦμα ἀφίησι. λέγεται δὲ ὅτι ἡ ἔλαφος θελγομένη ἤχῳ αὐλῶν καὶ κροτάλοις τὸν ἐγγὺς V. 43 τοξότην οὐχ ὁρᾷ καὶ τοξεύεται. οὕτω καὶ ἡμεῖς ὑπὸ τῶν τοῦ κόσμου τερπνῶν καταυλούμενοι οὐδαμοῦ συνορῶμεν τὸν καθ' ἡμᾶς ἀοράτοις βέλεσι χρώμενον. ἀλλὰ καὶ συνεχῶς ἐπὶ δρόμῳ τὴν ἔλαφον τὰ τέκνα γυμνάζειν αὐτῆς λέγουσι. τοῦτο δὲ ᾠκονόμησε πάντως ὁ θεὸς τοὺς νωθροτέρους C ἐντρέπειν γονεῖς.

Ἀλλ' ὅρα κἀνταῦθα κηδεμονίαν θεοῦ. ἐπειδὴ γὰρ τουτὶ τὸ ζῷον, ἡ ἔλαφος δηλονότι, δειλόν ἐστι καὶ διὰ τοῦτο φυγαῖς ἀεί ποτε κέχρηται, προκατεσκεύασεν αὐτὴν ὁ θεὸς ὥστε παρακατέχειν ἀσφαλῶς ἐν τῇ μήτρᾳ τὰ ἔγγονα αὐτῆς. καὶ δῆλον ἐν τοῖς τῶν περιεχομένων τῷ Ἰὼβ τῷ μακαρίῳ ἐκείνῳ ἀνδρί. τηνικαῦτα κριθῆναι μετὰ θεοῦ ἐζήτει, καὶ τάδε πρὸς τοῖς ἄλλοις ἔλεγεν ὁ θεὸς „ἐφύλαξας ὠδῖνας ἐλάφων, ἠρίθμη-

8. ὅτι deerat.

Hoc quoque cognoscito, eius aromatis quod muscum dicimus, auctores esse cervos illos qui montem Indiae quendam incolunt. nam celeberrimum hoc aroma nihil est aliud quam cervorum sanguis, qui de umbilico rupto profluxit. hunc illi extremis in partibus montis reiiciunt quasi quoddam excrementum. cumque colligitur, nulla pars eius odorem gratum habet. verum ubi post temporis aliquod spatium inquiritur et alias ad terras delatum est, tum deinde fragrantiam illam spirat. aiunt item cervam, dum tibiarum sono et tintinabulis delectatur, adstantem prope sagittarium non cernere sagittisque configi. sic nos quoque, dum voluptatibus huius mundi quasi modulis quibusdam tibiarum oblectamur, adversarium nostrum plane nusquam cernimus, inadspectabilibus contra nos telis utentem. praeterea tradunt cervam assiduo fetus suos cursu exercere. voluit hoc omnino sic fieri deus, ut parentibus ignavis pudorem incuteret.

Heic quoque dei providentiam curamque mihi considerato. cum animal hoc timidum sit ac propterea nunquam non utatur cursu, talem cervae structuram deus effecit, ut fetus suos in utero citra periculum ullum gestet ac retineat. patet hoc de illis etiam quae Iobi libro continentur. nam ad virum illum beatum, cum disceptare cum deo vellet, inter alia deus hoc quoque profert (Iob. 39 1) „tun observasti partus cervarum, mensesve numerasti quibus uterum ferunt?"

Dσας δὲ μῆνας αὐτῶν πλήρεις τοκετοῦ;" θαῦμα καὶ γὰρ πῶς ἡ ἔλαφος φεύγουσα καὶ ἐπὶ τοσοῦτον πηδῶσα οὐκ ἀμβλώσκει.

Πρός γε τοῖς εἰρημένοις καὶ τοῦτο περὶ ἐλάφου λέγουσιν, ὅτι τῶν ῥινῶν πνεύματι ἀναφέρει τοὺς ὄφεις ἀπὸ τοῦ φωλεοῦ καὶ κατεσθίει, τῷ φόβῳ δὲ τοῦ ἰοῦ καρκίνους ἐσθίει καὶ οὐ βλάπτεται.

Ὁ δέ γε κάστωρ ὅταν ὑπὸ κυνηγετῶν διώκηται διὰ τὰ γεννητικὰ αὐτοῦ μόρια, καὶ γνῷ ὅτι καταλαμβάνεται, κόπτει ταῦτα καὶ ῥίπτει τῷ κυνηγῷ. εἰ δὲ καὶ μετὰ ταῦτα παρ' ἑτέρου διώκεται κυνηγοῦ, ῥίπτει ἑαυτὸν ὕπτιον· καὶ νοήσας ἐντεῦθεν ὁ κυνηγὸς ὅτι ἀναγκαῖα οὐκ ἔχει, ἀναχωρεῖ ἀπ' αὐτοῦ.

P.56 Ἔτι δὲ καὶ τοῦτο ζητεῖς, ἀγαπητέ, τίνος ἕνεκεν ἐπὶ τῶν τετραπόδων καὶ τῶν λοιπῶν ζώων ἁπλῶς τὰ ἔγγονα τοῖς γονεῦσιν ὁμοιότητα φέρουσιν, ἐπὶ δὲ τῶν ἀνθρώπων οὐ τοσοῦτον; διότι ὁ μὲν ἄνθρωπος πολλαχῶς διατίθεται τὴν ψυχὴν ἐν αὐτῷ τῷ τῆς συναφείας καιρῷ· καθὼς οὖν ὅ τε πατὴρ καὶ ἡ μήτηρ διατεθῶσιν, οὕτω ποικίλλεται καὶ τὰ τικτόμενα. τὰ δὲ λοιπὰ ζῶα καθότι οὐδὲν ἕτερον διανοοῦνται κατά γε τὸν τῆς συναφείας καιρόν, κατὰ τοῦτο καὶ τὰ ἔγγονα παντάπασιν ὅμοια τίκτουσιν. μὴ θαύμαζε δὲ εἴγε παρὰ τοῖς ἀνθρώποις αὐ-

mira certe res est, qui fiat ut cerva fugiens ac tantopere saliens non abortiat.

Hoc etiam praeter iam indicata de cervo commemoratur, quod narium spiritu serpentes e latebris suis extrahat atque devoret. veneni autem metu cancris vescitur, eaque ratione detrimenti nihil accipit.

Fiber cum a venatoribus urgetur persequentibus ipsum genitalium membrorum causa, seque non evasurum animadvertit, praecidit ea, venatorique obiicit. quodsi secundum hoc alius quidam venator eundem persequatur, supinum semet abiicit; de quo venator animadverso necessariis eum membris destitui, missum facit.

Quaeri et hoc solet, quamobrem in quadrupedibus ac reliquis animalibus simpliciter ac plerumque fetus parentum similitudinem referant magis quam in hominibus? quoniam homo varie consuevit adfectus esse animo, etiam ipso Venereae consuetudinis tempore. igitur prout tam pater quam mater adfecti fuerint, etiam quae gignuntur varia sunt ac diversa. caetera vero animalia quatenus tempore coitionis aliud nihil cogitant, eatenus etiam fetus omnino sibi consimiles procreant. est et alia causa, quamobrem mirum tibi videri non debeat hominum sobolem partim referre partim non referre parentum similitudi-

τοῖς ὁμοιώσεις τε καὶ ἀνομοιώσεις πρὸς τοὺς γεννήτορας τὰ
τικτόμενα φέρουσιν. οἷον μὲν γὰρ τῶν σπερμάτων ἐν τῇ ἀνα- B
φύρσει καὶ ἀναμίξει ἐπικρατέστερον γένηται, πρὸς ἐκεῖνο καὶ τὸ
τοῦ πλαττομένου εἶδος φέρει τὴν ὁμοιότητα. εἰ δὲ τὰ σπέρ-
ματα συγκραθέντα ἐπ' ἴσης ἔχει πρὸς ἄλληλα, τότε τὸ γε-
νόμενον ἴσην ἔχει πρός τε τὸ θῆλυ καὶ τὸ ἄρρεν τὴν ὁμοιό-
τητα, τουτέστι πατρομητρόμοια τὰ γεννώμενα τίκτεται. πολ-
λάκις δὲ καὶ τῆς γυναικὸς φαντασίαν ἐν ταῖς ὁμιλίαις λαβού-
σης τοῦδε ἢ τῆσδε πρὸς τὸ φαντασθὲν ἀπεικάζεται τὸ γινό-
μενον. ὃ δὴ καὶ ἄρρητόν τινα καὶ θαυμαστὸν ἔχει τὸν λόγον.
καὶ ἄκουε τί φησι Διοσκουρίδης περί τινος Στρατονίκου τῆς Σι-
κελίας ἀρχηγοῦ χρηματίσαντος. ἐκεῖνος γὰρ καὶ ἡ αὐτοῦ σύζυ-
γος δυσειδεῖς μὲν ὄντες, ἐφιέμενοι δὲ παιδίων εὐειδῶν χρηματί- C
σαι γεννήτορες, τοιοῦτόν τι ἐμηχανῶντο· ἑώρων τὰ εἴδωλα, ἤγουν
αὐτὰ τὰ ἀγάλματα, καὶ οὕτω μιγνυμένων αὐτῶν πρὸς τὴν
τῶν ἀγαλμάτων ὁμοίωσιν τὸ βρέφος αὐτοῖς διεπλάττετο. τοῦ-
το δὲ καὶ ἐπὶ κυνῶν ἔστιν ἰδεῖν· τῆς γὰρ ὀχείας αὐτοῖς γι-
νομένης πρὸς ὃ τοὺς ὦπας ἀπερείσει τὸ θῆλυ, πρὸς ἐκεῖνο
καὶ ἡ ὁμοίωσις γίνεται. ἀλλὰ γὰρ τὸν σοφώτατον Γαληνὸν
εὑρίσκομεν τῷ κεφαλαίῳ τῷδε συνομολογοῦντα, καὶ οὕτω κα- V.44
τὰ ῥῆμα λέγοντα „ἐμοὶ δὲ καὶ λόγος τις ἀρχαῖος ἐμήνυσεν
ὅτι τῶν ἀμόρφων τις δυναστῶν εὔμορφον γεννῆσαι θέλων

19. γὰρ] καί?

nem. nam quae pars seminis in commistione fit efficacior, ad eam forma quoque illius quod fingitur adsimilari solet. quodsi semina temperata mistaque parem in utramque partem vim habeant, tum id quod procreatur ex aequo tam maris quam feminae similitudinem refert, hoc est, gignitur soboles patri matrique pariter similis. saepenumero si sola femina vel huius vel illius imaginationem in actu Venereo concipiat, soboles ei fit similis cuius imaginem apud animum informabat. quae res inexplicabilem quandam miramque rationem habet. audi quid Dioscorides de quodam Stratonico Siciliae duce tradat. is cum deformis esset itidemque uxor ipsius, ac nihilominus gignere liberos formosos cuperent, huiusmodi quiddam moliebantur. inspectabant imagines et picta simulacra, cumque deinde liberis operam dedissent, infans ad imaginum similitudinem conformatus fuit. hoc et caniculae videre est usuvenire: cum enim coeunt canes, tum quod defixis oculis canicula contuetur, eius similitudinem fetus refert. consentit hac in parte nobiscum doctissimus ille Galenus, cuius haec ipsa verba sunt „etiam de narratione prisca intellexi virum quendam principem, qui vultu deformis esset, cum filium procreare formosum vellet, uxori mandasse, medios inter amplexus, eleganter ut expressam pictura formam pueri diligenter intueretur; quod

παιδίον ἐποίησε γράψαι ἐν πλατεῖ ξύλῳ εὐειδὲς ἄλλο παιδίον,
D καὶ ἔλεγε τῇ γυναικὶ αὐτοῦ συμπλεκόμενος πρὸς ἐκεῖνον τὸν τύπον τῆς γραφῆς ὁρᾶν. ἡ δὲ ἀτενὲς βλέπουσα, καὶ ὡς ἔστιν εἰπεῖν ὅλον τὸν νοῦν ἐκεῖσε προσεπιφέρουσα, οὐχὶ τῷ γεννήσαντι ἀλλὰ τῷ γεγραμμένῳ ὅμοιον ἀπέτεκε τὸ παιδίον κατὰ τὴν ὄψιν."

Εἰ δὲ καὶ περὶ φύσεως ὄφεων βούλει μαθεῖν τινων, ὁ Νίκανδρος πρὸ τῶν ἄλλων διδάξει σε. αὐτίκα γὰρ ἐν τοῖς ἔπεσιν αὐτοῦ καὶ τάδε περὶ τῶν ἐχιδνῶν ἱστορεῖ. ἡ θήλεια ἔχις διὰ τοῦ στόματος αὐτῆς δεχομένη τὴν κεφαλὴν τοῦ ἄρρενος καὶ οὕτω συνευναζομένη ἀναιρεῖ αὐτόν. εἰς ἐκδίκησιν οὖν, ὡς ἔοικε, τοῦ πατρὸς ἀναιροῦσι τὴν μητέρα τὰ ἔγγονα·
P. 57 ἐν γὰρ τῷ τοῦ τοκετοῦ καιρῷ τὴν μητρῴαν διαρρήσσουσι νηδὺν καὶ οὕτως ἐξέρχονται. κατὰ τοῦτο καὶ ὁ τοῦ κυρίου πρόδρομος γεννήματα ἐχιδνῶν τοὺς Ἰουδαίους ἐκάλει, ἅτε δὴ τοὺς προφήτας καὶ πατέρας αὐτῶν ἀποκτείναντας. εἰ δὲ περὶ τοὺς ὄφεις οὕτως ἔχει, πῶς νοητέον τὸ εὐαγγελικὸν ῥητὸν τὸ λέγον „γίνεσθε φρόνιμοι ὡς οἱ ὄφεις, καὶ ἀκέραιοι ὡς αἱ περιστεραί;" πονηρὸς μὲν οὖν ὁ ὄφις καὶ κάκιστος ἀληθῶς, ἀλλὰ καί τινα κέκτηται εἰς ἃ βλέπειν ἐγκελευόμεθα καὶ ταῦτα μιμεῖσθαι, ἐπεὶ καὶ ἡ μέλιττα θανατηφόρῳ ἐφιζάνουσα, ὃ μὲν χρήσιμον ἐκεῖθεν ἐκλέγεται, ὃ δὲ χείριστον ἐκεῖ-
B σε ἀφίησι. πρόσεχε οὖν. ὁ ὄφις τυπτόμενος τὸ μὲν ἅπαν

16. περὶ deerat.

cum illa defixis in hanc oculis faceret, mentemque totam, ut sic loquar, eo converteret, non patri sed imagini pictae consimilem vultu filium in lucem ab ipsa editum esse."

Quodsi de serpentum quorundam natura cupis aliquid cognoscere, Nicander supra caeteros te docebit. tradit is in suis poematis primum haec de viperis. femella maris caput insertum ori suo recipiens, eoque pacto re cum ipso habita, marem necat. itaque vindicandi, quemadmodum sane videtur, patris causa fetus deinde matrem vicissim occidunt: nam tempore partus alvum maternam perrumpunt atque ita in lucem prodeunt. ea de causa praecursor ille domini Iudaeos viperinam sobolem appellabat (Luc. 3 7), ut qui vates patresque suos occidissent. quodsi res sic comparata est, quonam pacto verbum illud evangelicum (Matth. 10 16) est accipiendum quo dicitur „sitis astuti ut serpentes, et sinceri ut columbae?" improbus quidem ac nequissimus est revera serpens: sed tamen quaedam habet in quae iubemur intueri eaque imitari. nam et apis si frutici cuidam insideat letaliter noxio, quod utile est inde seligit, quod malum, missum facit. igitur animum mihi velim advertas. serpens cum caeditur, corpus quidem reliquum plagis exponit, at solum ca-

αὐτοῦ σῶμα προδίδωσι, τὴν δὲ κεφαλὴν αὐτοῦ κρύπτει, ἐπειδὴ τὴν ἑαυτοῦ ζωὴν εἰδὼς ἑαυτῷ περιέχεσθαι. οὕτω καὶ ἡμεῖς ἐν καιρῷ διωγμοῦ ὀφείλομεν ποιεῖν, πάντα μὲν προϊέναι, τὴν κεφαλὴν δὲ φυλάσσειν, ἥτις ἐστὶν ὁ Χριστὸς καὶ ἡ πίστις ἡμῶν. ὄφις γηράσας ὡς τὰ πολλὰ καὶ ἀμβλυωπίαν νοσήσας πρῶτον μὲν ἐγκρατεύεται καὶ νῆστις διαμένει, εἶθ' οὕτως διὰ στενωποῦ τινὸς καταδυόμενος καὶ δέρμα παραδόξως ἅπαν ἀπεκδυόμενος νέος αὖθις γίνεται. οὕτω καὶ ἡμεῖς τῇ ἁμαρτίᾳ καταγηράσαντες διὰ τῆς στενῆς καὶ τεθλιμμένης ὁδοῦ βαδίζειν, καὶ οὕτως ἀνανεούμενοι εἰς τὴν ἀρχαίαν πάλιν C ἀποκατάστασιν ἔρχεσθαι. ὄφις διψήσας ποτὲ καὶ ἐν φρέατι μέλλων ὕδατος ἅψασθαι πρῶτα μὲν ἐξεμεῖ τὸν ἰόν, εἶθ' οὕτως τῇ πηγῇ προσέρχεται. οὕτω καὶ ἡμεῖς τῷ θείῳ μέλλοντες προσελθεῖν ποτηρίῳ, ἅτε δὴ τὴν ἐκκαίουσαν ἡμᾶς ἁμαρτίαν ἰάσασθαι, πᾶσαν κακίαν πρότερον ἀπορρίπτειν ὀφείλομεν, καὶ οὕτω τοῖς μυστηρίοις προσέρχεσθαι. καλῶς οὖν ἐπὶ τούτοις ὁ κύριος ἔλεγε „γίνεσθε φρόνιμοι ὡς οἱ ὄφεις." καὶ περὶ μὲν τούτων οὕτως.

Γίνωσκε δέ, ἀγαπητέ, ὅτι διάφορά εἰσι καὶ ποικίλα γένη τῶν ὄφεων. οἱ μὲν γὰρ αὐτῶν θᾶττον ἀναιροῦσιν οἱ δὲ D βραδύ, καὶ ἄλλοι μὲν δήγμασι τὸν ὄλεθρον φέρουσιν ἕτεροι δὲ καθ' ἕτερον τρόπον. αὐτίκα ὁ ὄφις καλούμενος βασιλί-

2. εἰδὼς] οἶδεν αὐτῇ? 11. ἔρχεσθαι] adde ὀφείλομεν. 14. ἅτε] ὥστε?

put tegit, quasi sciret eo vitam suam contineri. sic etiam nos tempore persecutionis facere debemus: relinquemus scilicet omnia, modo caput retineamus atque servemus, quod Christus est et ipsa fides. idem serpens ubi consenuit et oculorum hebetudine laborare coepit, primum temperanter victitat et ieiunus aliquandiu manet, deinde per artum quendam meatum in terram penetrans, et modo quodam inusitato cutem totam exuens, iuvenis inde discedit. sic nos quoque, cum ex peccatis consenuimus, per artam viam incedere debemus, ut hoc pacto innovati ad statum condicionemque pristinam revertamur. quodsi aliquando sitiat inque puteo contacturus est aquam, primo virus suum evomit, ac deinde ad fontem accedit. sic etiam nos, cum ad divinum illud poculum accessuri sumus, et urentia nos peccata sanemus, omnem prius vitiositatem debemus abiicere, atque ita nos ad sacrosancta mysteria conferre. quamobrem a domino praeclare dictum vel de commemoratis intelligimus „sitis astuti ut serpentes." ac de his quidem hactenus.

Debes autem praeterea scire serpentum esse varia diversaque genera. nam alii celerrime perimunt, alii tardius. item alii morsu perniciem adferunt, alii quodam alio modo. serpens is quem Basiliscum

σκος, οὗ καὶ ὁ σοφὸς μέμνηται Γαληνὸς περὶ θηριακῆς πρὸς Πίσωνα τὸν λόγον ποιούμενος, καὶ ἀπὸ μόνης ὄψεως ἀναιρεῖ τοὺς ἑωρακότας αὐτόν. ἔνθεν τοι τὸν βάσκανον ὀφθαλμὸν τοῦ τοιούτου ὄφεως διενηνοχέναι φησὶν ἡ γραφή· καθάπερ γὰρ ἀπὸ τοῦδε τοῦ θηρὸς ὀλέθριόν τι ῥεῦμα ἐκφέρεται παραχρῆμα διαφθείρειν δυνάμενον, οὕτω καὶ ἐξ αὐτῶν τῶν τοῦ
V. 45 βασκάνου ὀφθαλμῶν. καὶ τὸ δὴ θαυμαστόν, ὅτι καὶ αὐτοῖς
P. 58 ἐνίοτε τοῖς οἰκείοις καὶ συνήθεσι τὸν ὄλεθρον φέρουσι. καὶ καινὸν ἐπὶ τούτοις οὐδέν· ὃ γὰρ πεφύκασιν, οὐχ ὃ βούλονται ποιοῦσι. καὶ μὴ θαύμαζε τούτου ἕνεκεν· εἰ γὰρ ἑαυτῷ, καθά φησι Πλούταρχος, ὁ Εὐτελίδας ἐβάσκηνε τὴν ὄψιν αὐτοῦ κατιδὼν ἐν ὕδατι καὶ τῆς ὥρας ἐκπλαγείς, πολλῷ μᾶλλον ἑτέροις ἐπάξει τὸν ὄλεθρον ὁ βάσκανος ὀφθαλμός, βέλος ὥσπερ ἰῶδες τοῖς ὁρωμένοις τούτῳ ἐνιείς. καὶ ταῦτα μὲν ἡ πεῖρα καὶ ὁ χρόνος ἀνέκαθεν ἔδειξεν· οἱ γὰρ ὀφθαλμοὶ καὶ δρῶσι καὶ πάσχουσι, ποτὲ μὲν πέμποντες ποτὲ δὲ δεχόμενοι, ὡς ἐπὶ τῶν ἐρωμένων ἔστιν ἰδεῖν. ὁ δὲ μέγας Βασίλειος ἐν οἷς ἐπεξηγεῖται τὴν τοῦ τριακοστοῦ τρίτου ψαλ-
B μοῦ ἐπιγραφήν, καὶ τάδε φησίν „ἀλλ' ἐγὼ τοῦτο μέντοι, τὸ βέλος ἰῶδες ἐκπέμπειν τοὺς ὀφθαλμούς, ἀποπέμπομαι ὡς δημῶδες καὶ τῇ γυναικωνίτιδι παρεισαχθὲν ὑπὸ γραΐδων· ἐκεῖνο δέ φημι, ὅτι οἱ μισόκαλοι δαίμονες, ἐπειδὰν οἰκείας

4. διενηνοχέναι] immo οὐδὲν διενηνοχέναι. 12. κατιδὼν] καὶ ἰδὼν P.

vocant, cuius etiam sapiens ille Galenus meminit ad Pisonem de Theriaca disserens, solo intuitu necat eum qui ipsum adspexit. quo fit ut litterae sacrae nihil oculum invidum ab eiusmodi serpente differre tradant. quemadmodum enim ab hac bestia quiddam exitiale promanat, quod hominem continuo perimere potest, sic etiam de invidi oculis consimile quiddam exit. et mirum hoc in primis, quod suis nonnunquam perniciem adferant. neque tamen hoc novum cuiquam videatur: faciunt enim id ad quod a natura sunt comparati, non quod volunt. quodsi Eutelidas, ut est apud Plutarchum, suos ipsius oculos in aqua conspectos fascinavit, cum formae venustatem suam fuisset admiratus, multo magis invidus oculus alii perniciem feret, quasi telum quoddam venenatum corporibus iis quae contuetur immittens. et haec quidem tum experientia tum superiora tempora docuerunt. nam oculi partim agunt partim patiuntur, nunc aliquid emittentes nunc recipientes, quemadmodum amantibus et amatis usuvenire videmus. magnus ille Basilius inscriptionem Psalmi XXXIII enarrans „equidem" ait „id quod fertur, oculos telum quoddam venenatum eiaculari, tanquam vulgare ac a vetulis excogitatum in mulierum conclavibus reiicio. dico autem malos genios, qui odio boni flagrant, si quas reperiant consentaneas ipsis et addictas volun-

ἑαυτοῖς εὕρωσι προαιρέσεις, παντοίως, ὥστε καὶ τοῖς ὀφθαλμοῖς τῶν βασκάνων."

Διαληφθεὶς οὖν ὁ ὄφις, τουτέστιν ὁ βασιλίσκος, οὐ μόνον τῷ βλέμματι τοὺς ἐνορῶντας αὐτὸν καταβλάπτει, ἀλλὰ καὶ συριγμῷ τοὺς ἀκούοντας. ὑπόξανθος δὲ ὁ τοιοῦτος ὄφις ἐστίν, ὥσπερ φησὶ Γαληνός, ἔχων ἐν τῇ κεφαλῇ ἐπαναστήματα τρία. σὺν τῷ τοιούτῳ δὲ καὶ ἑτέρων ὄφεων μέμνηται λέγων „ἡ δρυϊνος ὄφις πάνυ κακίστη, ἡ καὶ ἐν δρυσὶ τὸν βίον ποιουμένη. ταύτης εἴ ποιέ τι καὶ ἐπιβαίη, τοὺς πόδας εὐθὺς ἐκδέρεται καὶ ὀγκοῦται. ἀλλὰ καὶ ὁ θεραπεῦσαι τούτους θελήσας ὁμοίως πάσχει τὰς χεῖρας. ὁ δέ γε αἱμόρρους καὶ ἡ αἱμορροῒς τοῖς ἑαυτῶν ὀνόμασιν ὁμοίαν ποιοῦνται τὴν τῶν ἀνθρώπων διαφθοράν· αἱμορροοῦντες γὰρ διά τε μυκτήρων καὶ στόματος καὶ παντὸς ἁπλῶς τοῦ σώματος οὕτως ἀπόλλυνται, ὥσπερ καὶ ὑπὸ τῆς διψάδος δηχθέντες ὑπὸ τοῦ καύσου διαφθειρόμενοι κακῶς· καὶ γὰρ οὗτοι διψῶντες πάνυ καὶ διακαιόμενοι, ἔτι καὶ διαρρηγνύμενοι, τελευτῶσιν. ὁ δὲ ἀκοντίας ἐκτείνας ἑαυτὸν πάνυ, καὶ ὥσπερ τι ἀκόντιον ἐφαλλόμενος τοῖς σώμασιν, οὕτως ἀναιρεῖ. καὶ τῶν ἀσπίδων ἡ λεγομένη πτυὰς ἀναστείλασα τὸν τράχηλον καὶ συμμετρησαμένη τοῦ διαστήματος τὸ μῆκος, ὥσπερ καὶ τότε λογικὸν γενόμενον τὸ θηρίον, εὐστόχως ἐμπτύει τοῖς

1. παντοίως] παντοίως καταχρῶνται Leunclavius.

tates, iis omnino pro lubitu et arbitratu suo abuti. quo fit ut etiam fascinatorum oculis ad suae voluntatis ministerium utantur."

Basiliscus quidem, de quo nunc loquimur, non hoc tantum modo, verumetiam sibilo laedit aures audientum. et est colore subflavus, ut tradit Galenus, inque capite tres habet cristas. praeter hunc meminit idem aliorum quoque serpentum. serpens, ait, quercinus maxime noxius est, et intra quercus degit. quodsi quis hunc calcat, mox cutem pedum amittit et intumescit; idque consimiliter accidit illius manibus qui medicinam his vult facere. haemorrhus et haemorrhois ita necant homines ut vocabulis ipsis significatur: nam laesi ab his sanguinem per nares os totumque adeo corpus emittendo moriuntur. quemadmodum qui a dipsade morsi sunt, ab aestu misere pereunt: quippe vehementer sitientes ac perusti, nonnunquam etiam dissilientes extinguuntur. acontias autem sive iaculator, semet admodum extendens quasique iaculum quoddam in adversa insiliens, corpora sic ea perimit. itidem inter aspides ea quae Ptyas appellatur ab exspuendo, collo extenso et intervalli magnitudinem velut emensa, quasi eo ipso tempore fieret bestia rationis particeps, virus suum accurate citraque aberrationem in corpora exspuit tradunt autem

σώμασιν ἰόν. τριπλοῦν δὲ λέγουσιν εἶναι τὸ εἶδος τῶν ἀσπί-
δων, ἡ λεγομένη τε χερσαία, ἡ χελιδοναία, καὶ αὕτη ἡ
πτυάς. τούτων ἑνὶ τῶν τριῶν τὴν βασιλίδα Κλεοπάτραν ἀναι-
ρεθῆναί φασι, λαθεῖν βουληθεῖσαν τοὺς φυλάσσοντας, ταχέ-
ως τε καὶ ἀνυπόπτως ἀποθανεῖν. ὁ γὰρ Αὔγουστος Καῖσαρ
νενίκηκε ταύτην, καὶ βουληθεὶς Ἀντωνίῳ παραδοῦναι αὐτῇ,
P. 59 πρὸς δὲ καὶ θριαμβευθῆναι, οὐ καλὸν αὐτῇ προυξένησε μό-
ρον. συνεῖσα γὰρ ἐκείνη τὸ δρᾶμα, κἀντεῦθεν ἐξ ἀνθρώπων
γενέσθαι δίκαιον κρίνασα, διά τινων δύο γυναικῶν αὐτῆς,
Ναείρας καὶ Χαρμιόνης, τὸν ἑαυτῆς θάνατον μελετᾷ. διὰ
γοῦν καλαθίσκου τινὸς σῦκα καὶ σταφυλὰς ἔχοντος, χάριν
τοῦ λαθεῖν τοὺς αὐτὴν φυλάσσοντας, εἰσάγεται τὸ θηρίον·
καὶ πρῶτα μὲν αὐτὸ ταῖς γυναιξὶ δοκιμάζει, εἶτα γνοῦσα
ὡς ὀξὺ τὸ θηρίον εἰς ἀναίρεσιν, θέλουσα δὲ καὶ εὐγενῶς
ἀποθανεῖν, τὴν βασιλικὴν ἐνδύεται στολήν, καὶ οὕτως τὸ
V. 46 θηρίον προσβαλοῦσα τῷ ἀριστερῷ μαζῷ (ᾔδει γὰρ ἐκεῖσε νεύ-
B ειν τὴν καρδίαν) βασιλικῶς ἀποθνήσκει· καὶ γὰρ λέγουσιν
αὐτῆς εὑρεθῆναι τὴν δεξιὰν χεῖρα ἐπικειμένην τῇ κεφαλῇ καὶ
τὸ διάδημα κρατοῦσαν, ἵνα μέχρι τότε τοῖς ὁρῶσι βασιλὶς
οὖσα βλέπηται. τούτων μέντοι τῶν θηρίων ἐμνημόνευσεν ὁ
Γαληνός, τὴν ἐξ ὅλου τοῦ σώματος αὐτῶν διδάσκων διαφθο-
ράν, καὶ ὡς οὐ χρὴ τῷ φαρμάκῳ, τῇ θηριακῇ δηλονότι,

6. αὐτήν?

aspidum genus esse triplex, quarum aliae dicantur terrestres, aliae chelidonaeae, quasi dicas hirundineas, aliae ptyades, de quibus dictum. ex his tribus una reginae Cleopatrae mortem attulit, cum fallere custodes adhibitos sibi vellet ac celeriter citraque suspicionem omnem mori. vicerat enim hanc Augustus Caesar, cumque vellet eam sese cum Antonio dedere, quo de ipsa triumpharet, ad genus hoc mortis excogitandum mulierem adegit. nam ubi quid moliretur Augustus intellexisset, ideoque recte se facturam statuisset, si quamprimum vitam abrumperet, duarum quarundam muliercularum opera, nimirum Nairae ac Charmiones, ad mortem sibi conciliandam utitur. itaque fallendi custodes causa in quasillo, quo fici et uvae continebantur, ad eam aspis infertur. eius vim primum in mulierculis ipsis explorat. deinde cognito bestiolam ad necandum efficacissimam esse, simul extingui generose nobiliterque volens, regio se ornatu induit. atque hoc modo sinistrum ad latus, quo tendere cor propius sciret, adhibita bestiola regia quadam cum dignitate moritur. aiunt enim repertam manum ipsius dextram impositam capiti, qua diadema teneret, ut tum quoque spectantibus reginam se ostenderet. harum igitur bestiarum Galenus mentionem fecit, quo pacto perniciosae sint, ex toto corpore declarans, simulque significans non debere pharma-

τοιαῦτα παραμίγνυσθαι. ἐφ' ᾧ τὰς ἐχίδνας παραλαμβάνομεν, σὺν τῷ οὐραίῳ τὰς κεφαλὰς ἀποτέμνοντες, ἐν οἷς ὁ κακίων χυμός, τουτέστιν αὐτὸς ὁ ἰός. τὰς μέσας οὖν σάρκας ἐκβάλλοντες ἰσχυρότερον ποιοῦμεν τὸ φάρμακον.

Εἰ δὲ καὶ ὅθεν ἐπενοήθη τῶν ἐχιδναίων σαρκῶν ἡ ἐπί- C
μιξις ἐθέλεις μαθεῖν, ὁ παρὰ πᾶσι σχεδὸν φερόμενος λόγος καὶ τοῦτο ἤδη διδάξει σέ. λέγεται γὰρ ὅτι κατὰ τὴν πρεσβυτέραν Ῥώμην ὥρᾳ θέρους ἄνδρες τινὲς στάχυας ἔτιλλον. καὶ τοῦτο ποιοῦντες δίψει γίνονται κάτοχοι. ταύτῃ τοι καὶ πρὸς ἀγγεῖον ἔτρεχον οἴνου μεστόν, ἐλπίζοντες ἐκεῖθεν ἀπαλλαγὴν τῆς δίψης εὑρεῖν. ἀλλ' ἐσφάλησαν τοῦ σκοποῦ· ἔχις γὰρ ἐκεῖθεν αἰφνηδὸν ἐκπηδήσασα τῆς ὁρμῆς αὐτοὺς ἀνεχαίτισε. τί τὸ ἐπὶ τούτοις; λαμβάνουσι τὸν οἶνον καὶ ἀνθρώπῳ τινὶ λελωβημένῳ διδόασιν, ὡς ἐντεῦθεν αὐτὸν θᾶττον ἐκστῆναι τῶν ὧδε καὶ μὴ τὸ ζῆν οὕτως ἔχειν ἐπώδυνον. δέχεται τὸν οἶνον ἐκεῖνος, μεθ' ἡδονῆς ἐκροφᾷ, καὶ παραχρῆμα τῆς D
νόσου λύτρωσιν εὕρατο. ἔκτοτε οὖν αἱ τῆς ἐχίδνης σάρκες ἐμβάλλονται τῷ φαρμάκῳ. ἀλλὰ καὶ θηριακὴν τὸ τοιοῦτον διὰ τὰς τῶν θηρίων σάρκας ἐπονομάζουσι, καὶ ὅτι τοῖς ἀπὸ τῶν ὄφεων δήγμασι καὶ μάλα τὸ τοιοῦτον ἁρμόττει. τῆς δὲ τοιαύτης ἐπινοήσεως Ἀνδρόμαχός τις γέγονεν αἴτιος, καθά φησι Γαληνός, συναχμάσας τῷ Νέρωνι.

co, id est theriacae quaedam misceri. quo fit ut cum ad usum earum viperas sumimus, una cum cauda caput praecidamus, quibus in partibus humor ille deterior, nimirum virus ipsum, existit. ideoque carnes medii corporis exsecantes pharmacum praesentius efficimus.

Quodsi etiam scire cupis unde primum sit ortum, quod theriacae viperarum carnes miscentur, hoc ipsum ex nota vulgo narratione facile cognosces. proditum est enim memoriae quosdam iuxta Romam veterem, cum aestivo tempore spicas vellerent, siti fuisse correptos. itaque vasculum ad quoddam vino plenum cucurrisse, quod eo se sitim extincturos sperarent. verum ea spe excidisse: nam vipera subito inde prosiliens homines ab instituto revocabat. quid secundum haec evenit? sumunt vinum, idque cuidam homini misere adfecto porrigunt, ut hoc epoto citius tantis doloribus liberaretur, nec usque adeo tristem amplius vitam ageret. accipit oblatum ille vinum, et cum voluptate exhaurit. mox sese morbo liberari animadvertit. quamobrem ab illo tempore carnes viperinae huic pharmaco misceri consueverunt, cui theriacae nomen datum est a feris atque bestiis, quibus ad eam conficiendam utimur. et conducit in primis ad sanandos serpentum morsus. auctor inventi princeps fuisse fertur Andromachus quidam, ut Galenus scripsit, qui Neronis aetate vixit.

Πρὸς δέ γε τοῖς εἰρημένοις, ἑλιττομένους ἀλλήλοις γίνωσκε τοὺς ὄφεις ὀχεύεσθαι, καθὰ δὴ καὶ τοὺς ἐχίνους ὀρθίους ἱσταμένους διὰ τὴν ἄκανθαν. εἰ δὲ καὶ τὴν αἰτίαν βούλει μα- P. 60 θεῖν δι' ἣν οἱ ὄφεις χειμῶνος μὲν τῇ γῇ καταδύονται, θέρους δὲ τοὺς ἄνω τόπους ἐπιζητοῦσι, σαφὴς ὅτι καὶ αὕτη ἐστί. ψυχρὸς ὁ ὄφις ἐστὶ καὶ ξηρὸς καὶ νευρώδης καὶ ὀλιγόαιμος, ἐφ' ᾧ καὶ τοὺς θερμοὺς ἀεὶ τόπους ἐξ ἀνάγκης ἐπιζητεῖ· καὶ ἐπειδὴ χειμῶνος μὲν ἡ θερμότης κάτω χωρεῖν εἴωθε, θέρους δὲ ἄνωθεν ἐπιπολάζει, διὰ τοῦτο καὶ τὰς ἑαυτοῦ νομὰς πρός γε τὴν τοῦ ἀέρος κατάστασιν ὑπαλλάττει ὁ ὄφις. ὅρα γὰρ ὅτι καὶ τὰ φρεατιαῖα ὕδατα θέρους μὲν τυγχάνει ψυχρά, χειμῶνος δὲ θερμά. τηνικαῦτα καὶ γὰρ τῆς ψυχρότητος ἄνωθεν ἐπιπολαζούσης εἰς τὸ βάθος ἡ θερμότης χωρεῖ, ὅθεν καὶ B θερμὰ τυγχάνει κατά γε τὸν χειμῶνα τὰ ὕδατα. τήν τε γὰρ ψυχρότητα καὶ θερμότητα κατά γε τὸν αὐτὸν τόπον καὶ χρόνον ἅμα μένειν ἡ φύσις οὐκ ἐνομοθέτησεν.

Ἀλλὰ καὶ τοῦτο πρὸς τοῖς ἄλλοις εἰδέναι σε βούλομαι. τοὺς μεγίστους ὄφεις δράκοντας εἴωθε καλεῖν ἡ γραφή, καὶ μᾶλλον ἡνίκα περὶ τῆς ῥάβδου λέγει τοῦ Μωσέως, μεταβληθῆναι μὲν εἰς ὄφιν τὸ πρότερον, εἶθ' οὕτως εἰς δράκοντα, κἀντεῦθεν τὰς ῥάβδους τῶν ἐπαοιδῶν τοῦ Φαραὼ καταπιεῖν, καὶ αὐτὰς δῆθεν εἰς ὄφεις μεταβληθείσας. ἀλλὰ καὶ

5. ἐστὶ] δὲ? 10. τοῦ deerat.

Caeterum praeter hactenus indicata scire debes convolutos serpentes coire, quemadmodum erinacei coeuntes ob spinas recti stare solent. quodsi causam lubet cognoscere quamobrem serpentes hieme terram subeant, aestate rursum ad loca superiora prodeant, perspicuum est illam huiusmodi quandam esse. natura serpens frigidus est, siccus, nervosus, exigui sanguinis, quo fit ut necessario loca semper calida quaerat. cumque per hiemem calor ad ima tendere soleat, per aestatem sursum in superficie terrae quasi dispergatur, propterea serpens etiam regiones locaque sua pro aëris constitutione mutare consuevit. nam et aquae puteales per aestatem frigidae sunt, per hiemem calidae. tunc enim frigore partes puteorum supremas occupante calor ad ima tendit. quae causa est, cur eiusmodi aquae per hiemem caleant. quippe natura nequaquam instituit ut frigus atque calor eodem in loco eodemque tempore simul existant.

Volo te hoc quoque praeter exposita scire, consuesse sacras litteras serpentes maximos appellare dracones, praesertim cum de Mosis virga loquuntur, fuisse quidem illam prius in serpentem commutatam verum deinceps in draconem, ac secundum haec virgas praestigiatorum Pharaonis devorasse, quae et ipsae in serpentes erant commutatae. itidem vates ille Davides de cetaceo genere loquens „dra-

ὁ προφήτης Δαυὶδ τὸ κηταῖον ὑπεμφαίνων γένος οὕτω φησὶ „δράκων οὗτος ὃν ἔπλασας ἐμπαίζειν αὐτῇ." τοιοῦτον δὲ γένος ὁποῖον ἄρα φημίζουσιν οἱ πολλοί, μέχρι καὶ τήμερον γεγραμμένον οὐχ εὕρομεν· οὐ γὰρ ἐπὶ τούτῳ τὸ ἀστραπαῖον V. 47 ἄνωθεν καταρρήγνυται πῦρ, ἐπὶ τῷ τοὺς τοιούτους δράκον- C τας ἐμπιπρᾶν. τὸ μὲν οὖν δρακόντειον γένος ξηρόν τε τὴν φύσιν ἐστὶ καὶ [τὴν φύσιν] διάπυρον· πῦρ γὰρ καὶ οἱ ὀφθαλμοὶ αὐτῶν ἀποβλέπουσι. καὶ ὃν δὲ ἐξεμοῦσιν ἰόν, καπνώδης ἐστί, καὶ διαιρεῖ τὰ σώματα ψαύσας αὐτῶν. ἔνθεν τοι καὶ εὔπρηστος ἐστὶν ὁ δράκων, δι' ἣν ἔχει ξηρότητα, καὶ πρὸς κατάφλεξιν ἐπιτήδειος. πεφόβηται οὖν διὰ ταῦτα τὸν κεραυνόν, καὶ ἀλλόμενός ἐστιν ὅτε δι' ἀέρος φέρεται, τόπους τε καθύγρους ἐπιζητεῖ καὶ ἐπὶ λίμνας καταφεύγει· οἶδε γὰρ ὅτι διὰ τὴν ἐνοῦσαν αὐτῷ ξηρότητα καὶ ἀπὸ διαστήματος τῷ κεραυνίῳ πυρὶ καταφλέγεται. ἔνθα που τύχοι λοιπὸν ὁ δράκων συρίττων καὶ διιών, ἐπειδὰν ὑπὸ τοῦ πυρὸς ἐλαύνε- D ται, τότε δὴ τὰ παρακείμενα μέρη συγκαταφλέγεται. πολλάκις γὰρ καὶ δράκοντος ἄτερ ἦχοί τινες ἐξακούονται ἄσημοι, τοῦ πυρὸς ἄνωθεν καταρρηγνυμένου καὶ σώμασι τοιοῖσδε ἢ τοιοῖσδε προσπίπτοντος. ὅσοι δέ φασι τῶν ἐντετυχηκότων ταῖς τοιαύταις καύσεσιν ὅτι τεθέανται χοῖρον γρυλλίζοντα ἢ μηκάζον αἰπόλιον ἢ βοῦν μυκώμενον, ἑαυτῶν τε καὶ τῶν ἀκροατῶν καταψεύδονται· οὐδὲν γὰρ τεθέανται, ἀλλ' ὁ φό-

co" inquit „iste, quem condidisti, ut in mari luderet." caeterum genus eiusmodi draconum, quale quoddam existere vulgo perhibetur, hactenus descriptum sane nusquam deprehendimus. nec propterea fulgureus ignis deorsum fertur, ut huiusmodi dracones exurat. ipsa draconum natura sicca est et substantia quadam ignea constat. quippe de ipsorum oculis etiam ignis emicat, et venenum quod evomunt fumosum est, corporaque contacta dissilire facit. inde fit ut ad inflammationem dispositus sit draco, siccitatis suae causa. quamobrem sibi a fulmine metuit, et nonnunquam exsiliens per aërem fertur. quaerit item humida loca et ad stagna confugit. novit enim se propter insitam sibi siccitatem etiam ex intervallo quodam remotum ab igne fulminis exuri. saepenumero quidem soni exaudiuntur obscuri, tanquam draconis, cum fulgur deorsum fertur ac vel in haec vel illa corpora irruit. qui autem perhibent (de iis loquor quibus eiusmodi se obtulerunt inflammationes) se porcum grunnientem conspexisse, ut gregem caprarum balantem vel mugientem bovem, tam seipsos quam alios haec audientes mendacio decipiunt. nihil enim eiusmodi viderunt, sed imaginationes earum rerum a metu proficiscuntur. quodsi

βος αὐτοῖς τὰς τοιάσδε μορφώσεις εἰδωλοποίησεν. εἰ δ' ἴσως καὶ βάσκανος δαίμων τὸ σῶμα τοῦ δράκοντος ἐνδυσάμενος εἰς ἐκεῖνα τῶν μερῶν ἄγει τὸν θῆρα ὑπὸ τοῦ πυρὸς ὥσπερ διωκόμενον, οἷς δὴ βασκαίνειν ἐξ ἀρχῆς εἴωθεν, οὐδ' οὗτος P. 61 ὁ λόγος ἀπόβλητος. ἀρχαῖον γὰρ αὐτῷ ἐνδιαίτημα τὸ τοιοῦτον γένος, ἡνίκα καὶ μᾶλλον ἡμᾶς ἐξορίστους δι' αὐτοῦ τοῦ παραδείσου πεποίηκεν, ὅθεν καινὸν οὐδὲν εἴγε καὶ τῆς γῆς ταύτης ἀπώσασθαι φιλονικεῖ διὰ φθόνον ἡμᾶς.

Καὶ περὶ μὲν τούτων οὕτως· εἰ δὲ τὴν αἰτίαν ἐπιζητεῖς δι' ἣν αἴλουροι καὶ νυκτερίδες νύκτα καὶ μόνην ἀκριβῶς ὁρῶσιν, αὕτη ἐστί. τὸ ὀπτικὸν πνεῦμα πάντως λεπτότατον ἔχουσιν. ἐν τῇ νυκτὶ οὖν μετρίως παχυνόμενον τῇ ἀπουσίᾳ τοῦ ἡλίου πρὸς τὴν τῶν ὁρατῶν ἀντίληψιν ἐπιτήδειον γίνεται· κατὰ γὰρ τὴν ἡμέραν ὡς λεπτότατον διαφορεῖταί τε B καὶ σκεδάννυται. τοῦτο δὲ καὶ ἐν ἄλλοις ἔστιν ἰδεῖν καὶ ἐν αὐτοῖς τοῖς λέουσιν. ἔνθεν τοι καὶ τὰς ἡλιακὰς μαρμαρυγὰς οἱ λέοντες φεύγοντες δι' ὅλης ἡμέρας καὶ ἄκοντες κρύπτονται· εἰ μὴ γὰρ τοῦτο ἦν, τάχα ἂν ἀκωλύτως ἐν ἡμέρᾳ περιπατοῦντες οὐ μικρῶς ἔβλαπτον τοὺς αὐτοῖς ἐντυγχάνοντας.

Γίνωσκε καὶ τοῦτο, ὅτι ὁ λέων διωκόμενος συστέλλει τὰ ἴχνη αὐτοῦ. οὕτω ὁ κύριος κατερχόμενος ἐπὶ τῆς γῆς τὸν τῆς παρουσίας καιρὸν πάντῃ συνέστειλε διὰ τὸν διάβολον

fortasse daemon ille praestigiator et invidus, serpentis indutus corpore, feram hanc, velut igne ipsam urgente, in animalia mansueta irruere facit, cum inde usque ab initio invidia quadam prosequatur, non hoc ita proferri putabitur ut omnino sit reiiciendum: nam genus hoc ferarum sibi pro domicilio iam olim usurpavit, cum per id nos paradisi finibus eiecit; itaque nihil novum, si motus invidia cupit hac etiam terra nos expellere.

Ac de his quidem hactenus. quodsi causam vis cognoscere quamobrem feles et vespertiliones tantum noctu acutum videant, hanc illam esse scito. sunt haec animalia spiritu, quo cernendi vis continetur, sane pertenui praedita. quapropter is noctu mediocriter ob solis absentiam condensatur et ad perceptionem rerum adspectabilium fit idoneus: quippe interdiu tanquam subtilissimus dissipatur ac dispergitur. idem et in aliis est videre, praesertim ipsis in leonibus. quo fit ut splendorem radiorum solarium fugientes etiam inviti toto die latitent. nam si absque hoc esset, libere utique per diem oberrantes haud exiguam hominibus occurrentibus noxam afferrent.

Hoc etiam disce, leonem vestigia sua contrahere (confundere Labb.) quoties ipsum aliqui persequuntur. sic dominus quoque no-

πάλαι τὰς παρθένους ἐπιτηροῦντα. ὁ τοῦ λέοντος σκύμνος νεκρὸς μὲν γεννᾶται, ἐμφυσώμενος δὲ παρὰ τοῦ πατρὸς αὐτοῦ ζωογονεῖται. οὕτω καὶ ὁ θεὸς πρῶτα μὲν ἐπὶ τῷ Ἀδὰμ ἐποίησεν, ὕστερον δὲ καὶ ἐπ' αὐτῷ τῷ υἱῷ αὐτοῦ δι' ἡμᾶς C νεκρωθέντι ποιεῖ. ὅθεν καὶ ὁ Ἰακὼβ ἔλεγεν „ἀναπεσὼν ἐκοιμήθη ὡς λέων καὶ ὡσεὶ σκύμνος· τίς ἐγερεῖ αὐτόν;" εἰ δὲ καὶ λέων καὶ σκύμνος ὁ αὐτὸς λέγεται, οὐ καινόν· ἦν γὰρ καὶ βασιλεὺς ὁ Χριστὸς καὶ βασιλέως υἱός.

Ὁ λύκος φοβεῖται τὸ φυτὸν τὴν σκίλλαν. τοῦτο εἰδυῖα ἡ ἀλώπηξ παρὰ τῷ τοιούτῳ ὑπνώττει φυτῷ, εἴ ποτε τοῦ φωλεοῦ αὐτῆς ἔξω τύχῃ διατρίβουσα, ἵνα μὴ ὑπὸ λύκων βρωθῇ. εἰ δὲ ἡ ἀλώπηξ οὕτω ποιεῖ, πολλῷ μᾶλλον ἡμεῖς ἐκείνοις ὀφείλομεν συνεῖναι δι' ὧν ὁ νοητὸς λύκος διώκεται. τίνα δὲ ταῦτα; προσευχὴ καὶ νηστεία· τὸ γένος γάρ, φησί, D τοῦτο οὐκ ἐκβάλλεται εἰ μὴ ἐν προσευχῇ καὶ νηστείᾳ.

Ἡ δέ γε καμηλοπάρδαλις ἐν Λιβύῃ καθορᾶσθαι ἱστόρηται. αἰτία δὲ τῆς τοιαύτης ἐπιμιξίας ἡ τῆς χώρας ἀνυδρία· V. 48 περὶ γὰρ τὰ ἐκεῖσε ὕδατα ὀλιγοστὰ ὄντα ἀθροίζεται πολυειδῆ ζῷα, κἀντεῦθεν ἀλλήλοις ἐπιμιγνυμένων αὐτῶν θηρία πολύμορφα τίκτεται.

Γίνωσκε δέ, ἀγαπητέ, ὅτι τὰ τοιαῦτα σύνθετα ζῷα, καθὰ δὴ καὶ οἱ ἡμίονοι, οὐκ εὔθετά εἰσι πρὸς σύλληψίν τε

ster in terram descendens adventus sui tempus contraxit (celavit Labb.) diaboli causa, qui iamdudum virgines observabat. catulus leoninus in lucem mortuus quidem editur, verum adflatu patris vitam accipit. idem deus initio fecit in Adamo, ac deinceps ipso etiam in filio suo mortem nostri causa perpesso. quamobrem Iacobus dixit „corruens sopitus est ut leo, quasique catulus leoninus: quis excitabit eum?" nec quicquam absurdi eundem tum leonem tum catulum leoninum appellari: nam Christus et rex et regis filius erat.

Lupus scyllam, plantae speciem, vitat. id cum vulpecula norit, apud hanc plantam dormiens cubat, si forte suas extra latebras degit, ne a lupis devoretur. quodsi hoc vulpecula facit, multo magis nos adesse debemus iis quibus intellectilis ille lupus abigitur. quaenam illa? preces et ieiunium: nam genus istud, inquit Christus, non nisi precibus et ieiunio eiicitur.

Camelopardalis in Libya conspici traditur. eius duorum animalium mistionis causa est eius regionis siccitas et aquae penuria: quippe animalia diversa variarumque specierum ad aquas congregantur, quae in Libya rarae sunt. ita fit ut ipsis inter se coeuntibus ferae quaedam multiformes procreentur.

Et animadvertito, dilecte fili, eiusmodi animalia composita, cuius generis sunt etiam muli, non esse vel ad conceptionem vel pro-

καὶ γέννησιν. τίνος ἕνεκεν; ὅτι ἐξ ἀλλοτρίων συνεστηκότα ταῦτα γενῶν διεφθαρμένην τὴν πρὸς τὸ τίκτειν ἀπειλήχασι δύναμιν. καὶ εἰκότως· οὔτε γὰρ ἡ γῆ κατ' ἀρχὰς ἐξήγαγε ταῦτα, καθὰ δὴ καὶ τὰ λοιπὰ ζῷα (καὶ γὰρ ἐξ ἐπινοίας ὕστερον
P. 62 ἀνθρωπίνης ἡ τῶν ὄνων τε καὶ ἵππων ἐπενοήθη σύζευξις), οὔτε τῆς θείας ἐκείνης φωνῆς ἤκουσαν τῆς οὕτω λεγούσης „αὐξάνεσθε καὶ πληθύνεσθε." ἔνθεν τοι καὶ τὴν πρὸς τὸ τίκτειν δύναμιν διεφθαρμένην ἐσχήκασιν.

Ὁ μονόκερως ζῷόν ἐστι καὶ πάνυ ἄγριον, μήτε θηραταῖς μήτε ἄλλως πως ἀγρευόμενον. παρθένῳ δὲ γυναικί, καὶ ταῦτα λαμπρειμονούσῃ καὶ ποικίλως ἐστολισμένῃ, καὶ περιέρχεται τὸ δυσθήρατον ζῷον καὶ παρὰ τοῖς γόνασιν αὐτῆς ἀναπαύεται. τοῦτο δὲ καὶ ἐπὶ τῆς ἀοράτου καὶ ἀθηράτου θεό-
B τητος καὶ τῆς ὄντως καὶ μόνης παρθένου ἔστιν ἰδεῖν· εἰ μὴ γὰρ ὁ καθαρώτατος οὗτος εὑρέθη ναός, οὐκ ἂν ὁ θεὸς ἐπὶ τῆς γῆς ὤφθη καὶ τοῖς ἀνθρώποις συνανεστράφη.

Ὁ μύρμηξ ἐπὶ τὸν στάχυν ἀνερχόμενος ὀσφραίνεται, καὶ ἐὰν κριθή, φεύγει ἀπ' αὐτοῦ καὶ ἐπὶ τὸν τοῦ σίτου στάχυν ἔρχεται. εἰ δὲ ὁ μύρμηξ οὕτω ποιεῖ, πολλῷ μᾶλλον ἡμεῖς τὴν ἑτεροδοξοῦσαν διδασκαλίαν φεύγειν ὀφείλομεν, ἐπὶ δὲ τὸν σῖτον ἔρχεσθαι, τὸν ὀρθότατον δηλαδὴ λόγον. εἰ γὰρ ἣν ὁ λύκος ἔχθραν πρὸς τὰ πρόβατα κέκτηται, κἀντεῦ-

18. κριθή] κριθὴ ᾖ? 21. εἰ] καί?

creationem idonea. quamobrem istuc? quod ex diversis generibus constent, ac propterea vis gignendi in eis vitiata sit, consentanea id quidem ratione. quippe nec terra initio rerum ea produxit ut animalia caetera (nam deinceps humana sollertia quadam et artificio asinorum et equorum excogitata est coniunctio), nec vocem illam divinam audiverunt qua dictum est aliis „augescite ac multiplicamini (Gen. 1 22)." quo fit ut procreandi vis in ipsis vitiata sit.

Unicornu animal est valde ferum, quod neque per venatores neque modo ullo alio capi potest. nihilominus fera tam immanis ad feminam virginem, quae splendidis induta sit vestibus et ornatu vario exculta, non tantum accedit, sed etiam ipsius ad genua procumbens quiescit. idem tum in divinitate illa inadspectabili et incomprehensili tum vera solaque virgine videre est: nisi enim templum hoc repertum esset purissimum, deus in terris non conspectus nec cum hominibus versatus fuisset.

Formica spicam conscendens olfacere consuevit, ac siquidem hordeum reperit, fugit inde seque ad tritici spicam confert. hoc si formica facit, multo magis nos abhorrentem a veritate doctrinam cavere debemus, et ad triticum, doctrinam videlicet rectissimam,

θεν ἔστιν ἰδεῖν· εὑρισκομένης γὰρ τῆς χορδῆς αὐτοῦ ἐν κιθάρᾳ, αἱ λοιπαὶ τῶν προβάτων χορδαὶ σιγῶσι καὶ οὐ φθέγγονται. C τοῦτο δὲ καὶ ἐπὶ τυμπάνων ἔστιν ἰδεῖν. τίνος δὲ χάριν τὸ παράδοξον τοῦτο γίνεσθαι κατ' ἀρχὰς συγκεχώρηται; ὡς ἐντεῦθεν ἀριδηλότερον φαίνεσθαι τὴν ἔχθραν ἣν ὁ νοητὸς λύκος πρὸς τὰ τοῦ Χριστοῦ θρέμματα κέκτηται.

Ὁ μὲν οὖν Αἰλιανὸς λέγει τὸν χαμαιλέοντα ποικίλον φαίνεσθαι τῇ μορφῇ ἅτε τὰς τῶν ὁρώντων ὄψεις ἐκκρουόμενον, κατὰ μίμησιν τοῦ εἰς ἄγγελον φωτὸς μετασχηματιζομένου Σατάν. ὁ δὲ Ἀριστοτέλης φησὶν ὅτι ἰσχνότατος ὁ χαμαιλέων τῶν ᾠοτόκων καὶ πεζῶν, διότι ὀλιγαιμότατός ἐστι. τοῦτο δὲ αἴτιον καὶ τοῦ τῆς ψυχῆς ἤθους τοῦ ζώου· πολύμορ- D φον γὰρ γίνεται διὰ τὸν φόβον· ὁ γὰρ φόβος δι' ἔνδειαν θερμότητος.

Ὁ ἄρρην ὗς χαυλιόδοντας ἔχει ὡς ὀξύτερος εἰς τὸ πλήσσειν, τὸ δὲ θῆλυ οὐκ ἔχει, ἐφ' ᾧ καὶ ἀμυνόμενον δάκνει. οὕτω μὲν οὖν καὶ ἐπὶ τῶν ἐλάφων· ὁ μὲν γὰρ ἄρρην φέρει κέρατα, ἡ δὲ θήλεια οὐκέτι. ἀλλὰ καὶ οἱ ἐκτεμνόμενοι ὕες χαυλιόδοντας οὐκ ἔχουσι, διότι τὴν φύσιν πρὸς τὸ θηλυπρεπὲς μεταμείβουσι· καὶ γὰρ αἱ θήλειαι τούτων ἐστέρηνται.

Γίνωσκε δὲ καὶ τοῦτο, ὅτι αἱ ἄγριαι ὕες ἁπλῇ τροφῇ

accedere. quae lupo sunt adversus oves inimicitiae, possunt hinc etiam perspici. si chorda lupina in cithara reperiatur, reliquae de ovibus confectae chordae silent ac sonum nullum edunt. idem videre est in tympanis. quamobrem deus rem adeo novam et inusitatam initio rerum instituit? ut inde clarius perspicerentur inimicitiae, quas intellectilis ille lupus adversus oves Christi gerit ac exercet.

Tradit Aelianus chamaeleontem variis formis conspici, ut qui oculos se intuentum elidat, ad exemplum Satanae, qui se in lucis angelum transformat. verum Aristoteles ait maxime macrum et exilem esse chamaeleontem inter animalia, quae ova pariunt et terrestria sunt; idque propterea quod sanguinis perparum habeat. hanc ipsam vult esse causam indolis animae in hoc animali. varias nimirum formas accipit formidinis causa: metus enim ex inopia caloris existit.

Aper dentes exsertos ac prominentes habet, ideoque acrius vulnerat. eos dentes femella desiderat, et propterea quoties se tuetur mordere consuevit. itidem in cervis marem cornua gestare videmus, quae in femina nulla sunt. etiam apri castrati dentes exsertos non habent, quod ipsorum natura de virili in femineam degeneraverit, quae ab iisdem, ceu dictum est, destituitur.

Praeterea scito sues silvestres, quae alimento simplici utuntur,

χρώμεναι ἅπαξ τοῦ ἐνιαυτοῦ τίκτουσιν, αἱ δὲ ἥμεραι δὶς διὰ τὴν παχεῖαν δίαιταν. αἱ πιανθεῖσαι ὕες λειποτριχοῦσι· πιαινόμεναι γὰρ σαρκοῦνται, μᾶλλον δὲ τοιαῦται αἱ πέπτουσαι,
P. 63 πέπτουσαι δὲ λείπονται τοῦ περιττώματος, αἱ δὲ τρίχες ἐκ τῶν περιττωμάτων.

Ἡ δὲ αἰτία δι' ἣν ὁ ὗς τε καὶ ὁ ἵππος ἀφρὸν παρὰ τῷ στόματι φέρουσιν, αὕτη. ἡ θερμότης ὡσαύτως καὶ ἡ κίνη-
V. 49 σις λευκαίνειν εἴωθε τὰ ὑγρά. καὶ ὅρα τὴν θάλασσαν· κινουμένη γὰρ ὑπ' ἀνέμων λευκαίνεται. ὅρα τοὺς ὑποκαιομένους λέβητας. ὅρα τὴν ἐν τῷ ἀέρι ὑγρότητα· χειμῶνος γὰρ ὑπ' ἀνέμων κινουμένη λευκαίνεται, λευκαινομένη δὲ διὰ τὴν τηνικαῦτα ψῦξιν πήγνυται, καὶ οὕτως ἡ χιὼν καταφέρεται· ἡ γὰρ χιὼν οὐδὲν ἄλλο ἐστὶν ἢ ὕδωρ ἡμιπαγές. οὕτω μὲν οὖν καὶ παρὰ τῷ συῒ καὶ ἵππῳ ὑγρὰ λεπτυνόμενα εἰς πομφόλυγας διὰ θερμότητα καὶ κίνησιν εἰς ἀφρὸν μεταβάλλονται.

B Εἰ δὲ καὶ τὸν λόγον ἐθέλεις μαθεῖν οὗ χάριν οἱ κύνες μόνοι λυττῶσι κατά γε τὸ θέρος, σαφὴς ἰδοὺ καὶ οὗτός σοι πρόκειται. λυττῶσιν οἱ κύνες διὰ τὴν πρόληψιν τῆς ξηρᾶς κράσεως. φύσει δέ εἰσι ξηροί, καὶ πλέον τοῖς καύμασι. θερμαινόμενα οὖν καὶ καταξηραινόμενα ἐκπυροῦται τὰ ἐν αὐτοῖς ὑγρά, κἀντεῦθεν διὰ τὴν ἄγαν ξηρότητα μαίνονται, καθάπερ

19. προόληψιν?

semel in anno parere, quum cicures ob nutrimentum pinguius largiusque bis pariant. eaedem ubi pingues factae sunt, setas ac pilos amittunt. quippe cum pinguescunt, et iam magis carnosae redduntur; carnosae rectius etiam digerunt; quae digerunt commode, parum excrementi habent; de excrementis autem setae ac pili existunt.

Cur aper et equus spumam circa os gerant, haec causa est. calor et motus ex aequo res humidas efficiunt albas. vide quid mari accidat: cum a ventis commovetur, albescit. inspice ollas, quibus ignis subiicitur. intuere humorem, qui est in aëre: agitatus a ventis hiberno tempore colorem album accipit; postquam albuit, ob frigus, quod est in aëre, congelatur. ita nix delabitur: nam ea nihil est aliud quam aqua semicongelata. sic igitur et in apro ac equo humores minutas in bullas redacti per calorem et motum in spumam convertuntur.

Quodsi rationem eius quoque rei nosse desideras, quamobrem canes soli aestivo tempore sint rabiosi, luculente id ipsum heic tibi declarabo. rabies infestat canes propter siccae temperaturae incrementum. sunt enim a natura sicci, eaque siccitas per aestus augetur. itaque humores in eis incalescentes et paulatim exsiccati velut inflammantur. hinc fit ut nimiae siccitatis causa in rabiem agantur,

οἱ φρενητιῶντες. ὅθεν καὶ τὸ σίελον αὐτοῖς ἰῶδες γίνεται καὶ ξηρότερον. ὅτι δὲ ἐκπυροῦνται, δῆλον ἐκ τοῦ ἀσθμαίνειν πυκνῶς καὶ πυρώδη τὰ ὄμματα ἔχειν καὶ ἠνεῳγμένον τὸ στόμα πρὸς ἔμψυξιν ἀέρος. λυττῶσι δὲ οὐ πάντες οἱ κύνες, ἀλλ' ὅσοιπερ ἐν τούτοις ξηρότεροι. τινὲς δέ φασι καὶ τὸν C κύνα τὸ ἄστρον συμβάλλεσθαι κατά τινα ἀπόρροιαν τούτοις πρὸς τὴν λύσσαν. λυττήσαντες, καθά φησι Παῦλος ὁ Σινόπτης, καὶ βρῶσιν καὶ πόσιν ἀποστρέφονται, σίελον δὲ καὶ δαψιλὲς καὶ ἀφρῶδες ἀφιᾶσι, καὶ ἄφωνοι τοὐπίπαν εἰσίν, πρὸς δὲ καὶ ἄφρονες, ὡς μηδὲ τοὺς οἰκείους γνωρίζειν. ἐφορμῶσι δὲ κατὰ παντὸς χωρὶς ὑλακῆς καὶ δάκνουσι, καὶ δάκνοντες οὐδὲν ὀχληρὸν παραχρῆμα φέρουσι, πλὴν ὅσον ὀδύνην τὴν ἐκ τοῦ τραύματος. ὕστερον δὲ πάθος ἐμποιοῦσι τὸ καλούμενον ὑδροφόβιον· φεύγουσι γὰρ τὸ ὕδωρ οἱ λυσσόδηκτοι καὶ ὁρῶντες αὐτὸ καὶ προσφερόμενοι. ἔνιοι δὲ αὐτῶν καὶ D ὥσπερ κύνες ὑλακτοῦσι καὶ δάκνουσιν, ἐπιόντες, καὶ δάκνοντες αἴτιοι τοῦ αὐτοῦ πάθους κατέστησαν. ἡ δὲ τῶν συμπτωμάτων αἰτία τῶν μὲν ἄλλων εὔδηλος· κατειληφὼς γὰρ ἰὸς τὰ μόρια πάντα καὶ αὐτὸν τὸν ἐγκέφαλον τοιαῦτα φέρει συμπτώματα. τοῦ δὲ φοβεῖσθαι τὸ ὕδωρ τινὲς μὲν ἔφησαν διὰ τὴν ἄμετρον γίνεσθαι ξηρότητα, οἷα παντελῶς ἠλλοτριωμένης

7. σινώπης V, συνόπτης Labbeus.

perinde atque illi qui exivere de potestate. quo fit ut et salivam sicciorem et venenatam habeant. et inflammari eos vel inde patet, quod frequentius anhelant, oculos habent flammeos et os apertum propter aëris refrigerationem. nec rabies haec canes omnes vexat, sed eos qui sicciores sunt. nonnulli volunt sidus illud, quod canem dicimus, nonnihil quasi defluxu quodam ad horum insaniam conferre. caeterum postquam hac rabie correpti sunt; quemadmodum Paulus Sinopensis ait, tam cibum quam potum aversantur. simul largam spumeamque salivam emittunt, et in universum muti sunt, ac tantopere desipiunt ut ne familiares quidem agnoscant, sed in quosvis absque latratu irruant et quosvis mordeant. hic morsus non continuo quicquam secum adfert aegritudinis aut molestiae, praeter eum qui ex ipsa re sentitur dolorem. verum deinceps morbus accedit, quem hydrophobium, ab aquae metu, vocant. nam qui a canibus rabiosis morsi sunt, aquam reformidant, sive illam intueantur sive propius accedant. nonnulli etiam canum more latrant et alios aggressi mordent, quo morsu malum ipsum propagant. caeterum quae reliquorum symptomatum causa sit patet. nam cum venenum omnia membra et ipsum adeo cerebrum occupavit, huiusmodi symptomata secum adfert. at eius rei, quod aquam metuant, causam aliqui nimiam ad siccitatem referunt, quasi prorsus ab humore sint abalienati. Rufus autem per-

τῆς ὑγρᾶς οὐσίας· ὁ δέ γε Ῥοῦφος μελαγχολίας αὐτοῖς εἶ-
δος τὸ τοιοῦτον ἀπεφήνατο γίνεσθαι, τοῦ ἰοῦ τὸν χυμὸν
ἐκεῖνον μιμησαμένου καθ' ὃν ἄλλα πεφόβηνται. καὶ τί χρὴ
P. 64 πολλὰ λέγειν; ὃν γὰρ τρόπον ἐπὶ τῶν μελαγχολικῶν οἱ μὲν
ἄλογα ζῶα δοκοῦσιν εἶναι κἀντεῦθεν τὰς ἐκείνων μιμοῦνται
φωνάς, οἱ δὲ σκεύη δοκοῦσιν εἶναι ὀστράκινα κἂν τούτου κα-
τεαγῆναι καὶ πάνυ δειλαίνονται, ἕτεροι τὸν Ἄτλαντα νομί-
ζουσιν ἐπάνω πίπτειν αὐτῶν καὶ διὰ τοῦτο μέγα βοᾶν ἀναγ-
κάζονται, οὕτω καὶ ἐπὶ τῶν λυσσοδήκτων ἔστιν ἰδεῖν. ὁ γὰρ
τοῦ κυνὸς ἰός, καθάπερ τις χυμὸς μοχθηρός, τὸν ἐγκέφαλον
αὐτῶν κατασχὼν φοβεῖσθαι ποιεῖ τὸ ὕδωρ αὐτούς, φοβουμέ-
νους δὲ τὸν δακόντα κύνα φαντάζεσθαι, καὶ οὕτω σπᾶσθαι
καὶ τελευτᾶν. ταύτῃ τοι καὶ σοφόν τινα λυσσόδηκτον εἰσελ-
θεῖν ἐν βαλανείῳ λέγουσι, καὶ ἰδόντα τὸν κύνα ἐν τῇ λεκάνῃ
B καὶ μὴ καταπτοηθέντα εἰπεῖν „τί κυνὶ κοινόν ἐστι καὶ βαλα-
νείῳ;" καὶ περὶ μὲν τούτων οὕτως.

Ἡ δέ γε ἄρκτος σάρκα τίκτει μήτε τύπον μήτε μορφὴν
V. 50 ἔχουσαν, τῷ δὲ στόματι λείχουσα ἄρθρα ἀποτελεῖ. ἀλλὰ
καὶ οἱ σκύμνοι αὐτῆς οὐ θηλάζουσι, μυζῶντες δὲ τοὺς πόδας
αὐτῶν ἐντεῦθεν αὐξάνουσι. τίκτει δὲ πρὸ τοῦ καιροῦ, ἵνα
τῷ ἄρρενι συνέρχηται. ἀλλὰ καὶ ἐν τῷ τίκτειν κινδυνεύει ἡ
ἄρκτος. ἐν δὲ νυκτὶ ὠδίνουσα προσέχει τῷ τῆς ἄρκτου ἄστρῳ,

17. Ἡ] Ὁ P.

hibet speciem melancholiae quandam eis accidere, nimirum veneno humorem illum imitante ob quem alii alia metuunt. et quid multis heic verbis opus est? quemadmodum enim in melancholicis usuvenire videmus ut alii quidem animalia bruta sibi videantur esse ac propterea voces eorum imitentur, alii se vasa esse testacea credant et iccirco vehementer metuant ne confringantur, alii supra se delabi Atlantem existiment ideoque mirum in modum clament, ita consimile quippiam cernere licet etiam iis accidere quos canes rabiosi momorderunt. quippe venenum canis, ceu noxius humor, eorum occupato cerebro facit ut aquam metuant; in quo metu canis, a quo morsi sunt, imaginatio subit; eoque pacto ringuntur et tandem cum morte vitam commutant. perhibetur quidem aliquando philosophus quispiam, qui esset admorsus a cane rabioso, balneum ingressus, conspecto in pelvi cane nihil exterritus dixisse „quid cani commune cum balneo? sed de his satis.

Ursus carnem gignit, quae neque figuram neque formam habet. verum deinceps ore lambens articulos in ea efficit. eiusdem catuli non lactantur uberibus, sed sugendo pedes suos augescunt. et parit ante tempus ursa, quo cum mare congrediatur. ipso in partu periculo non caret, ideoque noctu parturiens Ursae sidus inspectando ob-

καὶ οὕτω τίκτει εὐχερῶς. πολυφάγος μὲν ἄρκτος ἐστίν, ἐν C δὲ χειμῶνι παρακαθημένη τῷ φωλεῷ καὶ πεινῶσα λείχει τὸν πόδα καὶ τρέφεται. μόνη δὲ αὕτη ἐν γῇ πάσχει τοῦτο, καὶ ἐν θαλάσσῃ ὁ πολύπους.

Ἀλλὰ καὶ τῶν ὀνάγρων αἱ νομάδες ἐπειδὰν τέκωσιν ἄρρενα, τέμνουσι τὰ αἰδοῖα αὐτῶν, ἵνα μὴ σπερματίζωσι. κατάξηρον δὲ ζῶον ὁ ὄναγρος, ἐφ' ᾧ καὶ διψαλέον· κατὰ γὰρ τοῦτο καὶ ὁ Δαβὶδ περὶ ὑδάτων διεξιὼν οὕτω φησί „προσδέξονται ὄναγροι εἰς δίψαν αὐτῶν."

Λέγεται δὲ καὶ τὴν ἀλώπεκα βρωμάτων ἀποροῦσαν ὑπτίαν πίπτειν ὡσεὶ νεκρὰν καὶ φυσᾶσθαι, κἀντεῦθεν διογκουμένην αὐτὴν ὁρῶντα τὰ πετεινὰ ἐπιβαίνουσιν αὐτῆς καὶ ὡσεὶ νεκρᾶς D ἅπτονται. ἐκπηδήσασα οὖν αἴφνης ἡ νεκρὰ συλλαμβάνει καὶ κατεσθίει αὐτά.

Ἀλλὰ αἴγαγρος ταχύτατόν ἐστι ζῶον καὶ παρὰ τοῖς κρημνοῖς διάγον, διωκόμενον δὲ ἅλλεται κατὰ κεράτων, καὶ οὐ διαθλᾶται.

Γίνωσκε δὲ ὅτι ἑκάστῳ τῶν ζώων, καθὰ δὴ καὶ ὁ Νεμέσιός φησι, φυσικὴν οὐ λογικὴν ἐνέθηκε σύνεσιν ὁ θεός. τισὶ δὲ καὶ πανουργίας ἐνέβαλεν ὑπὲρ τοῦ καὶ τὰς ἐνεστώσας ἐπιβουλὰς ἐκκλίνειν καὶ τὰς μελλούσας προφυλάττεσθαι. ὅτι δὲ φυσικῶς τὰ τοιαῦτα καὶ οὐ λογικῶς ἐνεργοῦσι τὰ ζῶα,

19. λαθικὴν V, διδακτὴν, ut videtur, Leunclavius.

servat, eoque pacto difficultatem partus mitigat. vorax est admodum, cumque per hiemem in lustro suo sedet ac esurit, pedem lambendo se nutrit; quod quidem ei soli peculiare est inter animalia terrestria, sicut inter marina polypo.

Cum onagri mares gignunt, exsecant eorum virilia, ne procreent. et animal hoc siccissimum est, ideoque sitibundum. qua de causa Davides (Psalm. 103 11), de aquis disserens, ait „sument eas onagri sitis suae restinguendae causa."

Vulpeculam nutrimenti laborantem inopia supinam iacere tradunt, quasi si foret mortua, simulque anhelitum retinere. quamobrem hac ipsa de causa distentam conspicatae volucres, in eam se demittunt velutique mortuam attingunt. tum illa subito exsiliens, quae mortua credebatur, aves comprehendit atque devorat.

Capra silvestris velocissimum animal est et in rupibus degit. quodsi quis hanc venatorum persequatur, in cornua desilit nec detrimenti quicquam accipit.

Scias autem singulis animalibus, quemadmodum et Nemesius scripsit, indidisse deum prudentiam quandam naturalem, non discendo parabilem. nonnullis versutias etiam dedit, quibus et praesentes insidias declinare et praecavere futuras possint. quarum rerum effectio-

δῆλον ἐκ τοῦ κατ' εἶδος ἕκαστον ζῶον ὁμοίως ταῦτα ποιεῖν,
P. 65 καὶ μὴ διαλλάττειν αὐτῶν ἐν τῷ πλήθει τὰς ἐνεργείας, ἀλ-
λὰ καὶ κατὰ μίαν ὁρμὴν ὅλον τὸ εἶδος κινεῖσθαι· πᾶς γὰρ
λαγωὸς ὁμοίως τεχνάζεται, καὶ πᾶς λύκος ὁμοίως πανουργεῖ,
καὶ πᾶς πίθηκος ὁμοίως μιμεῖται. ὅπερ οὐκ ἔστιν ἐπ' ἀν-
θρώπων· μυρίαι γὰρ τῶν ἀνθρωπίνων πράξεων αἱ ὁδοί.
ἐλεύθερον γάρ τι καὶ αὐτεξούσιον τὸ λογικόν, ὅθεν οὐχ ἓν
καὶ τὸ αὐτὸ πᾶσιν ἔργον ἀνθρώποις, ὡς ἑκάστῳ εἴδει τῶν
B ἀλόγων ζώων. φύσει γὰρ μόνῃ ταῦτα κινεῖται, τὰ δὲ φύ-
σει κινούμενα ὁμοίως παρὰ πᾶσιν ἐστίν· αἱ δὲ λογικαὶ πρά-
ξεις ἄλλαι παρ' ἄλλοις, καὶ οὐκ ἐξ ἀνάγκης αἱ αὐταὶ παρὰ
πᾶσι. τὸ μέντοι πρόβατον διὰ τοῦτο λέγεται καὶ παρὰ τῇ
γραφῇ ἄκακον, ὅτι σύνεσιν ἰδίαν οὐκ ἔχει ὥστε νομὰς εὑρί-
σκειν καὶ ποτόν, ἂν μή τις ὁ ποιμαίνων αὐτά. πολλὰ δὲ
τῶν ζώων καὶ συνέσεως ἀνθρωπίνης ἐγγύς ἐστι. καὶ ὅρα τὸν
χερσαῖον ἐχῖνον δύο κατασκευάζοντα ἐπὶ τοῦ φωλεοῦ ἀνα-
C πνοάς, πρός τε τὸν νότον ἀντιφραττούσας καὶ τὸν βορρᾶν. εἰ
καὶ φυσικῷ λόγῳ πρὸς τὰ τοιαῦτα τῶν ἀλόγων γένη κεκίνη-
ται. οὐδὲ γὰρ αὐτεξούσια τὰ ζῶα, καθὰ δὴ καὶ ὁ Δαμα-
σκηνὸς Ἰωάννης φησίν, ὅτι μηδὲ λογικά. λογικῇ γὰρ πάσῃ

17. ἀντιπραττούσας P.

nes in brutis a natura, non ratione proficisci, vel inde patet, quod specierum quarumvis animalia consimiliter haec faciant, nec in tanta eorum multitudine operationum sit diversitas. eodem modo nimirum et instituto species universa movetur. sollertia lepores omnes consimili utuntur, itemque lupi consimili vafritie, consimili denique modo quilibet simius imitari solet; id quod in hominibus locum non habet. sunt enim humanarum actionum rationes atque viae propemodum infinitae. quippe rationis particeps natura libera suique iuris et spontis est. quo fit ut homines universi eodem opere non occupentur nec idem agant, quemadmodum in singulis brutorum speciebus usuvenire videmus. nimirum haec a sola natura moventur: quae autem a natura moventur, consimilia sunt apud omnes. e diverso quae a ratione proficiscuntur actiones, aliae sunt apud alios, neque necessario apud omnes eaedem. ovis iccirco sacris etiam in litteris pecus simplex minimeque subdolum dicitur, quod prudentiam quandam peculiarem non habeat, cuius adminiculo reperire pastum potumque possit, si nullum habeat qui eam saginet. rursus alia quaedam animalia non pauca prope etiam humana absunt a prudentia. quo in genere mihi terrestrem echinum, quem erinaceum dicimus, fenestras hauriendi aëris causa suis in latebris geminas molientem adspice, quarum altera boreae, austri altera flatus obstruat, tametsi ad huiusmodi machinationes, ut caetera quoque animalia bruta, solo naturae ductu feratur. nec enim bruta suo quo-

φύσει καὶ τὸ αὐτεξούσιον πάντως ἐμπέφυκε θέλημα· εἰς τί γὰρ ἕξει τὸ λογικόν, μὴ αὐτεξουσίως λογιζομένη; τὴν μὲν γὰρ φυσικὴν ὄρεξιν καὶ τοῖς ἀλόγοις ζώοις ὁ δημιουργὸς ἐνέσπειρε, πρὸς σύστασιν τῆς οἰκείας φύσεως ἄγουσαν ἠναγκασμένως αὐτά. λόγου γὰρ ἀμοιροῦντα οὐ δύνανται ἄγειν, ἀλλ' V. 51
ἄγονται ὑπὸ τῆς φυσικῆς ὀρέξεως, ὅτε ἅμα ἡ ὄρεξις γένηται, εὐθέως καὶ ἡ πρὸς τὴν πρᾶξιν ὁρμή. οὐ γὰρ λόγῳ ἢ D
βουλῇ ἢ σκέψει ἢ κρίσει κέχρηνται. ὅθεν οὔτε ὡς ἀρετὴν μετιόντα ἐπαινοῦνται καὶ μακαρίζονται, οὔτε ὡς κακίαν πράττοντα κολάζονται. ἡ δὲ λογικὴ φύσις ἔχει μὲν τὴν φυσικὴν ὄρεξιν κινουμένην, ὑπὸ δὲ τοῦ λόγου ἀγομένην τε καὶ ῥυθμιζομένην. τοῦ γὰρ λόγου τὸ προτέρημα ἡ αὐτεξούσιός ἐστι θέλησις, ἣν δὴ φυσικὴν ἐν τῷ λογικῷ φαμὲν κίνησιν. διὸ καὶ ὡς ἀρετὴν μετιοῦσα ἐπαινεῖται καὶ μακαρίζεται, καὶ ὡς κακίαν μετιοῦσα κολάζεται.

Εἰ δὲ καὶ τοῦτο ζητεῖς, τίνος ἕνεκεν αὐτά τε τὰ ζῶα P. 66
καὶ ὁ ἄνθρωπος πόδας ἀρτίους ἔχουσι, γίνωσκε ὅτι διὰ τὸ μὴ ἀτάκτως ἅλλεσθαι. οὕτω καὶ γὰρ διὰ μὲν τοῦ ἑνὸς ἱστάμενος ὁ ἄνθρωπος, ὥσπερ πάλιν τὰ ζῶα διὰ δύο ποδῶν, ἠρέμα διὰ τῶν ἑτέρων ποιοῦνται τὴν βάδισιν.

dam arbitratu agunt, sicut et Iohannes Damascenus tradit, cum a ratione destituantur, cuius participes naturae voluntatem habent liberam naturaliter. nam cur, obsecro, vi rationis praeditae forent, si pro voluntatis arbitrio ratione non uterentur? quippe naturalem appetitum opifex rerum etiam brutis animalibus indidit, qui ad naturae suae conservationem ea necessario ducat. quae enim expertia sunt rationis ducere non possunt, sed ab naturali appetitione ducuntur. quo fit ut cum appetitus existit, mox et impetus ad agendum cum eo coniunctus sit. nec enim vel ratione vel consilio vel consideratione vel iudicio utuntur. qua ipsa de causa nec ut virtutem colentia laudantur et felicia praedicantur, nec ut obnoxia vitiis puniuntur. at natura particeps rationis, habet illa quidem appetitum naturalem, quo impellitur, sed qui a ratione ducitur apteque dirigitur. nihil enim ratio praestantius habet quam quod voluntate libera sit praedita, quam in natura rationis participe motionem naturalem dicimus. iccirco virtutem colens laudatur ac pro beata ducitur, et consimiliter obnoxia vitiis punitur.

Quodsi etiam scire cupis quamobrem tam animalia quam homo pari numero pedes habeant, id propterea factum cognoscito, ne inordinate confuseque exsilirent. nam hoc modo fit, ut dum homo uni, animalia reliqua duobus pedibus insistunt, interim per alios paulatim progressio fiat. in nonnullis animalibus, dilecte fili, consuetudo fit reapse natura.

Ὄντως, ἀγαπητέ, τὸ ἔθος φύσις ἐπί τισι γίνεται. ὅρα γὰρ ὅτι τὰ Λιβυκὰ θηρία τοῦ μὲν θέρους οὐ πίνει, ὅτε μάλιστα δίψα γίνεται, χειμῶνος δὲ πίνουσιν, ὅταν ἧττον διψῶσι. τοῦτο δὲ γίνεται πάντως διὰ τὸ μὴ γίνεσθαι ὕδατα θέρους ἐν τῇ Λιβύῃ. τοῦ δὲ χειμῶνος διὰ τὸ γίνεσθαι πί-
B νει. ὃ γοῦν ἐκεῖσε εἴθισται, τοῦτο καὶ ἐν ἄλλοις τόποις τὰ ζῶα ταῦτα παραγενόμενα σώζει τὸ ἔθος. καὶ περὶ μὲν τούτων οὕτως.

Μετὰ δὲ ταῦτα, ἤγουν μετὰ τὴν τῶν χερσαίων παραγωγήν, πλάττει τὸν ἄνθρωπον ὁ θεός, καὶ τίθησιν αὐτὸν ἐν τῷ παραδείσῳ. ἀλλὰ κἀνταῦθα πρόσχες, ἀγαπητέ. εἰ γὰρ καὶ λέγουσί τινες ὅτι μετὰ τὴν ἑβδόμην ἔκτισε τὸν παράδεισον ὁ θεός, τῇ Μωσαϊκῇ δῆθεν ἱστορίᾳ ἑπόμενοι, ἀλλὰ πεπλάνηνται προφανῶς ἅτε δὴ παροδευτικῶς ἐπερχόμενοι καὶ
C οὐκ ἐρευνητικῶς τὴν γραφήν. καὶ ἄκουε τί φησιν ὁ θεόπτης Μωσῆς „καὶ συνετέλεσεν ὁ θεὸς πάντα ὅσα ἐποίησεν ἐν τῇ ἡμέρᾳ τῇ ἕκτῃ· ἐν δὲ τῇ ἑβδόμῃ κατέπαυσεν ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ ὧν ἤρξατο ποιεῖν." οὐκοῦν εἰ μετὰ τὴν ἑβδόμην οὐδὲν ἀπὸ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παρήγαγε, πῶς λοιπὸν ἔκτισε μετὰ τὴν ἑβδόμην τὸν παράδεισον; ἔοικε μὲν ἡ γραφὴ λέγειν ὅτι μετὰ τὴν ἑβδόμην ἔκτισται ὁ παράδεισος· ἀλλ' οὐκ ἔχει καὶ τὰ τοῦ σκοποῦ, καθὼς ὑποπτεύουσι πολ-

Nam animalia mihi, quaeso, Libyca intuere, quae per aestatem, cum maxime sitiunt, a potu abstinent, per hiemem, cum sitiunt minus, bibunt. id eam ob causam omnino accidit, quod Libya per aestatem aquae laboret inopia. quapropter hiberno tempore aquam hauriunt, cum eius copiam habent. cumque sic iis in locis adsueverint, etiam ad alias regiones delata morem suum retinent. ac de his quidem hactenus.

Caeterum post animalium terrestrium creationem deus hominem fingit ac in paradiso collocat. quo iam in loco velim animum mihi, delecte fili, advertas. quamvis enim volunt aliqui deum post septimum diem paradisum condidisse, profitentes se Mosaicae historiae vestigiis inhaerere, manifesto tamen errant, ut qui transitorie, non adhibita pervestigatione conveniente litteras sacras perlegant. ac vide mihi quid spectator ille dei Moses dicat. „absolvit deus," inquit (Gen. 2 2), „die sexto cuncta quae fecerat; ac die septimo ab omnibus operibus, quae efficere coeperat, quievit." itaque si post diem septimum nihil omnino, quod antea non exstitisset, in ortum produxit, qui post diem septimum paradisum condidit? videntur quidem litterae sacrae hoc modo loqui ac si post diem septimum paradisus conditus fuerit: verum alius scopus est earum, de plurium quidem

λοὶ καὶ πείθου τῷ χρυσορρήμονι Ἰωάννῃ ἐν τῇ εἰς τὴν ἑξαήμερον δωδεκάτῃ αὐτοῦ ὁμιλίᾳ λέγοντι „ὅτι τῶν κατὰ συντο- [D] μίαν ἱστορηθέντων ἔμπροσθεν ἀνακεφαλαίωσιν ποιεῖ ὁ Μωσῆς ὕστερον, τοιαῦτα καὶ φρονεῖν καὶ λέγειν τοὺς ἁπλουστέρους ἐποίησεν." ἄλλως τε εἰ μετὰ τὴν ἑβδόμην, ὥς φασιν, ἔκτισται ὁ παράδεισος, ἀνάγκη πᾶσα καὶ τὴν ἀπὸ τοῦ χοὸς πλάσιν τοῦ Ἀδάμ, ὥσπερ δὴ καὶ τὴν ἀπὸ πλευρᾶς τῆς Εὔας οἰκοδομήν, μετὰ τὴν ἑβδόμην εἰπεῖν γεγενῆσθαι. τίνος ἕνεκεν; ὅτι καὶ ταύτην ὕστερον ὁ Μωσῆς, ἤγουν μετὰ τὴν [V. 52] ἑβδόμην, διηγούμενος εὕρηται. πρὸ τοῦ Ἀδὰμ λοιπὸν ὁ παράδεισος. καὶ ἄκουε τί φησιν ὁ Δαμασκηνὸς Ἰωάννης ἐν τῷ περὶ παραδείσου κεφαλαίῳ αὐτοῦ. „ἐπεὶ δὲ ἔμελλεν ὁ θεὸς [P. 67] ἐξ ἀοράτου τε καὶ ὁρατῆς φύσεως πλαστουργεῖν τὸν ἄνθρωπον κατ' οἰκείαν εἰκόνα τε καὶ ὁμοίωσιν, ὥσπερ τινὰ βασιλέα ἄρχοντα πάσης τῆς γῆς καὶ τῶν ἐν αὐτῇ, προκαθίστησιν αὐτῷ οἷόν τι βασίλειον τὸν παράδεισον, ὡς ἐντεῦθεν αὐτὸν μακαρίαν καὶ πανόλβιαν ἔχειν ζωήν." πρόσεχε οὖν· ἐπειδὴ γάρ, ὡς εἴρηται, πρὸ τοῦ πλασθῆναι τὸν Ἀδὰμ καθίστησιν αὐτῷ τὸν παράδεισον, εὔδηλον πάντως ὅτι ἐν τῇ ἕκτῃ ἡμέρᾳ καὶ τοῦτον ἐφύτευσεν ὁ θεός, εἴγε καὶ μᾶλλον ἔστη μετὰ τὴν ἑβδόμην τοῦ δημιουργεῖν, ὡς ὁ χρυσοῦς τὴν γλῶτταν φησι.

sententia. Iohannes Chrysostomus audiendus est tibi, qui in oratione de sex dierum operibus XII dicit Mosem eorum, quae antea commemorasset, summam brevibus deinde complectentem, simplicioribus occasionem praebuisse ut huiusmodi opinionem arriperent atque proferrent. nam caeteroqui, si post diem septimum, ut ipsi volunt, paradisus est conditus, omnino dicamus necesse est etiam Adami de pulvere formationem, itemque structuram Evae de Adami costa, post eundem septimum diem primum factam. quamobrem istuc? quia Moses hanc quoque posterius, id est post diem septimum, narrat. proinde reliquum est paradisum ante Adamum esse conditum. et audi, obsecro, quid Iohannes Damascenus in capite quod de paradiso incripsit dicat. quia deus, inquit, hominem ex natura partim inadspectabili partim adspectabili creaturus ad imaginem similitudinemque suam erat, quasi quendam regem atque principem totius terrae ac eorum quae terra continentur, paradisum ei veluti regiam quandam praestruit, ut in eo beatam ac felicissimam vitam ageret. itaque licet animadvertere, quod cum ante formationem Adami paradisum exstruxerit, manifesto sequatur eum die sexto consitum a deo fuisse, praesertim cum multo magis a septimo die, quemadmodum idem orator aureus tradit, creare desierit.

B Φυτεύει τοίνυν ἔν τε τῇ ἕκτῃ πρὸ τοῦ Ἀδὰμ τὸν θεῖον παράδεισον κατὰ ἀνατολὰς ἐν Ἐδέμ. ἐξ ἁπάσης γὰρ τῆς γῆς, ὥσπερ φησὶ Θεοδώρητος ὁ μέγας τε Βασίλειος καὶ ὁ Δαμασκηνὸς Ἰωάννης, τόπον τινὰ κατὰ ἀνατολὰς ἐκλεξάμενος, ὀνομαζόμενον μὲν Ἐδέμ, ἐν περιόπτῳ δὲ κείμενον καὶ πάσης τῆς γῆς ὑψηλότερον, φυτεύει ἐν αὐτῷ τὸν παράδεισον, ὡς ἐντεῦθεν τρυφερὸν οἷον αὐτὸν εἶναι καὶ θαλερὸν εἰσαεί, καθά φησι Σεβηριανός· τρυφὴ γὰρ ἡ Ἐδὲμ ἑρμηνεύεται. ἐν ᾧ δὴ τιμῆσαι βουληθεὶς γεγονότα τὸν ἄνθρωπον ἔταξεν οἰκεῖν ὁ θεός· „καὶ ἔθετο" γάρ φησιν „αὐτὸν ἐν τῷ παραδείσῳ." ἀλλ'
C ἐντεῦθεν, ἀγαπητέ, καὶ τοῦτο μανθάνομεν, ὅτι ἐξ ἑτέρας μὲν ἔπλασε γῆς τὸν Ἀδάμ, μετὰ δὲ ταῦτα ἐν τῷ παραδείσῳ ἔθετο. καὶ ἄκουε τί φησιν ἡ γραφή „καὶ ἐξαπέστειλεν ὁ θεὸς τὸν Ἀδὰμ ἐκ τοῦ παραδείσου τῆς τρυφῆς, ἐργάζεσθαι τὴν γῆν ἐξ ἧς ἐλήφθη. διὰ τί δὲ καὶ τίνος ἕνεκεν ἔξω τοῦ παραδείσου πλάττει τὸν ἄνθρωπον ὁ θεός, εἶθ' οὕτως εἰσάγει αὐτὸν ἐν αὐτῷ; ὥστε μαθεῖν ἐντεῦθεν αὐτόν, ὡς ὁ χρυσορρήμων Ἰωάννης φησίν, ὅσης ἠξίωτο παρὰ θεοῦ τῆς τιμῆς, καὶ ὅση παρ' αὐτοῦ ἡ ἀπόλαυσις αὐτῷ ἐχαρίζετο. ὅρα γὰρ ὅτι καὶ οἱ ἐξ ἐλαχίστης τάξεως ἐπὶ τὴν ἄνω τε καὶ πρώτην ἀνα-
D βιβαζόμενοι οἴδασιν ἐξ ἀνάγκης τίνες πρότερον ἦσαν καὶ ὅπου κατήντησαν ὕστερον, ὃ δὴ καὶ οὐ μικρᾶς ἀγαλλιάσεως γίνεται πρόξενον.

Conserit ergo deus tempore formationem Adami praecedente divinum illum paradisum in Edem, versus orientem solem. nam de universa terra, quemadmodum et Theodoritus et Basilius ille magnus et Iohannes Damascenus aiunt, selecto quodam versus orientem loco, qui Edem appellabatur et conspicuus erat universaque reliqua terra sublimior, in eo ipso paradisum conserit, uti nimirum delicatus esset ac perpetuo floridus, quemadmodum Severianus scripsit: nam vocabulum Edem si velis interpretari, delicias significat. heic hominem conditum deus habitare voluit. etenim in paradiso, quemadmodum perscriptum sacris est in litteris, eum collocavit. hinc autem, dilecte fili, hoc etiam discimus, deum ex alia terra conditum Adamum in paradisum collocasse. qua de re quid sacris exstet in litteris, audi: „abegit," inquiunt, „deus Adamum ex paradiso deliciarum, ut terram, unde sumptus erat, coleret." quamobrem vero extra paradisum format hominem, eumque deinceps in illum introducit? ut hinc disceret, de Chrysostomi sententia, quanto ipsum honore deus dignatus esset, quantae voluptatis fruitionem concessisset. nam qui de ordine locoque infimo ad superiorem principemque transferuntur, norunt necessario qui prius fuerint et quo deinceps pervenerint. quae res non exiguam nobis laetitiam parere consuevit.

Πλάττει μὲν οὖν, ὡς εἴρηται, ταῖς ἰδίαις χερσὶ τὸν ἄνθρωπον ὁ θεός. „καὶ ἔλαβε" γάρ φησι „χοῦν ἀπὸ τῆς γῆς ὁ θεός, καὶ ἔπλασε τὸν ἄνθρωπον, καὶ ἐνεφύσησεν εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς· καὶ ἐγένετο ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν." εὐλόγως οὖν τὰ μὲν χερσαῖα πάντα θνητὰ τυγχάνει· ἐξῆλθε γάρ, φησιν, ἀπὸ τῆς γῆς σὺν αὐτῇ τῇ ψυχῇ· „ἐξαγαγέτω" γάρ φησιν „ἡ γῆ ψυχὴν ζῶσαν." ὁ δὲ ἄνθρωπος μόνος ἀθανασίας μετέσχηκεν, ὅτι διὰ τοῦ θείου ἐμφυσήματος καὶ οὐκ ἀπὸ γῆς ἔλαβε τὴν ψυχήν· „ἐνεφύσησε" γάρ φησιν „εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς," αὐτὴν τὴν νοερὰν δηλονότι ψυχήν. οὐδὲ γὰρ ἀπὸ γῆς αὕτη. P. 68 καὶ πείθου τῷ θεολόγῳ Γρηγορίῳ περὶ τῆς τοῦ ἀνθρώπου πλάσεως οὕτως κατὰ ῥῆμα διεξιόντι „καὶ παρὰ μὲν τῆς ὕλης λαβὼν τὸ σῶμα ἤδη προϋποστάσης, παρ' ἑαυτοῦ δὲ πνοὴν ἐνθείς, ὃ δὴ νοερὰν ψυχὴν θεοῦ οἶδεν ὁ λόγος, παράγει τὸν ἄνθρωπον." πρόσεχε οὖν· ἐπειδὴ γὰρ ἡ νοερὰ ψυχὴ δι' ἐμφυσήματος τῷ ἀνθρώπῳ ἐντέθειται παρὰ θεοῦ, διὰ τοῦτο καὶ ἀθάνατός ἐστιν. ἡ δὲ τῶν ἀλόγων ζώων ψυχὴ ἀπὸ γῆς V. 53 ἐξελθοῦσα κατὰ τὴν θείαν φωνὴν γεώδης ἐστί, διὰ τοῦτο καὶ θνητή. καὶ περὶ μὲν τούτων οὕτως.

Ἀναγκαῖον δὲ εἰδέναι σε, ἀγαπητέ, καὶ τί φησιν, ἐπὶ

21. δὲ deerat.

Fingit ergo deus hominem propriis manibus, ut sacrae litterae loquuntur (Gen. 2 7): „sumpto de terra pulvere deus hominem formavit, et in eius faciem spiritum vitalem inspiravit, ex quo animans effectus est." ideoque non abs re animalia cuncta terrestria morti sunt obnoxia. quippe de terra orta sunt ipsa cum anima, quemadmodum sacris in litteris est dixisse deum „edat terra vitalem animam." solus autem homo factus est immortalitatis ex eo particeps, quod animam per adflatum et inspirationem divinam, non e terra accepit. nam in faciem eius spiritum vitalem inspiravit, nimirum ipsam animam intelligendi facultate praeditam. nec enim dici potest hanc de terra exstitisse. persuadebit hoc tibi facile Gregorius ille theologus, qui de hominis formatione sic ad verbum disserit „cum de materie crassa, quae iam existebat, corpus sumpsisset, eique spiritum ex semetipso indidisset, cuius appellatione nobis anima intelligentiae vi praedita et imago dei venit, hominem in ortum producit." iccirco velim animadvertas, quod cum anima intelligentiae vi ornata per inspirationem homini a deo fuerit insita, illa ipsa etiam de causa immortalis sit. at brutorum anima iussu divino exorta de humo terrestris est ideoque morti obnoxia. et de his quidem hoc modo dictum esto.

Scire autem debes quid hac in parte Chrysostomus quoque tra-

φύσησε λέξιν καὶ πάνυ θαυμασίως παρείληφε, δι' αὐτῆς
ὑπεμφαίνων, ὡς εἴρηται, τὸ πνεῦμα τὸ ἅγιον, καὶ ὅτι τῆς
τοῦ παναγίου πνεύματος χάριτος, ὡς ὁ θειότατός φησι Κύ-
ριλλος, μέτοχος ὁ ἄνθρωπος τηνικαῦτα παρήγετο, κἂν ἡ πα-
ράβασις ὕστερον τὴν τοιαύτην ἠμαύρωσε δωρεὰν καὶ συνέ-
χεεν. ταύτῃ τοι καὶ ἀναστὰς ὁ κύριος ἐκ νεκρῶν ἐνεφύσησε
τοῖς μαθηταῖς καὶ εἶπε „λάβετε πνεῦμα ἅγιον.“ οὐδὲ γὰρ
ἠνέσχετο καὶ αὖθις ἡμᾶς ἀποδεῖξαι τοῦ παναγίου μετέχοντας
πνεύματος. ὃ δὴ καὶ τήμερον ἐμφυσᾷ τῷ βαπτιζομένῳ ὁ ἱε-
V. 54 ρεύς, ζωογονῶν ὥσπερ τὴν αὐτοῦ ψυχὴν νενεκρωμένην ἤδη
C τῷ τοῦ Ἀδὰμ παραπτώματι.

Ἀλλ' ἐπὶ τὴν ἀκολουθίαν τοῦ λόγου καὶ αὖθις ἐπανι-
τέον. ἐνεφύσησεν εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς. ἡ
μὲν οὖν ἡμετέρα καὶ ἀληθεστέρα δόξα περὶ τῆς εἰς τὸ σῶμα
τῆς ψυχῆς ἑνώσεως ἁπλῆ τίς ἐστι καὶ σαφής. τὸ μὲν γὰρ
σῶμα ἐκ χοός, ἡ δὲ ψυχὴ ἀμέσως ἐκ θεοῦ παράγεται. κἀν-
τεῦθεν καὶ ἀλλήλων συναπτομένων ζῶον ἓν σύνθετον γίνεται,
καὶ τοῦτό ἐστιν ἡ καθ' ὑπόστασιν ἕνωσις, ἡ ἀμφύπαρκτος
τῶν ἑτερουσιῶν κατ' αὐτὸν συνδρομή. ὃ δὴ καὶ θαυμάζων
ὁ τὴν γλῶτταν χρυσοῦς ἔλεγε „πῶς ἐν μήτρᾳ ὁ ἄνθρωπος
διαπλάττεται; καὶ πῶς ἀθρόον ἡ θεοείκελος ψυχὴ τῷ σώμα-
D τι συμπαρυφίσταται;“ οἱ δέ γε σοφίᾳ τῇ ἔξωθεν ἐγκαυχώμε-

8. καὶ] μὴ καὶ?

est, per illud ipsum, uti diximus, spiritum sanctum commonstrans atque denotans, quodque gratiae spiritus sancti particeps homo tum conderetur, quemadmodum Cyrillus loquitur, tametsi deinceps mandati divini transgressio donum hoc obscuravit atque confudit. hanc ob causam dominus, cum ex mortuis resurrexisset, rursum discipulos adflavit, et dixit „accipite spiritum sanctum.“ nec enim ferre poterat ut non de integro sancti spiritus participes esse declararemur, quem etiam hodie sacerdos ei qui baptizatur adflat, quasi vitae restituens eius animam ex Adami transgressione mortuam.

Verum enimvero ad seriem orationis institutam revertamur. nostra, inquam, eaque verior opinio de corporis cum anima coniunctione simplex est atque perspicua. corpus enim ex pulvere, anima autem citra medium ullum a deo producitur. ideoque dicimus his inter se copulatis, animal unum idemque compositum exstitisse; quae quidem est illa personalis unitio, nimirum existens utrinque naturarum diversarum in unum concursus. quam rem Chrysostomus admirans „quonam,“ inquit, „pacto in alvo materna formatur homo? qui subito anima divinam similitudinem referens existit una cum corpore?“ qui extraria semet efferunt sapientia, cum formatorem hominis ignoraverint, etiam necessario in ipsa eius formatione aberra-

ναι ἐπειδὴ τὸν τοῦ ἀνθρώπου πλάστην ἠγνόησαν, καὶ περὶ τὴν πλάσιν αὐτὴν ἐξ ἀνάγκης ἐσφάλησαν. ἀπὸ γῆς μὲν οὖν, ὡς εἴρηται, ὁ χοῦς, ἐκ θεοῦ δὲ ἡ ψυχή. καὶ τοῦτό ἐστιν ὅ φησιν ἡ γραφὴ „καὶ ἐνεφύσησεν εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς, καὶ ἐγένετο ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν." πρόσεχε οὖν. εὔδηλον γὰρ ἐντεῦθεν ὅτι μία τίς ἐστιν ἡ ψυχὴ δυνάμεις ἔχουσα διαφόρους. ὅθεν καὶ διὰ παντὸς μὲν ἡ δίχη τοῦ σώματος, ἑκάστου δὲ μορίου καταλλήλως ἐφάπτεται. αὐτίκα γὰρ τὸ μὲν θυμικὸν αὐτῆς ἐν τῇ καρδίᾳ λέγουσι ποιεῖσθαι τὴν οἴκησιν, τὸ δὲ ἐπιθυμητικὸν ὁμοίως ἐν τῷ ἥπατι. ἡ δὲ λογικὴ αὐτῆς δύναμις αὐτοῦ καθαπτομένη τοῦ P. 70 ἐγκεφάλου δι' αὐτοῦ τοῖς πᾶσιν ἐπιλάμπει καὶ δείκνυται. καί τινες μέν, ὧν εἷς ἐστὶ καὶ Ἀπολλινάριος ὁ τῆς Λαοδικείας ἐπίσκοπος, δύο δοξάζουσιν ἐπὶ τοῦ ἀνθρώπου ψυχάς. καθ' ἑαυτὴν γὰρ εἶναι λέγουσι τὴν ἀλογίαν, αὐτὸ δηλαδὴ τὸ ἀλογώτερον μέρος τῆς ψυχῆς ἡμῶν, ὡς ἄλογον ψυχὴν οὖσαν καὶ οὐ μέρος τῆς λογικῆς, πρῶτον μὲν ὅτι καὶ καθ' ἑαυτὴν ἐν τοῖς ἀλόγοις ζώοις εὑρίσκεται, ἐξ οὗ δῆλον ὅτι τελεία τίς ἐστι καὶ οὐ μέρος ἄλλης, εἶθ' ὅτι τῶν ἀτοπωτάτων ἐστὶ τῆς λογικῆς ψυχῆς μέρος εἶναι τὸ ἄλογον. ἀλλ' οὗτοι μὲν οὕτως δύο δοξάζουσιν ἐπὶ τοῦ ἀνθρώπου ψυχάς, ἐλέγχονται δὲ τῇ λεγούσῃ θείᾳ γραφῇ „καὶ ἐγένετο ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶ- B

7. ἡ δίχη] διήκει?

Praeterea quaesitum a nonnullis est num hae potestates intellectiles ante coeli terraeque creationem conditae fuerint, an postquam illa iam facta erant. ac Theodoritus quidem cum Gennadio mundum hunc sub oculos cadentem productum esse in ortum ante naturas illas inadspectabiles adserit. nam quia certis circumscripti limitibus sunt angeli, conveniebat omnino ut locus aliquis existeret quo continerentur. verum reliqui patres hoc nequaquam admittere videntur. quid magnus ille Basilius in libro suo de primorum sex dierum operibus dicat, audi. „erat antiquior mundi ortu condicio quaedam et status, ultramundanis illis potestatibus conveniens. in eo rerum opifex quaedam condidit, nimirum lucem illam intellectilem, beatitati angelorum dominum diligentium convenientem." audi etiam quid

τητι τῶν φιλούντων ἀγγέλων τὸν κύριον." ἀλλὰ καὶ τοῦ Θεολόγου Γρηγορίου λέγοντος οὕτως ἄκουε „καὶ πρῶτον μὲν ἐννοεῖ τὰς ἀγγελικὰς οὐρανίους δυνάμεις, καὶ τὸ ἐννόημα ἔργον ἦν, λόγῳ συμπληρούμενον καὶ πνεύματι τελειούμενον· δεύτερον δὲ ἐννοεῖ κόσμον ὑλικὸν καὶ ὁρώμενον." ὅμοια δὲ τούτῳ διέξεισι καὶ ὁ ἀδελφὸς αὐτοῦ Καισάριος „πᾶσαι" λέγων „ἐν φωτὶ διῆγον αἱ ἄσαρκοι τῶν ἀγγέλων χορεῖαι καὶ C πρὸ τοῦ γενέσθαι τὸν κόσμον." καὶ ὁ θειότατος Ἀναστάσιος ὁ Σιναΐτης περὶ τούτων οὕτω φησί „θεὸς ἡμῶν ὁ ἀεὶ ὢν πρὸ πάσης κτίσεως ἐννοεῖ καὶ ποιεῖ τὰς ἀγγελικὰς καὶ οὐρανίους δυνάμεις, ὡς μόνος αὐτὸς οἶδεν." ἀλλὰ καὶ ὁ Σεβῆρος, ναὶ μὴν καὶ ὁ Διόδωρος αὐτός τε ὁ μέγας Ἀμφιλόχιος πρεσβυτέραν ἀποδείκνυσι τοῦ ὁρωμένου τούτου κόσμου καὶ αἰσθητοῦ τὴν τῶν ἀοράτων φύσεων δημιουργίαν. ὁ δὲ Δαμασκηνὸς Ἰωάννης περὶ τούτου καὶ τάδε φησίν „ἕτεροι μὲν οὖν μετὰ τὸν πρῶτον οὐρανὸν τὰς ἀοράτους φασὶ παραχθῆναι δυνάμεις, ἐγὼ δὲ τῷ θεολόγῳ Γρηγορίῳ συντίθεμαι· ἔπρεπε γὰρ πρῶτον τὴν νοερὰν οὐσίαν κτισθῆναι, καὶ τότε D τὴν αἰσθητήν, καὶ οὕτως ἐξ ἀμφοτέρων τὸν ἄνθρωπον." παράγει μὲν ὁ θεὸς τὰς ἄνω δυνάμεις, ὡς εἴρηται, πρότερον, ἔπειτα δὲ τὸν οὐρανὸν καὶ τὴν γῆν, τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς. τέλος πάντων ταῖς οἰκείαις χερσὶ πλάττει

12. καὶ μὴν ναὶ P.

Gregorius ille cognomento theologus dicat. „primum deus angelicas divinasque potestates mente concipit. ea cogitatio mox opus ipsum erat, sermone completum ac spiritu perfectum. secundo mundum e materie crassa constantem et adspectabilem cogitat." huic consimilia tradit et frater eius Caesarius: „omnes" inquit „carnis expertes illi coetus angelorum prius etiam, quam mundus hic oriretur, in luce degebant." itidem Anastasius Sinaites, vir plane divinus, de his disserit: „deus ille noster" ait, „qui semper existit, ante omnia creata cogitat et condit angelicas coelestesque potestates, quemadmodum ipse solus novit." praeter hos et Severus et Diodorus et magnus ille Amphilochius inadspectabilium naturarum creationem mundum hunc sub oculos cadentem atque sensilem praecessisse tradunt. Iohannis Damasceni haec verba sunt „alii quidem post coelum illud primum inadspectabiles potestates conditas esse dicunt: verum ego Gregorio, cui theologi cognomentum est inditum, adsentior. etenim conveniebat atque par erat primo intellectilem essentiam creari ac deinde sensilem, deque his ambobus hominem. itaque supernas illas potestates initio deus in ortum producit. hinc coelum terram mare, cuncta his comprehensa condit. ad extremum manibus suis hominem for-

τὸν ἄνθρωπον, χοῦν λαβὼν ἀπὸ τῆς γῆς καὶ ἐμφυσήσας αὐτῷ, καθάπερ ἄνωθεν εἴρηται.

Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν, καὶ ἀρχέτωσαν τῶν ἰχθύων τῆς γῆς. διὰ τί πρῶτον ἐνταῦθα τῶν ἰχθύων ἐμνημόνευσε, „καὶ ἀρχέτωσαν τῶν ἰχθύων τῆς θαλάσσης, τῶν πετεινῶν τοῦ οὐρανοῦ καὶ τῶν θηρίων τῆς γῆς" εἰπών; κατὰ τὴν τάξιν τῆς δημιουργίας· πρῶτον γὰρ οἱ ἰχθύες ἐκ τῆς θαλάσσης ἐγένοντο, εἶτα τὰ
P. 81 *πετεινά, μετὰ ταῦτα δὲ ἀπὸ τῆς γῆς τὰ τετράποδα.*

V. 63 *Καὶ τοῦτο δὲ ζητοῦσιν, ἀγαπητέ, τίνος ἕνεκεν ἤγαγε τὰ ζῶα πρὸς τὸν Ἀδὰμ ὁ θεός. ἔφθασεν εἰπὼν ὅτι ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν, καὶ ἀρχέτω τῶν ἰχθύων. ἵνα γοῦν ὅπερ εἶπε δῆλον ἔργοις αὐτοῖς γένηται, διὰ τοῦτο τὰ ζῶα ἤγαγε πρὸς τὸν Ἀδὰμ ὡς ἐντεῦθεν καὶ τὴν ὑποταγὴν αὐτῶν ἐπιγνωσθῆναι (καὶ γὰρ ὡς δοῦλα παρίσταντο ἅπαντα) καὶ τὴν δοθεῖσαν ὑπὸ θεοῦ σοφίαν τῷ Ἀδὰμ δήλην γενέσθαι παντί· ἐφ' ἑκάστῳ γὰρ τῶν ζώων ὄνομα ἔθετο τῇ αὐτοῦ φύσει κατάλληλον.*

Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν, τουτέστι δώσωμεν αὐτῷ λόγου περιουσίαν, ὡς ὁ μέγας φησὶ Βασίλειος. „καὶ τὸ μὲν κατ' εἰκόνα ἐκ θεοῦ ἔλαβον, ἤγουν τὸ λογικὸν εἶναι, τὸ δὲ καθ' ὁμοίωσιν ἐμοὶ κα-

mat, cum pulverem de terra sumpsisset ac faciem eius adflasset, quemadmodum supra commemoravimus.

Faciamus, inquit (Gen. 1 26), hominem ad imaginem similitudinemque nostram, qui marinis piscibus, volucribus aëreis, bestiis terrae dominetur. enimvero cur his in verbis primo piscium facta est mentio? dominetur, ait, marinis piscibus. nimirum hoc ordini creationis est consentaneum. nam primo pisces e mari sunt orti, deinde volucres, ac secundum has bestiae de terra quadrupedes.

Sunt etiam, dilecte fili, qui scire velint quamobrem animalia condita deus ad Adamum deduxerit. antea scilicet dixerat „faciamus hominem ad imaginem nostram, qui piscibus aliisque dominetur." ut ergo reipsa, quod dixerat, eveniret, ad Adamum animalia deduxit, ut hinc eorum obedientia cognoscetur: quippe circumstabant ipsum omnia tanquam eius mancipia.

Praeterea debebat hoc pacto sapientia divinitus Adamo concessa innotescere. nam singulis animalibus tum nomen cuiusque naturae consentaneum indidit. „faciamus hominem ad imaginem similitudinemque nostram," hoc est, largiamur ei rationis abundantiam, ut magnus ille Basilius haec verba declarat. ex his quod imaginem attinet, eam accepi a deo, nimirum quod rationis sum particeps;

τέλιπεν. εἰ γὰρ ἐκεῖθεν καὶ τοῦτο ἔλαβον, ποία χάρις ἐμοί; ἔχω B τοίνυν τὸ καθ' ὁμοίωσιν, ἡνίκα χρηστὸς ἀφ' ἑαυτοῦ γίνομαι." τούτοις οὖν ἀκολούθως καὶ ὁ Δαμασκηνὸς Ἰωάννης φησὶν ὅτι καθ' ὁμοίωσιν ἐποίησεν ἡμᾶς ὁ θεὸς ὥστε ὁμοιοῦσθαι αὐτῷ κατὰ τὸ δυνατὸν ἀνθρώπῳ· ἡ ἀρετὴ γὰρ ἐκ θεοῦ μὲν ἐδόθη τῇ φύσει ἡμῶν, ἐφ' ἡμῖν δέ ἐστιν ἢ ἐμμεῖναι αὐτῇ καὶ ἀκολουθῆσαι τῷ θεῷ, ἢ ἀποφοιτῆσαι αὐτῆς καὶ ἀκολουθῆσαι τῷ διαβόλῳ. ὁ δὲ χρυσορρήμων Ἰωάννης ἐν τῇ εἰς τὴν ἑξαήμερον κα' ὁμιλίᾳ αὐτοῦ καὶ τάδε φησίν „ῇ ἡμέρᾳ ἐποίησεν ὁ θεὸς τὸν Ἀδάμ, κατ' εἰκόνα θεοῦ ἐποίησεν αὐτόν, C τουτέστιν ἀπὸ πάντων δέδωκεν τὴν ἐξουσίαν αὐτῷ. ὥσπερ γὰρ ὁ θεὸς τὴν κατὰ πάντων ἀρχὴν ἔχει, τῶν τε ὁρατῶν τῶν τε ἀοράτων, δημιουργὸς ἁπάντων τυγχάνων, οὕτω καὶ τὸ ζῶον τοῦτο τὸ λογικὸν δημιουργήσας ἐβουλήθη πάντων τῶν ὁρωμένων τὴν ἀρχὴν αὐτὸν ἔχειν. διὸ καὶ τὴν τῆς ψυχῆς οὐσίαν αὐτῷ ἐχαρίσατο, βουληθεὶς αὐτὸν καὶ ἀθάνατον εἶναι εἰς τὸ διηνεκές. ἀλλὰ καὶ παραβάντα τὴν ἐντολὴν οὐκ ἀπεστράφη τέλεον, ἀλλὰ τῆς μὲν ἀθανασίας ἀπεστέρησε, θανάτῳ δὲ καταδικάσας D ἐπὶ τῆς αὐτῆς ἀρχῆς ἀφῆκεν εἶναι. διὰ γὰρ τοῦ προσόντος αὐτῷ λόγου καὶ τήμερον πάντων κρατεῖ. εἰ γὰρ καὶ θῆρας ἀγρίους ὁρᾷς αὐθαδείᾳ χρωμένους ἔστιν ὅτε καὶ ὁρμῶντας ἀναιδῶς κατ' αὐτοῦ, μὴ θαύμαζε, ὅτι καὶ τοῦτο κατὰ θείαν

quod similitudinem, mihi reliquit. nam si hoc quoque indidem accepi, quaenam mihi concessa est gratia? quapropter dei similitudinem refero, cum ex meipso bonus fio. his consentanea Iohannes etiam Damascenus tradit, deum nos ad similitudinem condidisse, ut pro viribus humanis ei similes evadamus. quippe virtus a deo quidem concessa est naturae nostrae, verum in potestate nostra situm est ut vel in ea perseveremus et obsequamur deo, vel ab ea recedamus et obsequamur diabolo. Iohannes Chrysostomus in oratione XXI de sex dierum operibus haec verba profert: quo die deus Adamum condidit, ad imaginem dei condidit eum, hoc est, omnium potestatem ei concessit. nam sicut imperium deus habet in omnia tam adspectabilia quam inadspectabilia, tanquam universorum opifex, ita cum animal hoc rationis particeps condidisset, habere ipsum voluit imperium in res universas, quaecunque sub adspectum cadunt. iccirco et essentiam animae ipsi largitus est, uti quem immortalem prorsus esse vellet. quinetiam mandatum ipsius transgressum non omnino aversatur, sed immortalitate spoliatum et ad mortem condemnatum prope in eodem imperio relinquit. nam homo per rationem, qua praeditus est, etiam hodie cuncta in potestate sua retinet. quanquam enim feras agrestes nonnunquam pro lubitu suo videmus in hominem irruere,

πάντως οἰκονομίαν, ὡς ἐντεῦθεν τῆς ἁμαρτίας ἡμᾶς ἐπιμεμνῆσθαι καὶ ἄκοντας, δι' ἣν δεδοικέναι καὶ τρέμειν ὡς ὑπὸ χεῖρα κατεδικάσθημεν. ὅτι δὲ ἄρχων ὑπὸ θεοῦ πάντων ἐχειροτονήθη τῶν ἐπὶ γῆς ὁ ἄνθρωπος, καὶ ἀπ' αὐτοῦ τοῦ σχήματος δῆλον· ὄρθιον γάρ, ὡς ὁρᾷς, τῷ ἀνθρώπῳ τὸ σχῆμα
P. 82 καὶ πρὸς οὐρανὸν ἀνατείνεται καὶ ἄνω βλέπει. ταῦτα δὲ πάντως, ὡς ὁ Νύσσης φησί, καὶ ἀρχικὰ δοκεῖ εἶναι καὶ τὴν βασιλικὴν ἀξίαν ὑποσημαίνοντα· τὸ γὰρ μόνον ἐν τοῖς οὖσι τοιοῦτον εἶναι τὸν ἄνθρωπον, τοῖς δὲ ἄλλοις ἅπασι πρὸς τὸ κάτω νενευκέναι τὰ σώματα, σαφῶς δείκνυσι τὴν τῆς ἀξίας διαφοράν.

Πρόσεχε, ἀγαπητέ. βουλόμενος ὁ θεὸς τιμῆσαι τὸν ἄνθρωπον, φυτεύει παράδεισον πρότερον, καὶ οὕτω τίθησιν αὐτὸν ἐν αὐτῷ, εἰ καὶ Πύρρων ὁ χρονογράφος μεθ' ἡμέρας τεσσαράκοντα τὸν Ἀδὰμ εἰσελθεῖν ἐν τῷ παραδείσῳ φησίν. ἀλλ' οὐκ οἶδα ποῦ διέτριβε πρότερον ὁ Ἀδάμ, ἔξω τοῦ παραδείσου τεσσαράκοντα διάγων ἡμέρας. ὁ μὲν οὖν χρυσορ-
B ρήμων Ἰωάννης καὶ ταύτην ἐκ μέσου τὴν ὑπόνοιαν ποιεῖ, λέγων „ἐξὸν ἦν τῷ Ἀδὰμ καὶ ἔξω τοῦ παραδείσου διάγειν. ἀλλ' οὐ τῇ οἰκήσει τοῦ ἀνθρώπου ἀφώριστο, ἀλλὰ τοῖς κτή-
V. 64 νεσι καὶ πᾶσι τοῖς θηρίοις τῆς γῆς. ἦν δὲ αὐτοῖς βασιλικὸν ἐνδιαίτημα ὁ παράδεισος· διὰ τοῦτο καὶ ὁ θεὸς ἤγαγε τὰ

2. ὡς] τοὺς Leunclavius. 4. ἐπὶ] ὑπὸ P.

tamen id tantopere mirari non debemus, quando consilio divino accidit, ut hoc modo vel inviti de peccato admoneamur, cuius causa nobis hoc contigit supplicii, ut subiectos imperio nostro metuamus. rerum quidem omnium quae sunt in terris, principem constitutum esse hominem a deo, vel ipsa de forma intelligi perspicue potest. nam recta homini forma, ceu vides, data est, qua tendit ad coelum sursumque spectat. haec autem omnia, sicut ait antistes ille Nyssenus, imperio convenire videntur et regiam quandam maiestatem indicare. nam quod solus inter res universas homo talis est, cum aliis omnibus deorsum corpora propendeant, id vero palam dignitatis discrimen indicat.

Atque heic animum mihi, dilecte fili, advertito. cum adficere vellet hominem deus honore peculiari, paradisum prius conserit, atque ita deinde ipsum in eo collocat, tametsi Pyron scriptor annalium post XL primum dies Adamum paradisum ingressum esse tradat. ego vero non video ubi Adamus antea versatus fuerit, cum XL dies extra paradisum degeret. refutat hanc opinionem Chrysostomus, cum ait „licebat Adamo etiam extra paradisum degere. verum ea loca non erant hominis domicilio praescripta destinataque, sed tam iumentis quam caeteris terrae bestiis, cum homini paradisus tanquam

ζῶα πρὸς τὸν Ἀδὰμ ὡς κεχωρισμένα αὐτοῦ." εἰ δὲ ταῦτα οὕτως ἔχει, μὴ τῷ Πύρρωνι ἀλλὰ τῷ χρυσορρήμονι πάρασχε τὰς σὰς ἀκοάς, ὅτι καὶ τοῦ παναγίου πνεύματος ὑποφήτης ὁ τοιοῦτος ὄντως ἐστί.

Μετὰ ταῦτα φησί „ποιήσωμεν αὐτῷ βοηθὸν κατ' αὐτόν," C τουτέστιν αὐτῷ τε κατὰ πάντα ἐμφερῆ καὶ τῇ φύσει αὐτοῦ. μὴ μέντοι γε καὶ τὰ λοιπὰ ζῶα, ὅτι μηδὲ τῆς αὐτῆς αὐτῷ τυγχάνουσι ταῦτα μέτοχα φύσεως. ἀλλ' ἐνταῦθα Μάνης ψεύστην τὸν θεὸν εἶπεν, ὁμοίως καὶ Ἀκύλας· τὸ γὰρ κατ' αὐτὸν ἐναντίως αὐτῷ ἐξέδοτο, ἐπεὶ τάχα τὸν Ἀδὰμ αὕτη παραβῆναι πεποίηκε κἀντεῦθεν ὁ βοηθὸς ἐπίβουλος γέγονε. καὶ οὗτοι μὲν οὕτως, κατὰ δὲ τὸν θειότατον Κύριλλον τὸν Δαμασκηνόν τε Ἰωάννην βοηθὸς αὕτη τῷ Ἀδὰμ εἰς τὴν τοῦ ἀνθρωπίνου γένους κεχρημάτικε σύστασιν. ἔκστασιν οὖν ἐπιβάλλει τῷ Ἀδάμ, καὶ μίαν τῶν αὐτοῦ πλευρῶν ἐξελὼν οἰκοδομεῖ τὴν γυναῖκα. ἣν καὶ θεασάμενος ὕστερον ὁ Ἀδὰμ „τοῦτο D νῦν ὀστοῦν ἐκ τῶν ὀστῶν μου" προφητικώτατα ἔφησεν. οὐδὲ γὰρ ἡ γυνὴ καὶ εἰσέτι τὸν αὐτὸν τρόπον ἐξ ἀνδρὸς μόνου γενήσεται, ἀλλ' ἐκ συναφείας ἀμφοτέρου καὶ νόμου γαμικοῦ.

Οὐκοῦν ἐπιβάλλει ὁ θεὸς ἔκστασιν τῷ Ἀδάμ, καὶ μίαν

10. αὐτῷ] αὐτὸ P.

voluptaria quaedam domus esset datus." eam ipsam ob causam animalia deus ad Adamum adduxit, velut ab eo caeteroqui separata. quae cum ita sint, non Pyroni sed huic oratori nostro aureo velim aures praebeas, qui reapse spiritus sancti discipulus fuit.

Sequuntur haec historiae divina verba (Gen. 2 18) „faciamus Adamo adiutricem secundum ipsum," hoc est, tam ipsi quam toti eius naturae consimilem, non reliquis animalibus: nam ea naturam eandem cum homine communem non habent. heic autem Manes deum mendacem esse dixit, et consimiliter Aquila. nam vocem hanc in versione Graeca, κατ' αὐτόν, contra ipsum interpretabantur propterea quod Adamum haec non multo post ad mandati divini violationem impulerit, ideoque facta sit insidiatrix, quae adiutrix appelletur. haec illorum est opinio. verum de sententia divini hominis Cyrilli atque etiam Damasceni, adiutrix haec Adami dicta est ad humani generis propagationem. itaque somnum Adamo gravissimum deus immittit, unaque ex costis detracta mulierem ex ea construit. hac Adamus deinde conspecta verissime vaticinans dixit (Gen. 2 23) „hoc nunc demum os ex ossibus meis est." nam mulier minime deinceps eodem modo existet e viro solo, sed per amborum coniunctionem et coniugii legem procreabitur.

Hoc pacto consopivit Adamum deus, sumptaque costa ipsius una

τῶν πλευρῶν αὐτοῦ λαβὼν τὴν Εὔαν οἰκοδομεῖ. ἀναγκαῖον γὰρ ἦν μὴ καὶ τὴν Εὔαν ἀπὸ γῆς προελθεῖν, ἀλλ' ἀπὸ τῆς οὐσίας τοῦ Ἀδάμ, ὡς ἐντεῦθεν φίλτρον ἐντεθῆναι τοῖς ὁμοζύγοις. ἐπιβάλλει οὖν ἔκστασιν ἤτοι κάρον ἐντίθησι τῷ Ἀδάμ, ὡς μὴ λαβεῖν ὀδύνης αἴσθησιν ἐν τῇ ἀφαιρέσει τῆς
P. 83 πλευρᾶς, ὡς ὁ χρυσοῦς τὴν γλῶτταν φησι, κἀντεῦθεν ἐχθρωδῶς διακεῖσθαι πρὸς τὴν ὁμόζυγον. ἀφαιρεῖται γοῦν μίαν τῶν πλευρῶν αὐτοῦ, καὶ οἰκοδομεῖ τὴν γυναῖκα, καὶ ἀνεπλήρωσε σάρκα ἀντ' αὐτῆς. τινος οὖν ἕνεκεν ἀνεπλήρωσεν; ἵνα μὴ ἔχῃ μετὰ τὴν του υπνου ἀπαλλαγὴν ἐκ τοῦ λείποντος αἰσθάνεσθαι τοῦ γεγονότος· εἰ γὰρ ἐν τῷ τῆς ἀφαιρέσεως καιρῷ ἠγνόησεν, ἀλλ' ὅμως ἔμελλε μετὰ ταῦτα ἐπιγινώσκειν τὸ γεγονός· ἐφ' ᾧ διὰ σαρκὸς τὴν τῆς πλευρᾶς ἀνεπλήρωσεν ἔλλειψιν.

Καὶ εἶπεν ὁ θεός, αὐξάνεσθε καὶ πληθύνεσθε, καὶ πληρώσατε τὴν γῆν. τῷ μεγάλῳ Βασιλείῳ
B προσεκτέον κἀνταῦθα. φησὶ γὰρ ὅτι διπλῆ ἡ αὔξησις, ἡ μὲν σώματος ἡ δὲ ψυχῆς· ἀλλ' ἡ μὲν τοῦ σώματος αὔξησις ἡ ἀπὸ τοῦ μικροῦ εἰς τὸ καθῆκον μέγεθος ἀποκατάστασις, ἡ δὲ τῆς ψυχῆς αὔξησις διὰ τῶν μαθημάτων προσεπιγίνεται. ἀλλὰ καὶ ὁ χρυσορρήμων Ἰωάννης περὶ ψυχῆς οὕτω φησὶν ὅτι ἅπαξ λαβοῦσα τὸ εἶναι παρὰ θεοῦ πρὸς αὔξησιν οὐκέτι

19. μέγεθος] μέρος P.

Evam construxit. nam necessarium erat Evam non itidem, ut in Adamo factum erat, e terra provenire, sed ex ipsa potius Adami essentia, quo hac ratione mutuus amor coniugibus inderetur. et somnum ei gravem immittit, ne sensum aliquem doloris in ademptione costae perciperet, quemadmodum Chrysostomus ait, eaque de causa coniugem hostili quodam odio prosequeretur. itidem costam unam sumit, de qua mulierem construit, eiusque locum carne complet. at quamobrem complet? ne somno excitatus, per id quod aberat, sentire quod acciderat posset. quamquam enim hoc ademptionis tempore ignorasset, tamen deinceps animadversurus erat. quapropter carne deus costae defectum supplevit.

„Dixit deus: augescite, multiplicamini, replete terram." hoc in loco Basilii verbis animum advertito. tradit enim duplex incrementum esse, quorum aliud sit corporis aliud animae. corporis incrementum est de statura parva convenientem ad magnitudinem pervenire. at incrementum animae per disciplinas consequimur. etiam Chrysostomus de anima inquit, eam cum semel a deo suam naturam et existentiam nacta est, more corporis ad incrementum aliquod aliud nequaquam tendere. nam qui fieri posset hoc in anima, quae tan-

καθὰ δὴ καὶ τὸ σῶμα χωρεῖ· πῶς καὶ γὰρ ἄποσος αὕτη καὶ ἀσχημάτιστος οὖσα, ὡς εἰκὼν τοῦ θεοῦ; τελεία μὲν οὖν ἐξ ἀρχῆς αὐτῆς ἡ νοερὰ ἔκτιστο ψυχή, εἰ καὶ κατὰ μικρὸν δοκεῖ συναύξειν τῷ σώματι. καὶ δῆλον ἐξ ὧν ὁ Νύσσης φησί. C „τὸ τῆς ψυχῆς εἶδος κατὰ τὴν ἀναλογίαν τοῦ ὑποκειμένου ὀργάνου φαίνεται. ἡ γὰρ πρὸς τὴν ἐμπαθῆ καὶ ζωώδη γένεσιν κοινωνία οὐκ εὐθὺς ἐκλάμπειν τῷ πλάσματι τὴν θείαν εἰκόνα ἐποίησεν, ἀλλ' ὁδῷ τινὶ ἀκολουθίᾳ ἐπὶ τὸ τέλειον ἄγει V.65 τὸν ἄνθρωπον, οὐκ ἄλλης τῷ νηπίῳ καὶ ἑτέρας τῷ τελείῳ ἐγγινομένης ψυχῆς, ἀλλὰ τῆς αὐτῆς ἐν ἐκείνῳ μὲν τὸ ἀτελὲς ἐν τούτῳ δὲ δεικνυούσης τὸ τέλειον." τελεία μὲν οὖν ἡ ψυχὴ καὶ ἐν βρεφικῇ ἡλικίᾳ, ἀδυνατεῖ δὲ τὴν ὅλην αὐτῆς δεικνύειν D ἐνέργειαν. καθάπερ γὰρ μουσικὸς ἄριστος ἐν μὲν μικροῖς αὐλοῖς στενόν τι καὶ ἔκτροπον μέλος ἀπήχησεν, ἡνίκα δὲ εὐρυπόρους εὕρῃ αὐλούς, τότε τὴν αὐτοῦ τέχνην ὅλην ὑπέδειξεν, οὕτω καὶ ψυχή, ὡς ὁ θεολόγος Γρηγόριος ἐν τοῖς ἐμμέτροις αὐτοῦ διέξεισιν ἔπεσι· κατὰ γὰρ τὴν τοῦ ὀργάνου διάθεσιν οὕτω κἀκείνη τὴν ἐνέργειαν δείκνυσιν.

Αὐξάνεσθε καὶ πληθύνεσθε, καὶ πληρώσατε τὴν γῆν. πλὴν οὐ τῇ οἰκήσει ἀλλὰ τῇ ἐξουσίᾳ ὡς ὁ μέγας φησὶ Βα-

3. κατὰ] μετὰ P.

quam imago dei tam quantitatis expers est quam figurae? quamobrem anima intelligentiae vi praedita sic est a deo condita, ut statim ab initio perfecta sit, etiamsi paulatim una cum corpore videatur incrementum aliquod sumere. perspicuum hoc est ex hisce Nysseni Gregorii verbis „animae forma pro instrumenti subiecti ratione conspicitur. cum enim particeps natura nostra sit eius ortus, qui et vitiis obnoxius et animalium rationis expertium ortui adfinis est, fieri nequit ut hominis in figmento statim divina imago eluceat, sed via quadam ac serie hominem ad perfectionem pervenire necesse est; non quod alia infanti, alia matura aetate viro indatur anima, sed una eademque anima in illo quidem imperfectionem suam, in hoc perfectionem demonstrante." de quo iam colligi potest animam in ipsa etiam infantili aetate perfectam esse, verum facultatem suam et efficacitatem omnem declarare necdum posse. quemadmodum enim musicus praestantissimus minutis in tibiis exile atque absonum carmen canit, at cum tibias adeptus est amplas, tum scilicet artem suam totam demonstrat, sic et anima „debilibus cum membris debilis ipsa, de validis elucet, et omnem denique mentem ostentat," quemadmodum Gregorius cognomento theologus in commentationibus suis, quas versibus est complexus, inquit. nam prout instrumentum adfectum fuerit, ipsa quoque vim et efficacitatem suam declarat.

„Augescite" inquit deus, „multiplicamini, replete terram," non eam quidem inhabitatione, sed imperio vestro, quemadmodum haec

P. 84 σίλειος. οὐ γὰρ δήπου καὶ τὴν διακεκαυμένην καὶ ἀγεώργητον καὶ τὴν κατεψυγμένην καὶ ἄβατον κατ' ἀνάγκην οἱ ἄνθρωποι πληροῦσιν· ἀλλὰ κυρίους ἡμᾶς ἐποίησε πληροῦν. καὶ πληροῦμεν αὐτὴν τῷ λογισμῷ· ὅταν γὰρ ἴδωμεν πόσον μέτρον τῆς διακεκαυμένης καὶ ἀοικήτου, ὅταν ἴδωμεν πόσον τὸ κλίμα τὸ βόρειον, ὃ διὰ τὴν ὑπερβάλλουσαν ψῦξιν ἀγεώργητόν ἐστι καὶ ἄχρηστον, οὐκ ἐπληρώσαμεν τὴν γῆν, ἀλλὰ τὸ χρήσιμον ἐκλεξάμενοι, τὸ ὅσον ἄχρηστον εἰς διαμονὴν ἀνθρώποις ἀπεπεμψάμεθα.

Καὶ εἶπεν ὁ θεός· ἰδοὺ δέδωκα ὑμῖν πᾶν ξύλον ὃ ἔχει καρπὸν ἐν ἑαυτῷ. ὑμῖν ἔσται εἰς βρῶσιν καὶ πᾶσι τοῖς θηρίοις τῆς γῆς. πρόσεχε B οὖν· ἄρχοντα μὲν γὰρ τῶν ἰχθύων καὶ τῶν λοιπῶν ἐποίησε τὸν ἄνθρωπον ὁ θεός, οὐ μὴν δὲ καὶ τὴν ἀπόλαυσιν αὐτῶν αὐτῷ συγκεχώρηκεν. ὥστε ἡ μὲν πρώτη νομοθεσία καρπῶν ἀπολαύειν ἐνδέδωκεν. ἔτι γὰρ ἐνομιζόμεθα ἄξιοι τοῦ παραδείσου εἶναι· καρπὸς λοιπὸν καὶ χλόη καὶ χόρτος ἡμῖν εἰς βρῶσιν, τοῖς πετεινοῖς τε τοῦ οὐρανοῦ καὶ πᾶσι τοῖς θηρίοις τῆς γῆς. εἰ γὰρ καὶ νῦν αἵμασι χαίρουσιν ὅ τε λέων καὶ ἡ πάρδαλις, ἀλλ' ὅμως καὶ ταῦτα τῷ νόμῳ τῆς φύσεως ὑποτεταγμένα καρποῖς διετρέφετο. ἐπειδὴ δὲ ὁ θεὸς ἐκδεδιῃτημένον C εἶδε τὸν ἄνθρωπον, δευτέρῳ νόμῳ μετὰ τὸν κατακλυσμὸν

2. ἀνάγκης P.

verba magnus ille Basilius interpretatur. nec enim homines necesse habent vel perustam illam a sole terram vel cultus omnis expertem vel frigore nimio inutilem vel inaccessam replere: sed hac voce deus nobis ius replendae terrae concessit. nosque adeo replemus eam ex rationis arbitrio. posteaquam enim perspeximus quantum spatium terra perusta et inhabitabilis occupet, quantum aquilonale clima, quod nimii frigoris causa nequit excoli et est inutile, annon terram reliquam complevimus? annon delecta eius utili parte, quicquid habitationi hominum est inutile, relinquimus?

„Dixit item deus: en ego concessi vobis omnes frugiferas arbores, quibus ad alimoniam et vos utamini et omnes bestiae terrestres" (Gen. 1 29). heic animum advertito. deus quidem piscium et animalium relinquorum dominum fecit hominem, verum ut iis vesceretur non permisit. nimirum haec prima lex tantum homini fructuum usum concedebat, cum adhuc paradiso dignus esset. itaque tam homines quam aëreae volucres et terrestres bestiae fructibus arborum, herbis, gramine vescebantur. et quanquam hodie leo, pardalis, aliae ferae cruentis mactationibus cibisque delectentur, tamen id temporis haec etiam animalia legi naturae subdita fructibus tantum alebantur. ac posteaquam deus hominem iam factum intemperan-

πάντων αὐτῷ συγχωρεῖ τὴν ἀπόλαυσιν, „ταῦτα πάντα ὡς λάχανα χόρτου φάγεσθε" εἰπών. ταύτῃ μὲν οὖν τῇ συγχωρήσει καὶ τὰ λοιπὰ ζῶα τοῦ ἐσθίειν ἔλαβον ἄδειαν. ἐξ ἐκείνου δὲ λοιπὸν αἱμοβόρος ὁ λέων, ἐξ ἐκείνου καὶ γῦπες ἀναμένουσι θνησιμαῖα. οὐ δήπου γὰρ καὶ γῦπες ἅμα τῷ γεννηθῆναι ζῶα περιεσκόπουν τὴν γῆν, ὡς ἐκεῖθεν οὗτοι τραφῶσιν· ἀλλὰ ταῦτα πάντα τοὺς λειμῶνας περιήρχοντο. καὶ νῦν γὰρ κύνας ὁρῶμεν θεραπείας ἕνεκεν πολλάκις ἄγρωστιν ἐπινεμομένους, οὐκ ἐπειδὴ συμφυής ἐστιν ἡ τροφή, ἀλλ' D ἐπειδὴ ἀδιδάκτῳ τινὶ φύσεως διδασκαλίᾳ ἐπὶ τὸ συμφέρον ἔρχεται τὰ ἄλογα. τοιαῦτα λόγισαι εἶναι καὶ τότε τὰ αἱμοβόρα τῶν ζώων, χόρτον ἑαυτοῖς εἰς τροφὴν ἐπινοεῖν, οὐ μὴν ἀλλήλοις ἐπιβουλεύοντα. συγκεχώρηται οὖν, ὡς εἴρηται, μετα τὸν κατακλυσμὸν ἡ ἀπόλαυσις, πλὴν ἀλλὰ καὶ νῦν κατὰ μίμησιν τῆς ἐν τῷ παραδείσῳ ζωῆς ἑαυτοῖς ἄγειν βουλόμενοι, φεύγοντες ταύτην τὴν πολύυλον ἀπόλαυσιν τῶν βρωμάτων, ἐπ' ἐκεῖνον τὸν βίον, καθὼς οἷόν τέ ἐστιν, ἑαυτοὺς ἀγόμενοι, καρ- V.66 ποῖς καὶ σπέρμασι καὶ τοῖς ἐκ τῶν ἀκροδρύων εἰς διαγωγὴν χρώμενοι· τὸ δὲ περισσὸν τούτων ὡς οὐκ ἀναγκαῖον ἀποστρεφόμεθα· οὐ γὰρ βδελυκτὰ διὰ τὸν κτίσαντα, οὐδὲ αἱρετὰ διὰ τὴν τῆς σαρκὸς εὐπάθειαν.

tiorem vidit, altera lege post diluvium potestatem ei facit omnibus vescendi. cuncta vobis, ait, perinde fruenda concedo ut herbarum olera. propter hanc concessionem reliqua etiam animalia quibuslibet vesci coeperunt. itaque leo carnivorus ab eo tempore fuit, et morticina vultures observant. nec enim id temporis quo primum oriebantur animalia, terram vultures circumspectabant, ut ad pastum cadavera consequerentur, sed in pratis alimoniam quaerebant. videmus et hodie canes medicamenti causa gramine saepenumero pasci, non quod hoc nutrimento velut idoneo vescantur, sed quia doctrina quadam naturae, discendo non percepta, tendunt ad ea rationis expertes bestiae quae ipsis utilia sunt. eiusmodi fuisse tunc animalia carnivora cogitabis, quae gramine scilicet vesci consueverint, non sibi invicem insidiari. facta est igitur fruitionis horum concessio post diluvium, sicut indicatum est hactenus. enimvero sunt hodieque nonnulli, qui vitam suam ad imitationem vitae paradisi, quantum eius fieri potest, instituentes a nimium crassa illa ciborum fruitione abhorrent, ac tum fructibus tum seminibus et omnibus iis quae de arboribus proveniunt utuntur. quaecunque scilicet praeter haec supervacanea sunt, tanquam non necessaria recusamus. etenim nec abominabilia putari debent propter creatorem, nec expetenda magnopere propter carnis luxum et ad delicias propensionem.

P. 85 Οἶδα δέ, ἀγαπητέ, ὅτι καὶ ἐπὶ τούτῳ ἠπόρηκας οὐ μικρῶς, λέγων „εἰ κρεωδαισίας οὐκ ἦν πρὸ τοῦ κατακλυσμοῦ καιρός, τίνος ἕνεκεν ὁ Ἄβελ ποιμὴν προβάτων ἐγένετο;" ἀλλ' εἰδέναι κἀνταῦθα ὀφείλεις ὅτι περιβολαίων ἕνεκεν ἡ τῶν θρεμμάτων ἐπενοήθη φροντίς, ὡς ὁ χρυσορρήμων Ἰωάννης εἰς τὸν ἑξαήμερον ἐννάτῃ αὐτοῦ ὁμιλίᾳ φησί. πειθέτω δέ σε πρὸς τούτοις ἡ ἁγία γραφὴ περὶ τῶν πρωτοπλάστων οὕτω B λέγουσα „καὶ χιτῶνας δερματίνους ἐνέδυσεν αὐτούς." ἔκτοτε γὰρ ἔδειξεν ὁ θεὸς τό τε χρήσιμον ὁμοῦ τῆς περιβολῆς καὶ ἀπέριττον. ᾠκονόμησε γὰρ ὁ θεὸς ἀπὸ τῶν ἐρίων τῶν προβάτων τὰ ἐνδύματα τοῖς ἀνθρώποις κατασκευάζεσθαι, οὐδενὸς ἑτέρου ἕνεκεν ἢ ὥστε σκέπην γενέσθαι, καὶ μὴ τὸ λογικὸν τοῦτο ζῶον κατὰ τὸ αὐτὸ τοῖς ἀλόγοις ἐν γυμνότητι καὶ ἀσχημοσύνῃ διάγειν. ἡ τοίνυν τῶν ἱματίων περιβολὴ ὑπόμνησις ἡμῖν γινέσθω διηνεκὴς τῆς τῶν ἀγαθῶν ἐκπτώσεως, καὶ τῆς τιμωρίας διδάσκαλος ἣν διὰ τὴν παρακοὴν τὸ τῶν ἀνθρώπων γένος ἐδέξατο.

Καὶ εἶπε πρὸς τὸν Ἀδὰμ ὁ θεός „ἀπὸ πάντων τῶν ἐν τῷ C παραδείσῳ βρώσει φάγῃ, ἀπὸ δὲ τοῦ ξύλου τοῦ γινώσκειν καλὸν καὶ πονηρὸν οὐ φάγεσθε ἀπ' αὐτοῦ· ᾗ δ' ἂν ἡμέρᾳ φάγητε ἀπ' αὐτοῦ, θανάτῳ ἀποθανεῖσθε." ἀλλ' ἐνταῦθα προσοχῆς, ἀγαπητέ, χρεία πολλῆς. διαφωνία καὶ γὰρ οὐ μικρὰ

Novi te, dilecte fili, hac etiam in parte non parum haesitare. si carnium, dices, ante diluvium non erat usus, cur tandem Abelus erat opilio? verum scire debes pecudum curam inventam fuisse vestimentorum causa, quemadmodum in oratione de sex dierum operibus IX Chrysostomus inquit. eiusdem rei fidem tibi litterae sacrae facient, de primum formatis hominibus ita loquentes (Gen. 3 21) „et pelliceis tunicis eos deus induit." nam hoc ipso deus et utilitatem huius amictus ostendit et simplicitatem inelaboratam. voluit enim certo consilio de lanis ovium vestes hominibus fieri, alia certe nulla de causa quam ut tegumentum haberent, neu rationis hoc particeps animal, brutorum more, quadam cum deformitate ac inverecundia nudum incederet. et quidem hic vestimentorum amictus perpetua nobis sit commonefactio lapsus eius quo tantis bonis excidimus, deque poena nos erudiat qua genus humanum propter inobedientiam adficitur.

Caeterum haec quoque deus ad Adamum protulit (Gen. 2 17) „omnibus paradisi arboribus vesceris, praeter arborem scientiae boni atque mali. nam ea quocunque die vescemini, morte multabimini." accurate heic, dilecte fili, quid dicatur advertito. nam dissentio non exigua propemodum inter omnes est tum de arboris huius natura

παρὰ πᾶσι σχεδὸν περί τε τῆς φύσεως τοῦ φυτοῦ ἐκείνου καὶ τῆς βρώσεως αὐτοῦ. καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ βρώσεως ἐμφορεῖσθαι λέγουσι τὸν Ἀδὰμ αἰσθητῆς, ποιεῖν τε καὶ πασχειν ὅσα μετὰ τὴν βρῶσιν ἐξ ἀνάγκης τῇ θνητῇ φύσει παρέπεται. ὅθεν ἀναγκαῖον περὶ τῆς φύσεως αὐτοῦ τοῦ Ἀδὰμ D διαλαβεῖν πρότερον· οὕτω γὰρ ἐπιγνωσόμεθα κατά γε τὸ ἐγχωροῦν τίς τε ἡ βρῶσις ἦν αὐτὸς ἐν τῷ παραδείσῳ ἤσθιεν ὁ Ἀδάμ, καὶ τὸ φυτὸν ὡσαύτως τῆς γνώσεως ὁποῖον ἄρα τὴν φύσιν ἐτύγχανεν. πρόσεχε οὖν. τὸν Ἀδὰμ ἄλλοι μὲν θνητὸν ὑπὸ θεοῦ παραχθῆναί φασιν, ἕτεροι δὲ μέσην αὐτὸν ἔχειν διισχυρίζονται τάξιν, τουτέστιν ἀθανασίας εἶναι μέσον αὐτὸν καὶ θνητότητος· εἰ μὴ γὰρ τοῦτο ἦν, ὡς ἐκεῖνοί φασιν, οὐκ ἂν ὑπέπεσε θανάτῳ μετὰ τὴν παράβασιν. ἀλλ' ἄφες αὐτούς, εἴγε καὶ μᾶλλον ὁ σοφὸς Σολομὼν ἐν τῇ σοφίᾳ αὐτοῦ κατὰ λέξιν οὕτως εὕρηται λέγων „ὁ θεὸς θάνατον οὐκ ἐποίησεν, ἀλλ' ἐπ' ἀφθαρσίᾳ τὸν ἄνθρωπον ἔκτισε κατ' εἰκό- p. 86 να τῆς ἀϊδιότητος αὐτοῦ. φθόνῳ δὲ τοῦ διαβόλου θάνατος εἰς τὸν κόσμον εἰσῆλθεν." εἴπερ οὖν ὁ θεὸς ἐπ' ἀφθαρσίᾳ ἔκτισε κατ' εἰκόνα τῆς ἀϊδιότητος αὐτοῦ, πῶς εἴπωμεν αὐτὸν ὑποκεῖσθαι φθορᾷ καὶ θνητότητι, καὶ ταῦτα τοῦ θεοῦ θάνατον, ὡς εἴρηται, μὴ ποιήσαντος ἀπ' ἀρχῆς; εἰ γὰρ εἴπωμεν ὅτι τὸ σῶμα τοῦ Ἀδὰμ ἐκεῖνο καὶ φθορᾷ κατά τινα τρόπον

tum fruitione. neque de hoc tantum, sed etiam nonnulli volunt Adamum cibo sensili fuisse satiatum, eaque tum fecisse tum passum esse quae a pastu necessario naturae mortali consueverunt accidere. quapropter ipsa requirit necessitas ut de ipsius Adami natura prius quaedam exponamus. nam ea ratione cognoscemus, quantum quidem eius fieri poterit, quis cibus ille fuerit quo in paradiso vescebatur Adamus, et quae arboris scientiae natura exstiterit. Adamum alii quidem a deo conditum fuisse mortalem dicunt, alii vero medio quodam loco constituunt, nimirum inter immortalitatem et mortalitatem. etenim absque hoc foret, ut ipsi quidem inquiunt, non post transgressionem morti fuisset factus obnoxius. enimvero tu hos missos facito, quando sapiens ille Solomo in sapientia sua (1 13 et 2 23) tradit deum mortem non condidisse, immo in statu interitus experte creavit hominem ad imaginem aeternitatis suae. verum deinceps invidia diaboli mors in mundum venit. quare si deus in statu interitus experte ad imaginem aeternitatis suae condidit hominem, quo pacto dici a nobis potest Adamum interitui mortalitatique ulla ex parte obnoxium fuisse? praesertim cum mortem, ceu dictum est, ab initio minime deus condiderit. nam si dicamus Adami corpus illud interitui quodam modo subiectum fuisse, nihil aliud significabimus nisi au-

ὑπέκειτο, οὐδέν τι παριστῶμεν ἕτερον ἢ ὅτι παρὰ θεοῦ τὸ
κατάρχειν ἡμῶν ἔσχεν ἥ τε φθορὰ καὶ ὁ θάνατος. ἀλλ' οὐκ
V. 67 ἔστι τοῦτο, οὐκ ἔστιν, ὅτι μηδὲ θανάτου, καθὰ δὴ καὶ
B προείρηται, ποιητὴς ὁ θεός. ἀμφιβάλλειν οὖν ἐπὶ τούτοις
οὐκ ἄξιον. εἰ μὲν γὰρ ὅτε παρήγαγε τὸν ἄνθρωπον ὁ θεός,
τότε πρὸς αὐτὸν ἔλεγεν „ᾗ δ' ἂν ἡμέρᾳ φάγητε ἀπὸ τοῦ φυ-
τοῦ, θανάτῳ ἀποθανεῖσθε," εἶχον ἄν τι καὶ λέγειν οἱ μέσον
αὐτὸν ἀθανασίας εἶναι καὶ θνητότητος λέγοντες. ἐπεὶ δὲ πολ-
λῷ μετὰ τὴν αὐτοῦ παραγωγὴν ὕστερον ἐδίδοτο τὰ τῆς ἐντο-
λῆς, ἀφ' ἧς ἄρα καὶ χώραν ὁ θάνατος ἐλάμβανε καθ' ἡμῶν
(„ἐὰν γὰρ φάγητε" φησί, „θανάτῳ ἀποθανεῖσθε"), ἀμφιβάλ-
λειν ὅλως οὐκ ἔπρεπε τοὺς ἐπερχομένους τέως ἐρευνητικῶς
τὴν γραφήν. ἔκτισε μὲν οὖν ὁ θεὸς ἐπ' ἀφθαρσίᾳ τὸν ἄν-
C θρωπον ἀπ' ἀρχῆς, τουτέστιν ἄφθαρτον αὐτίκα παρήγαγε
κατ' εἰκόνα τῆς ἀϊδιότητος αὐτοῦ.

Ἀλλὰ μὴ δυσχέραινε τούτου ἕνεκεν. ἔχεις τὸν Σιναΐτην
θεῖον Ἀναστάσιον ἐν τῷ περὶ ἀναστάσεως λόγῳ αὐτοῦ περὶ
τούτων οὕτω λέγοντα. „καὶ ἐποίησε τὸν ἄνθρωπον ὁ θεός·
κατ' εἰκόνα θεοῦ ἐποίησεν αὐτόν. πρώτη ποίησις αὕτη, ἁπλῆ,
ἄζυγος, ἄφθαρτος." εἴπερ οὖν ἡ πρώτη ποίησις ἄφθαρτος
ἦν, ὡς ὁ διαληφθεὶς οὗτος ἔφη θεῖος ἀνήρ, περὶ τοῦ πρώ-
του ἐκείνου τί χρὴ καὶ λέγειν ἀνθρώπου; ἄφθαρτον μὲν γὰρ
D αὐτὸν ὁ θεὸς αὐτίκα παρήγαγεν, ὡς ἤδη προείρηται, καὶ

ctore deo ab initio statim interitum ac mortem in nos imperium habuisse. nequit autem hoc verum esse, nequit, cum mors a deo, sicuti diximus, profecta non fuerit. quapropter omnis heic dubitatio tollatur. nam si statim, cum hominem conderet deus, ad eum dixisset „quacunque die vescemini de hac arbore, morte multabimini," habuissent sane quod obiicerent, qui Adamum inter immortalitatem ac mortalitatem medium quasi faciunt. at cum post creationem ipsius non exiguo interiecto spatio lex haec promulgata fuerit, per quam mors occasionem adversus nos arripuit, prorsus heic haesitare non debebant, qui litteras sacras et attente nec sine convenienti pervestigatione se legere profitentur. igitur ab initio rerum deus hominem in statu interitus experte condidit, hoc est immortalem in ortum produxit ad imaginem aeternitatis suae.

Nihil heic difficultatis obiici tibi patitor. habes Anastasium Sinaitem, virum divinum, qui in oratione sua de resurrectione sic inquit „condidit hominem deus, et quidem dei ad imaginem eum condidit. haec prima fuit creatio, simplex, nullum coniugii vinculum habens, interitus expers." quodsi prima creatio fuit expers interitus, quemadmodum sanctus hic vir ait, quid de homine primo dicemus?

ἀθανασίᾳ τετίμηκε. καὶ οὐκ ἐμὰ τὰ ῥήματα. ὁ θειότατος Ἀνδρέας ὁ Κρήτης ἐν τῷ εἰς κοιμηθέντας λόγῳ αὐτοῦ περὶ τούτων οὕτως εὕρηται λέγων „πλάσας ὁ θεὸς τὸν ἄνθρωπον, ἀξίωμα δέδωκεν αὐτῷ τὸ λογικόν τε καὶ νοερὸν καὶ ἀθάνατον καὶ ἀνώλεθρον." εἴπερ οὖν ἀξίωμα δέδωκε τῷ ἀνθρώπῳ τὸ ἀθάνατον ὁ θεός, πῶς λοιπὸν αὐτὸν θνητὸν καὶ ἀθάνατον εἴπωμεν, ἢ φθαρτὸν ὁμοίως καὶ ἄφθαρτον; ἀνένδεκτον, ὡς οἶμαι, τοῦτο καὶ λίαν ἐστίν, ὅτι μηδὲ προσήκει τῷ ἀθανάτῳ καὶ ἀνωλέθρῳ προσάπτειν ὅλως τὸ θνητὸν καὶ ἄφθαρτον.

Ἀλλὰ γὰρ οὐκ οἶδα πόθεν ἐκεῖνοι λαβόντες τὰς ἀφορ- P. 87
μὰς οὐ τὰ ἄμικτα μιγνύουσι μόνον, ἡνίκα δηλαδὴ τὸ σῶμα
τοῦ Ἀδὰμ ἐκεῖνο μέσον ἀθανασίας εἶναι καὶ θνητότητος λέ-
γουσιν, ἀλλὰ καὶ πάθη φυσικὰ τῷ πρὸ τῆς ἁμαρτίας ἀπα-
θεῖ καὶ ἀφθάρτῳ προσάπτειν οὐ παραιτοῦνται, καὶ ταῦτα
χωρὶς ἀποδείξεως γραφικῆς. ἀλλὰ μὴ δέδιθι τούτου ἕνεκεν.
ὅτι μὲν γὰρ ὁ κατ' εἰκόνα θεοῦ τοιαύτης ὑπῆρχε φύσεως ἀπ'
ἀρχῆς, ἀφθάρτου δηλαδὴ καὶ ἀθανάτου, καὶ ὅτι τὸ σῶμα
τοῦ Ἀδὰμ ἐκεῖνο καθ' οἷον δή τινα τρόπον οὐκ ἔπασχε, φθο-
ρᾶς ἁπάσης ὑπέρτερον ὄν, ὁ χρυσορρήμων Ἰωάννης ἐπὶ B

nimirum deus eum statim ab initio expertem interitus condidit et dono immortalitatis ornavit. quae quidem verba nequaquam mea sunt, sed vir eximius, Andreas antistes Cretensis, in oratione sua de iis qui obdormierunt in hunc modum loquitur „cum hominem creasset deus, hoc ei dignitatis largitus est ut esset particeps rationis, intelligendi facultate praeditus, immortalis, interitus expers." quodsi dignitatem hanc immortalitatis homini deus concessit, qui fieri potest, ut eundem pariter et mortalem et immortalem dicamus? vel obnoxium interitui pariter et interitus expertem? nequit hoc prorsus, mea quidem opinione, fieri. nam immortali et interitus experti nequaquam potest vel morti vel interitui subiecta condicio tribui.

Enimvero scire quidem nequeo quibus hi causis permoti non modo non miscenda misceant, cum Adami corpus medio inter immortalitatem ac mortalitatem loco constituunt, sed etiam naturales adfectiones atque morbos ei tribuere non vereantur, qui ante peccatum tam illarum adfectionum quam interitus expers erat, et quidem hoc ipsum citra demonstrationem aliquam e sacris petitam litteris faciant. quapropter nihil heic tibi verendum est. nam hominem ad imaginem dei conditum tali ab initio natura praeditum fuisse, nimirum immortali et interitus experte, ac praeterea corpus illud Adami nullo modo ulli passioni obnoxium fuisse, supra interitum scilicet omnem positum, Iohannes ille noster Chrysostomus et prolixius et clarius te

πλέον διδάξει σε σαφέστερον ἅτε δὴ τὸν περὶ τούτου λόγον
ἐν τῇ βίβλῳ τῶν ἀνδριάντων ποιούμενος. ἐπειδὴ γὰρ τὸ σῶ-
μα τοῦτο φθαρτὸν διασύραντες ἦσαν ἐπὶ τοσοῦτόν τινες ὥστε
καὶ ἀνάξιον αὐτὸ τῆς τοῦ θεοῦ δημιουργίας ἀποκαλεῖν (ἔλε-
γον γὰρ ὡς εἴγε πλάσμα τῶν θείων ὑπῆρχε χειρῶν, οὐκ ἂν
οὕτω μυρίοις ὑπέκειτο πάθεσι), τοιοῖσδε πρὸς αὐτοὺς λόγοις
ἐχρήσατο „μή μοι τὸν ἄνθρωπον τουτονὶ λεγέτω τις τὸν
προσκεκρουκότα, τὸν καταδικασθέντα, τὸν ἠτιμωμένον, ἀλλ'
C εἰ βούλεσθε μαθεῖν ὁποῖον ἐξ ἀρχῆς ἔπλασε τὸ σῶμα ἡμῶν
V.68 ὁ θεός, ἐπὶ τὸν παράδεισον ἔλθωμεν καὶ τὸν ἐξ ἀρχῆς γε-
νόμενον ἄνθρωπον ἴδωμεν. οὐ γὰρ οὕτως τὸ σῶμα ἐκεῖνο
φθαρτὸν καὶ ἐπίκηρον ἦν, ἀλλὰ καθάπερ τις χρυσοῦς ἀν-
δριὰς ἀπὸ χωνευτηρίου προελθὼν ἄρτι καὶ λαμπρῶς ἀπο-
στίλβων, οὕτως πάσης φθορᾶς τὸ σῶμα ἐκεῖνο ἀπήλλα-
κτο, καὶ οὔτε πόνος ἠνώχλει οὔτε ἱδρῶς ἐλυμαίνετο, οὐ
φροντίδες ἐπεβούλευον, οὐκ ἀθυμίαι ἐπολιόρκουν, οὐ ῥύ-
πος, οὐ δάκρυον, οὐδ' ἄλλο τι τῶν τοιούτων ἐλύπει πα-
D θῶν. ἀλλ' ἐπειδὴ πρὸς τὸν εὐεργέτην ἐξύβρισε, θεός τε γε-
νέσθαι ἤλπισε, καὶ μείζω τῆς οἰκείας ἀξίας ἔλαβεν ἔννοιαν,
τότε δὴ τότε σωφρονίζων αὐτὸν ὁ θεὸς φθαρτὸν αὐτὸν ἐποίη-
σε καὶ θνητόν, καὶ ταῖς πολλαῖς ταύταις ἀνάγκαις κατέ-
δησε." ταῦτα μὲν οὖν ὁ θειότατος Ἰωάννης. ἐφ' ᾧ καὶ
ἄφθαρτον ἐκεῖνο τὸ σῶμα δικαίως ὁ λόγος ἐκάλεσε· τὸ

docebit. etenim fuere nonnulli tam in hoc corpore interitui obnoxio carpendo et elevando acerbi, ut etiam indignum dicerent quod a deo conditum existimetur. si figmentum, aiebant, manuum dei foret, non tot miseriis et aerumnis esset obnoxium. adversus hos ille in hunc modum disserit. „nemo mihi hominem hunc obiiciat, qui offendit, qui condemnatus est, qui adfectus ignominia: sed siquidem scire vultis qualenam ab initio corpus nobis deus formaverit, ad paradisum nosmet conferamus et hominem illum principem intueamur. nec enim corpus ipsius interitui obnoxium et caducum erat, sed instar aureae statuae recens eductae de fornace mirificeque splendentis ab omni corpus illud interitu erat immune. non illi molestus erat labor ullus, non a sudore laedebatur, non insidiabantur ei curae, non moerores ipsum oppugnabant, non sordes, non lacrymae, non aliud quicquam eiusmodi adfectionum vexabat. verum posteaquam adversus beneficum erga se deum petulanter gessit, et deum se evasurum speravit, et maiora quam ipsius dignitas ferret animo concepit, tum vero castigans eum deus interitui mortique reddidit obnoxium, ac variis hisce necessitatibus adstrinxit." haec hominis illius divini verba sunt, quorum auctoritate si corpus Adami dicamus interitus expers fuisse,

γὰρ οἷα δή τινι φθορᾷ μὴ ὑποκείμενον ἄφθαρτον ὁμολογουμένως ἐστίν.

Εἰ δὲ ἄφθαρτον, πῶς ἄρα καὶ τίνα τρόπον ἔπασχε, τοῦτο μαθεῖν ἀξιοῦμεν. ἡμεῖς γὰρ ἀφ' ἑαυτῶν ἐννοῆσαι πῶς ὑπέπιπτε πάθεσι σῶμα πάσης ἀπηλλαγμένον φθορᾶς, οὐκ ἐσμὲν ἱκανοί, καὶ διὰ τοῦτο παρακαλοῦμεν μαθεῖν. ὅτι δὲ ἄφθαρτον ἐκεῖνο τὸ σῶμα καὶ ἀθάνατον ἦν, ὁ μακάριος P. 88
ἔδειξε Κύριλλος ἐν τῷ εἰς τὴν δημιουργίαν τοῦ ἀνθρώπου λόγῳ αὐτοῦ, κατὰ λέξιν οὕτως εἰπὼν „ἐπεποίητο μὲν ἀπο γῆς τὸ σῶμα τοῦ Ἀδάμ, ἄμεινον δὲ θανάτου καὶ φθορᾶς ἦν· ἐνεφύτευσε γὰρ αὐτῷ τὴν ζωὴν ὁ τῆς ζωῆς χορηγός." ἀλλὰ καὶ ὁ μέγας Βασίλειος αὐτὸ τοῦτο παριστῶν ἔλεγε „πλάσας τὸν ἄνθρωπον ὁ θεὸς αἰωνίου ζωῆς ἀπόλαυσιν αὐτῷ ἐχαρίσατο." πρὸς δέ γε τοῖς εἰρημένοις καὶ ὁ θειότατος Βαρλαὰμ οὕτω πρὸς Ἰωάσαφ εὕρηται λέγων „τὸν ἀπ' ἀρχῆς ἄνθρωπον ὁ θεὸς αὐτεξουσιότητι καὶ ἀθανασίᾳ τιμήσας βασιλέα πάντων τῶν ἐπιγείων κατέστησεν." ἀλλ' ὅρα, καὶ μὴ B
παρέργως ἐπέρχου τὰ τοιαῦτα θεῖα ῥητά. ἅμα μὲν γὰρ ὁ κατ' εἰκόνα παρήγετο, καὶ ἅμα τῆς αὐτεξουσιότητος ἠξίωτο καὶ τῆς ἀθανασίας ὑπὸ θεοῦ. καὶ πῶς λοιπὸν αὐτὸν εἴπωμεν ἀθανασίας εἶναι καὶ θνητότητος μέτοχον; ἀσυλλόγιστον, ὡς οἶμαι, καὶ τοῦτο λίαν ἐστίν. εἰ γὰρ ἐννοῆσαι εἴχομεν ὅτι

recte id quidem facturi sumus: nam quod nulli subiectum est interitui, haud dubie fatendum est interitus expers esse.

Quodsi expers interitus fuit, quo pacto tandem aliquid pati potuerit scire cupimus. etenim cogitare per nos ipsos, qui corpus ab omni liberum ac immune interitu sub adfectiones cadere potuerit, non satis possumus; ideoque per alios hoc ipsum expetimus cognoscere. corpus quidem illud expers interitus et immortale fuisse, beatus etiam Cyrillus ostendit, in oratione sua de hominis creatione sic ad verbum disserens „de terra quidem factum erat Adami corpus, sed idem supra mortem et interitum omnem positum erat: quippe vitam ei vitae suppeditator et auctor inseverat." idem et a Basilio magno verbis his significatur „cum formasset hominem deus, aeternae vitae fruitionem ei largitus est." praeter hos divinus ille Barlaamus ad Ioasaphum in hanc sententiam scripsit „hominem illum principem deus voluntate libera praeditum et ornatum immortalitate universarum rerum terrestrium regem constituit." ipsa denique sacrarum litterarum verba mihi adspice, nec obiter perlege. simul enim homo ad imaginem dei condebatur, et tam arbitrio voluntatis libero quam immortalitate divinitus donabatur. quo igitur pacto dicemus eum pariter immortalitatis ac mortalitatis participem? abhorret hoc scilicet ab

βασιλέα κατέστησε τῶν ἐπιγείων αὐτόν, ἀθανασίᾳ τιμήσας
αὐτὸν πρότερον, οὐκ ἂν ἐκεῖσε καὶ θνητότητα παρεμιγνύο-
μεν, οὐκ ἂν ἀσυλλόγιστα τὰ τοιαῦτα διενοούμεθα περὶ τοῦ
γεγενημένου κατ' εἰκόνα θεοῦ. ἀλλὰ καὶ ὁ χρυσορρήμων Ἰωάννης
αὐτὸ τοῦτο παρίστησι, διεξιὼν οὑτωσὶ κατὰ λέξιν ἐν τῇ εἰς
C τὴν ἑξαήμερον κα' ὁμιλίᾳ αὐτοῦ „δημιουργήσας τὸν ἄνθρω-
πον ὁ θεὸς ἠβουλήθη πάντων τῶν ὁρωμένων τὴν ἀρχὴν αὐ-
τὸν ἔχειν. διὸ καὶ τὴν τῆς ψυχῆς οὐσίαν αὐτῷ ἐχαρίσατο,
βουληθεὶς εἶναι αὐτὸν καὶ ἀθάνατον εἰς τὸ διηνεκές. ἀλλ'
ἐπειδὴ διὰ ῥαθυμίαν ὤλισθε καὶ παρέβη τὴν δοθεῖσαν αὐτῷ
ἐντολήν, οὐδὲ οὕτως ἀπεστράφη τέλεον αὐτόν, ἀλλὰ τῆς μὲν
ἀθανασίας ἀπεστέρησε, θανάτῳ δὲ καταδικάσας ἐπὶ τῆς αὐ-
τῆς ἀφῆκε σχεδὸν εἶναι ἀρχῆς.

Ἀλλ' ἐνταῦθα προσέχειν ἄξιον. οὐδὲ γὰρ ἠβουλήθη μό-
νον ὁ θεὸς βασιλέα καταστῆσαι τῶν ὁρωμένων αὐτόν, ἀλλὰ
καὶ ἔργοις αὐτοῖς ἀπηρτισμένην ἔδειξε τὴν ἀρχήν. ἤγαγε
D γὰρ τὰ ζῶα πάντα τηνικαῦτα πρὸς αὐτόν, καίτοι γε τὸ μέλ-
λον οὐκ ἀγνοῶν. καὶ οὕτω τὰ πάντα δουλικῷ παριστάμενα
V.69 σχήματι παρ' αὐτοῦ τὰς ἐπωνυμίας ἐδέχοντο. οὕτω μὲν οὖν
ἔφθασε διά γε τῆς νοερᾶς ψυχῆς καὶ ἀθανασίᾳ τιμήσας αὐ-
τόν. εἰ γὰρ καὶ τὴν γενησομένην αὐτοῦ μετ' οὐ πολὺ παρεκ-
τροπὴν οὐκ ἦν ἀγνοῶν, ἀλλ' ἐπειδὴ καταδικάζειν ἐκ μόνης

18. δουλικῷ] βασιλικῷ F.

omni ratione. quippe si nobiscum recte possemus expendere quod hominem deus terrestrium regem constituerit, ornatum ab se prius immortalitate, non heic mortalitatis quicquam immisceremus, non de condito ad imaginem dei quidquam absurdi cogitaremus. facit huc Iohannis Chrysostomi locus, qui in oratione XXI de sex dierum operibus exstat. cum hominem, inquit, creasset deus, voluit eum in res universas adspectabiles imperium habere. iccirco etiam ei naturam et essentiam animae largitus est, quod eum perpetuo vellet immortalem esse. ac tametsi per secordiam lapsus sit mandatumque sibi praescriptum transgressus, non tamen ipsum prorsus aversatus est, sed immortalitate spoliatum ac morte damnatum propemodum in eodem imperio reliquit.

Heic autem notandum quod non solum deus ipsum constituere voluerit adspectabilium regem, sed etiam hoc imperium ei concessum absolute fuisse rebus ipsis declararit. quippe ad ipsum animalia cuncta deduxit, tametsi quid secuturum esset non ignoraret. quo factum ut omnia servilem in modum ipsi adstantia suas per ipsum appellationes acceperint. ita per mentem intelligentiae vi praeditam deus hominem etiam immortalitate ornavit. quanquam enim futuram non multo

οὐ θέλει προαιρέσεως, τὴν ἑαυτοῦ βουλὴν ἐπ' αὐτῷ θεοπρε-
πῶς ἐκπληροῖ, καὶ ψυχῆς αὐτῷ, καθὰ δὴ καὶ προείρηται,
μεταδίδωσι νοερᾶς, ὡς ἐντεῦθεν αὐτὸν εἶναι καὶ ἀθάνατον
εἰς τὸ διηνεκές. ἀλλὰ γὰρ τίνος ἕνεκεν ἄρχοντα τῶν ἐπιγεί-
ων ἐποίησε καὶ ἀθάνατον αὐτίκα τὸν ἄνθρωπον; ἵνα μάθω-
μεν ἐντεῦθεν ὅτι καὶ ὁ ποιήσας ἡμᾶς θεὸς πασῶν ἄρχει τῶν
ἄνω δυνάμεων, καὶ ὅτι ἀθάνατός ἐστι καὶ ἄφθαρτος καὶ P. 89
ἀνώλεθρος. ἐπὶ τούτῳ γὰρ καὶ προλαβὼν χοῦν ἔλεγε „κατ'
οἰκείαν εἰκόνα ποιήσωμεν τὸν ἄνθρωπον." ὃ δὴ καὶ ὁ Σολο-
μὼν εἰδὼς „ὁ θεὸς" ἔλεγε „θάνατον οὐκ ἐποίησεν, ἀλλ' ἐπ'
ἀφθαρσίᾳ τὸν ἄνθρωπον ἔκτισε κατ' εἰκόνα τῆς ἀϊδιότητος
αὐτοῦ." πλὴν εἰ καὶ θανάτῳ κατεδίκασε μετὰ ταῦτα τὸν ἄν-
θρωπον, ἀλλ' οὐκ ἀφῆκεν αὐτὸν ἀπαραμύθητον εἶναι μέχρι
πολλοῦ. μετατίθησι γὰρ τὸν Ἐνώχ, καὶ τηνικαῦτα τὴν θνητὴν
ἐδίδασκε φύσιν ἡμῶν ἀθανασίαν ἐκείνην ἐκδέχεσθαι ἧς ἐξέ-
πεσε διὰ τὴν παράβασιν. καὶ ἄκουε τί περὶ τούτων φησὶν
ὁ μέγας Ἀθανάσιος ἐν τῷ εἰς τὴν ἀνάληψιν λόγῳ αὐτοῦ. B
„θάνατος μὲν εἰσῆλθε διὰ τὴν παρακοήν, λύων δὲ ὅμως τὴν
τῆς ἀπειλῆς ἀκμὴν ὁ θεὸς ἐλπίδα εὐθὺς ἀθανασίας ἀνέτειλε
τῷ γένει, καὶ τὸν Ἐνὼχ ἐκ μέσου ἁρπάζει, κἀντεῦθεν τὴν
θνητὴν ἐδίδασκε φύσιν ὅρους ἀθανασίας ἅμα ἐκδέχεσθαι."
ταῦτα μὲν οὖν ἐπιβεβαιοῦσι καὶ οἱ μαθηταὶ Χριστοῦ λέγοντες

8. τοῦτο P.

post exorbitationem non nesciret, tamen cum ob solum cogitationis institutum damnare non vellet, consentanea deo ratione consilium suum perficit; adeoque mentis participem, ut diximus, animam ei largitur, ut omnino immortalis esset. enimvero cur hominem statim ab initio regem terrestrium et immortalem condidit? ut hinc discamus etiam opificem illum nostri deum cunctis illis supernis potestatibus cum imperio praeesse, necnon eundem esse immortalem omnisque expertem interitus. nam ea de causa pulvere sumpto inquit „faciamus hominem ad imaginem nostram." quod cum Solomo non ignoraret, „deus" ait „mortem non condidit, sed in statu interitus experte ad imaginem aeternitatis suae hominem creavit." ac tametsi deinceps eum ad mortem damnavit, non tamen diu consolationis egere permisit. nam transfert Enochum, eaque re naturam nostram condocefacit ut immortalitatem illam exspectet, quapropter inobedientiam excidit. audi quid hac in parte magnus ille Athanasius in oratione sua de Assumptione tradat. „mors quidem intravit per inobedientiam, verum nihilominus suae comminationis vigorem laxans deus statim humano generi spem immortalitatis oriri facit, dum Enochum e medio rapit, eoque pacto nos docet metas immortalitatis exspectandas

ὅτι τὴν ἀπαφθάρτησιν ἡμῶν καὶ πολυζωΐαν τὰ κατὰ τὸν Ἐνὼχ καὶ Ἠλίαν ἐναργῶς παριστᾷ. πρόσεχε οὖν· τὴν γὰρ ἀπαφθάρτησιν ἡμῶν καὶ ἀπαθανάτησιν ἀπὸ θεοῦ λαβὼν ὁ Ἐνὼχ διὰ τῆς μεταθέσεως τὴν θνητὴν ἐδίδασκε φύσιν ἡμῶν, ὡς ἤδη προείρηται, ὅρους ἀθανασίας ἐκδέχεσθαι. καὶ οὗτοι μὲν οὕτως, ὁ δὲ χρυσορρήμων Ἰωάννης ἀριδηλότερον ἔδειξεν ὅτι τὴν ἀπαφθάρτησιν ταύτην ὁ πρῶτος ἐκεῖνος εἶχεν ἄνθρωπος, οὕτω κατὰ λέξιν εἰπὼν „εὐηρέστησεν Ἐνὼχ τῷ θεῷ, καὶ C μετατίθεται. καὶ ὅρα δεσπότου ἀγαθότητα. εὑρὼν γὰρ ἄνδρα τὴν ἀρετὴν κατωρθωκότα οὐκ ἀπεστέρησεν αὐτὸν τῆς ἀξίας ἣν τῷ πρωτοπλάστῳ ἐχαρίσατο πρὸ τῆς παραβάσεως τῆς ἐντολῆς." εἰ δὲ τοῦτο οὕτως ἔχει, τί χρὴ καὶ λέγειν; εἰ γὰρ ὁ πρῶτος ἐκεῖνος ἄνθρωπος τὴν ἀπαφθάρτησιν εἶχε ταύτην, ἣν ἐκδέχεσθαι τὴν θνητὴν φύσιν ἐδίδασκε μετατεθεὶς ὁ Ἐνώχ, φαίνεται πάντως ὅτι τοιοῦτος ὑπὸ θεοῦ παρήχθη κατ' ἀρχὰς ὁ ἄνθρωπος ὁποῖον αὐτὸν ἐκ νεκρῶν ἐγερθῆναι τὰ θεῖα φάσκουσι λόγια. μὴ οὖν ἀπίστει τοῖς λεγομένοις. ὅρα γὰρ ὅτι καὶ ὁ Σιναΐτης θεῖος Ἀναστάσιος ἐν τῷ περὶ ἀναστάσεως λόγῳ αὐτοῦ τὸν περὶ τούτου λόγον ἀριδηλότερον ποιεῖται, καὶ D οὕτω φησί „τοιοῦτον ἐκ νεκρῶν ἐγήγερται τὸ σῶμα τὸ πεσόν, ὁποῖον ἦν ἀπ' ἀρχῆς, ἀποβαλόμενον ἅπαν ὅπερ ἔφθασε διὰ τὴν ἁμαρτίαν ἐπισυμβῆναι αὐτῷ." πρόσεχε οὖν. εἰ γὰρ τοιοῦτον ἐγήγερται ὁποῖον ἦν ἀπ' ἀρχῆς, τὸ δὲ ἐγειρόμενον ἐκεῖνο

21. ἀποβαλλόμενον P.

nobis esse." confirmant haec et Christi discipuli, cum dicunt ea quae Enocho et Eliae acciderint, repraesentare nobis insigniter liberationem nostri ab interitu et vitam illam perpetuam. ac de his quidem in hunc modum illi disseruerunt. Iohannes autem Chrysostomus exposuit etiam illustrius hominem primum hac ab interitu immunitate praeditum fuisse, idque per haec ipsa verba. „placuit Enochus deo, propterea transfertur. heic mihi domini bonitatem intuere. cum enim reperisset hominem egregia virtute praeditum, non ea dignitate spoliat ipsum quam ante mandati violationem homini primum formato largitus fuerat." quodsi ita est, quid verbis est opus? nam si primus homo immunitatem illam ab interitu habuit, quam ut homines exspectent Enochus translatus docuit, omnino perspicuum est quod a deo talis conditus ab initio fuerit, qualem ex mortuis resurrecturum oracula divina tradunt. his tu fidem derogare noli. nam et Anastasius ille Sinaites in oratione sua de resurrectione verbis his eadem apertissime tractat. tale suscitatum est ex mortuis corpus, dudum collapsum, quale ab initio erat, reiectis atque depositis omnibus quae prius ei per peccatum accidere. velim his mihi verbis animum

σῶμα τότε θανάτου καὶ φθορᾶς ἄμεινον ἐγερθῆναι ὡμολόγηται,
καὶ βεβαιοῖ τὸν λόγον ὁ πάμμεγας Παῦλος οὕτω λέγων „δεῖ
τὸ φθαρτὸν τοῦτο ἐνδύσασθαι ἀφθαρσίαν καὶ τὸ θνητὸν τοῦτο
ἐνδύσασθαι ἀθανασίαν,” εὔδηλον πάντως ὅτι καὶ τὸ σῶμα
ἐκεῖνο, λέγω δὴ τὸ πρώτως ὑπὸ θεοῦ ποιηθέν, ἀθάνατον ἀλη-
θῶς ὑπῆρχε καὶ ἄφθαρτον, ὡς ἤδη πολλάκις εἰρήκαμεν. αὐ-
τὸ τοῦτο παρίστησι καὶ Νυσσαεὺς θεῖος Γρηγόριος, ἡνίκα P. 90
καὶ μᾶλλον εὕρηται τὸ τοῦ Ἐκκλησιαστικοῦ ῥητὸν ἐπεξηγού-
μενος τὸ διαλαμβάνον οὕτως ἐν λέξεσι „τί τὸ γεγονός; αὐτὸ
τὸ γενησόμενον. καὶ τί τὸ πεποιημένον; αὐτὸ τὸ ποιηθησό- V. 70
μενον.” λέγει γὰρ ὅτι χειρὶ θεοῦ πεποιημένος ἄνθρωπος οὐχ
ὃ νῦν ἐστὶ διὰ τὴν ἁμαρτίαν, ἤγουν τρεπτὸς καὶ φθαρτός,
τοῦτο ἦν ἀπ' ἀρχῆς, ἀλλ' ὃ ποιηθήσεται ὕστερον, ἄτρεπτος
δηλονότι καὶ ἄφθαρτος. εἴπερ οὖν ὁ θεὸς ἐπ' ἀφθαρσίᾳ τὸν
ἄνθρωπον ἔκτισε, κατ' εἰκόνα τῆς ἀϊδιότητος αὐτοῦ, καθά
φησι Σολομών· εἴπερ οὖν ἔδειξε τὸ οἰκεῖον φιλότιμον μετα-
δοὺς αὐτῷ ψυχῆς νοερᾶς ὡς εἶναι καὶ ἀθάνατον ἐς τὸ διη- B
νεκές, ὡς ὁ χρυσοῦς τὴν γλῶττάν φησιν· εἴπερ οὖν ζωῆς
αἰωνίου ἀπόλαυσιν ἐχαρίσατο τῷ ἀνθρώπῳ κατ' ἀρχὰς ὁ θε-
ός, ὡς ὁ μέγας φησὶ Βασίλειος· εἴπερ οὖν ἡ πρώτη ποίησις
τοῦ Ἀδὰμ ἄφθαρτος ἦν, ὡς ὁ Σιναΐτης φησὶ θεῖος Ἀναστά-
σιος· εἴπερ οὖν ἀξίωμα δέδωκε τῷ ἀνθρώπῳ κατ' ἀρχὰς ὁ

advertas. si tali suscitatum est quale ab initio erat, etsi corpus illud, quod excitatur, sic suscitari constat ut supra mortem interitumque positum sit, quod ipsum magnus ille Paulus confirmat (1 Cor. 15 53) hisce verbis „oportet hoc corruptibile incorruptibili natura et hoc mortale immortalitate indui,” plane perspicuum est etiam corpus illud, quod est omnium primo factum a deo, revera immortale ac interitus expers fuisse, sicuti iam saepe diximus. idem et Nyssensis ille Gregorius tradit, ubi dictum illud Ecclesiastae (1 9) declarat, cuius haec verba sunt „quid est quod fuit? idem illud quod erit. quid factum? idem illud quod fiet.” inquit enim hoc loco manu dei factum hominem, non quod nunc propter peccatum est, nimirum mutationi et interitui obnoxius, ab initio fuisse, sed quod deinceps efficietur, expers scilicet mutationis et interitus. quapropter si deus in statu interitus experte condidit hominem ad imaginem aeternitatis suae, quemadmodum Solomo loquitur; si honorem ei proprium detulit, communicata cum ipso anima intelligentiae vi praedita, quo perpetuo immortalis esset, quemadmodum Chrysostomus ait; si aeternae vitae fruitionem largitus est homini ab initio deus, ut magnus ille Basilius loquitur; si Adami prima creatio interitus erat expers, ut Anastasius ille Sinaites inquit; si dignitatem hanc ab initio deus

θεὸς τὸ ἀθάνατον καὶ ἀνώλεθρον, ὡς ὁ θεῖος Ἀνδρέας εὕρηται λέγων· εἴπερ αὐτεξουσιότητι καὶ ἀθανασίᾳ τιμήσας τὸν ἄνθρωπον ὁ θεὸς βασιλέα πάντων τῶν ἐπιγείων κατέστησε, καθάπερ ὁ μακάριός φησι Βαρλαάμ, πῶς λοιπὸν θνητὸν αὐτὸν ὁμοῦ καὶ ἀθάνατον ὑπὸ θεοῦ παραχθῆναι εἴπωμεν; C ἀνένδεκτον, ὡς οἶμαι, τοῦτο καὶ λίαν ἐστί. καὶ πῶς γὰρ οὐκ ἀνένδεκτον, εἴγε καὶ ὁ πολὺς ἐν θεολογίᾳ Γρηγόριος οὐκ ἐᾷ περὶ τοῦ πρώτου ἀνθρώπου τοιαῦτα φαντάζεσθαι. παντὸς γὰρ ἐπικαλύμματος καὶ προβλήματος ἀνενδεᾶ τὸν ἀπ' ἀρχῆς ἐκεῖνον εἰπὼν εἶναι, ἔδειξε προφανῶς ὅτι στολὴν ἀθανασίας ἠμφιεσμένος ἦν ὁ πρῶτος ὑπὸ θεοῦ δημιουργηθεὶς ἄνθρωπος. ἀλλ' ἐπὶ τούτοις ἀντιλέγειν οὐ θεμιτόν. ἢ γὰρ ὑπέκειτο τὸ σῶμα ἐκεῖνο πάθεσι φυσικοῖς καὶ φθαρτὸν ὁμολογουμένως ἦν, ἢ παθῶν παντοίων ὑπέρτερον ἦν, ὡς ὁ λόγος ἤδη διείληφε. καὶ περὶ ἀφθαρσίας ἀμφιβάλλειν οὐ χρή· φαίνεται γὰρ ὅτι φθορᾷ οἱαδήποτε μὴ ὑποκείμενον ἀληθῶς ἄφθαρτον ἦν.

D Οὕτω μὲν οὖν, ἀγαπητέ, καὶ τὸ σῶμα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ φθαρτὸν ὡμολόγηται πρὸ τοῦ πάθους, ἐπειδὴ πάθεσι φυσικοῖς ὑπέκειτο, καὶ ἄφθαρτον αὖθις μετὰ τὸ πάθος καὶ τὴν ἀνάστασιν· καὶ τοιαῦτα γὰρ ἀπέθετο πάθη παντάπασιν ἐκ νεκρῶν ἐγερθέν. ἐνθέν τοι καὶ γυμνὸν ἐκ

21. καὶ τοι] τά?

homini dedit ut immortalis et incorruptibilis esset, ut vir divinus Andreas dixisse reperitur; si hominem deus libertate voluntatis donatum et exornatum immortalitate regem omnium terrestrium constituit, quemadmodum vir beatus Barlaamus praedicat, quo tandem ore pariter eum mortalem ac immortalem a deo conditum dicemus? nequit hoc ullo pacto fieri, quando peritissimus ille rerum divinarum Gregorius eiusmodi nos de homine illo principe imaginari non sinit. cum enim illum nullo vel tegumento vel vestitu indiguisse tradit, clare demonstrat ornatu immortalitatis amictum fuisse. enimvero his contradicere velle iniquum fuerit. nam vel corpus illud adfectionibus hisce naturalibus subiectum erat, et pro confesso statuetur obnoxium corruptioni fuisse: vel supra omnes adfectiones erat positum, quemadmodum oratione superiori est declaratum. itaque de incorruptibilitate ipsius minime dubitandum est, cum manifesto pateat interitui nulli reapse subiectum fuisse.

Eodem modo, dilecte fili, corpus etiam domini nostri Iesu Christi corruptibile fuisse fatemur ante passionem, cum adfectionibus naturalibus subiectum fuerit, ac rursum post passionem et resurrectionem incorruptibile. nam adfectiones eiusmodi prorsus deposuit ex

τάφου ἐξέθορεν, ἐκεῖσε παντάπασι καταλιπὼν τὰ ἐντάφια· καὶ γὰρ ἄφθαρτον, ὡς εἴρηται, γεγονὸς ἐπικαλύμματος οἱουδή τινος οὐκ ἦν ἐνδεές.

Ἀλλὰ τί χρὴ πολλὰ λέγειν; εἴπερ οὖν ὁ πρῶτος ἐκεῖνος Ἀδὰμ θνητὸς ὁμοῦ καὶ ἀθάνατος ἦν, εἴπερ οὖν φυσικοῖς ὑπέκειτο πάθεσι κατά γε τὴν τῶν πλειόνων ὑπόληψιν, ἀνάγκη πᾶσα καὶ τὰ ἡμέτερα μετὰ ταῦτα τοιαύτης ἐπιτεύξεσθαι P. 91 λήξεως, εἴγε πρὸς ἐκεῖνον ἔχουσι τὸν πρῶτον Ἀδὰμ δηλαδὴ τὴν ἐπάνοδον. ἀλλὰ γὰρ ἐπὶ τούτοις τοιοῦτόν τι λέγειν οὐ δίκαιον, εἴγε καὶ πρὸ τοῦ λόγου πείθειν ἡμᾶς ἱκανὰ καὶ λίαν αὐτὰ τυγχάνει τὰ πράγματα. εἰ γὰρ ὁ φθορᾷ ὑποκείμενος οὗτος ἄνθρωπος χωννύμενος τῇ γῇ καὶ σηπόμενος ἄφθαρτος ἐκ νεκρῶν ἐγήγερται καὶ ἀθάνατος, καὶ πιστοῖ τὸν λόγον ὁ μακάριος Παῦλος οὕτω περὶ τούτου λέγων „σπείρεται ἐν φθορᾷ, ἐγείρεται ἐν ἀφθαρσίᾳ," εὔδηλον πάντως ὅτι καὶ ὁ πρὸ τῆς ἁμαρτίας ἐκεῖνος Ἀδὰμ τοιοῦτος ἦν ἀπ' ἀρχῆς ἄφθαρτος δηλαδὴ καὶ ἀθάνατος. καὶ μὴ θαύμαζε τούτου ἕνεκεν, εἴγε καὶ σπέρμα τῇ γῇ καταβαλλόμενον τοιοῦτον ἀναδί- B δοσθαι εἴωθεν ὁποῖον ἄρα καὶ πρότερον ἐτύγχανεν εἶναι. εἴτε γὰρ σίτου κόκκον εἴποις εἴτε κρίθους, εἰ ἕτερον σπέρμα οἱονδήποτε, ἐκεῖσε πάντως ἐπανέρχεσθαι πέφυκεν ὅθεν δηλονότι ἐκπέπτωκεν.

8. εἴιε P. 20. κριθῆς?

mortuis suscitatum. qua ipsa de causa nudum e sepulcro exsiliit, relictis in eo cunctis sepulcralibus exuviis: quippe iam factum incorruptibile, ceu diximus, non tegumenti ullius egebat.

Quid multis verbis opus est? si primus ille Adamus pariter mortalis erat et immortalis, si naturalibus adfectionibus obnoxius erat, ut multi opinantur, omnino necessarium est statuamus nostra quoque corpora deinceps condicionis eiusdem futura, si quidem ad statum primi illius Adami revertentur. id vero dici nefas fuerit, quando etiam oratione deficiente fidem facere nobis ipsae res abunde possunt. quippe si homo hic obnoxius interitui, posteaquam defossus in terram fuerit et computruerit, incorruptibilis et immortalis ex mortuis suscitatur, beato Paulo hoc ipsum verbis hisce comprobante (1 Cor. 15 42) „seritur in mortalitate, suscitatur in immortalitate," clarissime patet etiam Adamum ante peccatum talem ab initio fuisse, nimirum incorruptibilem et immortalem. neque mirum hoc tibi videatur, quando etiam coniectum in terram semen tale consuevit oriri quale prius erat. nam sive tritici granum appelles sive hordei sive aliud quodvis semen, illud ipsum e terra prodit quod in eam coniectum fuerat.

Ἀλλὰ μὴ μῦθον ἡγοῦ τὰ λεγόμενα. ὅρα γὰρ ὅτι καὶ ὁ μέγας Ἀθανάσιος ἀποδεῖξαι θέλων ὅτι ἐξ ἀφθάρτου φθαρ-
V. 71 τοὶ γεγόναμεν καὶ ὅτι ἀπὸ φθαρτοῦ πάλιν ἄφθαρτοι ἀνιστάμεθα, τῷ τοῦ κόκκου ὑποδείγματι καὶ μάλα προσφυῶς ἐχρήσατο, πρὸς Ἀντίοχον οὕτως εἰπὼν „ὥσπερ ἐπὶ τοῦ κόκκου
C στάχυν ἐποίησεν ἀπ' ἀρχῆς ὁ θεός, τοῦ δὲ στάχυος συντριβέντος γέγονεν ὁ κόκκος, καὶ πάλιν ὁ κόκκος σπειρόμενος ἀναβλαστάνει στάχυν, οὕτως ὑπὸ θεοῦ ὁ ἄνθρωπος γέγονεν ἄφθαρτος, εἶτα δὲ διὰ τῆς παρακοῆς συνειρίβη καὶ φθορᾷ περιέπεσε, σπειρόμενος δὲ διὰ τοῦ θανάτου καὶ τῇ γῇ καταχωννύμενος ἀναβλαστάνει, καὶ γίνεται ὥσπερ ἦν ἄφθαρτος ἀπ' ἀρχῆς." καὶ μή μοι λέγε ὡς εἴγε τέως ἀθάνατος ἦν, πῶς ὑπέπεσε μετὰ ταῦτα φθορᾷ καὶ θνητότητι; ἄφες τὸ πῶς. θεὸς ἦν ὁ εἰπὼν „ᾗ δ' ἂν ἡμέρᾳ φάγητε ἀπὸ τοῦ φυτοῦ, θανάτῳ ἀποθανεῖσθε." καὶ σὺ λέγεις ὅτι πῶς ὁ ἀθάνατος ἐγεγόνει θνητός; ἄφες τὸ πῶς· ὁ χρυσορρήμων Ἰωάν-
D νης ἐν τῷ εἰς τὴν ἐξορίαν τοῦ Ἀδὰμ λόγῳ αὐτοῦ τὴν ἀπορίαν ἐπιλύσει σοι ταύτην, οὕτω λέγων „παρέβη τὴν ἐντολὴν ὁ Ἀδάμ, ἔφαγεν ἀφ' οὗ παρηγγέλθη μὴ φαγεῖν, καὶ τούτου χάριν ὁ ἀθάνατος ἐγεγόνει θνητός." ἄφες τὸ πῶς, ἵνα μὴ καὶ ἐπὶ τῷδε τῷ θνητῷ σώματι πλείονι συσχεθῇς ἀπορίᾳ, πῶς ἀναστήσεται λέγων ἀθάνατον ἐκ νεκρῶν, εἴγε θνητόν

16. τὸ] καὶ P.

Haec fabulosa tibi nequaquam videantur. etenim magnus etiam Athanasius ille probare volens, nos ex incorruptibili natura corruptibiles factos esse ac vicissim ex corruptibili resurrecturos incorruptibiles, grani similitudine quam aptissime usus est, in hunc modum ad Antiochum disserens. „quemadmodum grano spicam ab initio deus adiunxit, et contrita spica granum consitum rursus spicam producit, sic homo divinitus incorruptibilis factus est, deinde per inobedientiam attritus interiit. verum ubi per mortem seritur et terra defoditur, repullulat et incorruptibilis fit, qualis ab initio erat." noli hoc loco mihi obiicere: si erat antea immortalis, quo pacto deinceps interitui mortalitatique factus est obnoxius? hanc tu mihi vocem, quo pacto, missam facito. nam deus erat, qui dixerat (Gen. 2 17) „quocunque die vescemini hac arbore, morte multabimini." et audes tu mihi obiicere, quo pacto mortalis factus sit qui immortalis erat? desine, quo pacto, interrogare. Iohannes ille Chrysostomus in oratione sua de Adami exsilio dubitationem hanc tibi solvet. transgressus est, inquit, mandatum Adamus; comedit a quo iussus erat abstinere: propterea qui immortalis erat, mortalis factus est. quonam id pacto percunctari desine, ne forte de hoc mortali corpore magis etiam haesites, et quonam pacto resurrecturum sit ex mortuis immortale quae-

ἐστι καὶ φθαρτόν; ὁ γὰρ ἀμφιβάλλων ἐπ' ἐκείνῳ πῶς ἀθά-
νατος ἐγεγόνει θνητός, ἐξ ἀνάγκης ἂν ἀπορήσειε καὶ ἐπὶ τού-
τῳ. οὐκοῦν ἄφες τὸ πῶς. ὁ θεὸς ὅπου, ἐκεῖσε χώραν οὐκ
ἔχει τὸ πῶς. ἔπλασε μὲν γὰρ ἐπ' ἀφθαρσίᾳ τὸν ἄνθρωπον
ὁ θεός, ἄρχοντα τῶν ἐπιγείων πάντων κατέστησε, διηνεκῆ
δέδωκε τὴν ἀθανασίαν αὐτῷ, καθάπερ ἄνω διείληπται· καὶ P. 92
εἶχε μὲν εἰς αἰῶνας οὕτω κατ' αὐτόν, ὅτι καὶ ἀμεταμέλητα
τὰ θεῖα χαρίσματα. ἀλλ' ἐπειδὴ πρὸς ἁμαρτίαν αὐτὸν ἑώρα
κατολισθαίνοντα κἀντεῦθεν ἐκπίπτοντα τῆς ὑψηλῆς ἐκείνης
καὶ ἰσαγγέλου διαγωγῆς, παραχωρεῖ διὰ τοῦτο καὶ λαμβάνει
κατ' αὐτοῦ χώραν ὁ θάνατος, ὅτι μηδὲ συνέφερεν ἔκτοτε διη-
νεκῆ προσεῖναι τὴν ἀθανασίαν αὐτῷ. καὶ γὰρ εἰ μὴ γέγονέ
τι τοιοῦτον, εἰ μὴ συγχώρησις ἐκεῖθεν ἐδίδοτο φιλανθρωπίας
ἕνεκεν, ἵνα μὴ ἀθάνατον ᾖ τὸ κακόν, οὐκ ἂν ἐκείνῳ τῷ πρώ-
τῳ Ἀδάμ, τῷ ἐπ' ἀφθαρσίᾳ κτισθέντι κατ' εἰκόνα τῆς ἀϊδιό- B
τητος τοῦ θεοῦ, προσήγγισε θάνατος· οὐκ ἂν ὑπέπεσε φθο-
ρᾷ τὸ σῶμα ἐκεῖνο τὸ φθορᾶς καὶ θανάτου ἄμεινον ὑπάρχον
τὸ πρότερον. εἰ δὲ ταῦτα οὕτως ἔχει, πῶς ἀθάνατον αὐτὸν
ὁμοῦ καὶ θνητὸν ὑπὸ θεοῦ παραχθῆναι εἴπωμεν; εἰ γὰρ καὶ
θανάτῳ ὑπέπεσε μὴ φυλάξας τὴν δοθεῖσαν αὐτῷ ἐντολήν,
ἀλλ' ὕστατον τῆς οἰκονομίας, ὡς ἤδη προείρηται, τοῦτο πάν-

5. διηνεκῆ δὲ δέδωκε P. 21. ὑστάτης F.

ras, cum mortale sit et corruptibile. nam qui de eo dubitat, quo pacto qui immortalis erat mortalis factus sit, necessario de hoc etiam dubitaverit, nec resuscitationem ipsius ex mortuis facile admittendam existimaverit. quamobrem illud tuum, quo pacto, missum facito. ubi deus, ibi quo pacto locum non habet. condidit enim deus hominem ad statum interitus expertem, omnium terrestrium principem constituit, perpetuam ei largitus est immortalitatem, uti supra declaratum est, ipsum denique quod attinet, habiturus hanc erat homo saeculis aeternis, cum munera dei sint irrevocabilia: sed quia videbat eum ad peccatum delabi ac propterea sublimi illo vitae genere, quod angelorum vitae par erat, excidere, ipso concedente mors adversus eum occasionem arripit. quippe ne expediebat quidem hominem ex eo tempore immortalem esse. nam nisi tale quiddam accidisset, nisi condonatio deinceps facta fuisset ex benevolentia, ne malum perpetuum foret, nequaquam permisisset deus ut mors ad hominem primum in statu experte interitus conditum ad imaginem aeternitatis dei accederet; nec corpus illud supra mortem et interitum omnem prius positum corruptioni factum fuisset obnoxium. quae cum ita sint, quo tandem pacto dicemus eum mortalem pariter et immortalem esse conditum a deo? quanquam enim non servato mandato sibi praescripto in mortem incidit, tamen hoc ipsum referri debere ad posterio-

τες εὑρήσομεν, εἴγε τῇ ἀκολουθίᾳ προσέχειν αἱρούμεθα τῆς ἁγίας γραφῆς. οὐδὲ γὰρ ὅτε παρῆγε τὸν ἄνθρωπον ὁ θεός, ὡς ἄνω δεδήλωται, τότε πρὸς αὐτὸν ἔλεγεν „ᾗ δ' ἂν ἡμέρᾳ φάγητε ἀπὸ τοῦ φυτοῦ, θανάτῳ ἀποθανεῖσθε," ἀλλὰ πολλῷ
C μετὰ τὴν αὐτοῦ παραγωγὴν ὕστερον. μετὰ γὰρ τὸ καθίσαι βασιλέα, μετὰ τὸ ἀναχθῆναι τὰ ζῷα πρὸς αὐτόν, μετὰ τὸ πέρας ἐπ' αὐτῷ δέξασθαι τὰ τῆς θείας βουλῆς, τότε πρὸς αὐτὸν ἡ τοιαύτη γέγονε θεία φωνή, τότε δὴ τότε καὶ χώραν ὁ θάνατος ἐλάμβανε κατ' αὐτοῦ. διὰ τί δὲ ταῦτα, καὶ τίνος ἕνεκεν; ἵνα μὴ ἀθανάτου μείναντος αὐτοῦ μετὰ τὴν παράβασιν μείνῃ σὺν αὐτῷ καὶ τὸ κακὸν ἐξ ἀνάγκης ἀθάνατον.

V. 72 Ὅτι δὲ ἀθάνατος ἔμελλε μεῖναι μετὰ τὴν ἁμαρτίαν ὁ ἄνθρωπος, εἰ μὴ γέγονέ τις οἰκονομία θεία ὥστε μὴ καὶ ἡμᾶς ἀθάνατα πάσχειν κατὰ τοὺς ἐκπεσόντας ἀγγέλους, ὁ Νύσσης θεῖος Γρηγόριος τοῖς ἀμαθέσι δίδωσι τέως ἡμῖν ἐννοεῖν.
D „ἐπειδὴ γὰρ ἐν τοῖς ἀπηγορευμένοις" φησὶ „γεγόνασιν οἱ πρῶτοι ἄνθρωποι καὶ τῆς μακαριότητος ἐκείνης ἀπεγυμνώθησαν, χιτῶνας δερματίνους ἤγουν τὴν ἀπὸ τῶν ζώων νεκρότητα οἰκονομικῶς ἐνέθηκε τῇ εἰς ἀθανασίαν κτισθείσῃ φύσει, ἵνα μὴ τὸ κακὸν ἀθάνατον ᾖ." καλῶς δὲ εἶπεν οἰκονομικῶς ὁ θεῖος οὗτος ἀνήρ· κηδόμενος γὰρ ἡμῶν ὁ θεός, ὥστε μὴ ἁμαρτάνειν ἀθάνατα καὶ ὥστε μὴ συμπαραμένειν

6. τὸ ἐς πέρας P.

rem illam administrationem, uti superius indicatum est, reperiemus, si quidem seriei sacrarum litterarum advertere animum volemus. non enim tum quum conderet hominem deus, ut antea dicebamus, his ad ipsum verbis usus est (Gen. 2 17) „quacunque die vescemini hac arbore, morte multabimini," sed aliquanto post eius creationem interiecto tempore. posteaquam enim regem ipsum constituerat, posteaquam animalia cuncta deduxerat ad eum, posteaquam divinum de ipso consilium ad exitum perductum erat, tum demum hac eum voce compellat. simul adversus ipsum id temporis mors locum invenit. quamobrem hoc? ne si mansisset immortalis post transgressionem, necessario peccatum quoque cum ipso sine fine maneret.

Et vero immortalem futurum fuisse hominem etiam post peccatum, nisi dispensatio divina quaedam accessisset, ne ipsi quoque perpetuis poenis subiiceremur, ut angelis lapsis accidit, divinus ille vir, Gregorius antistes Nyssenus ostendit. posteaquam, ait, homines illi principes vetita commiserunt ac beatitate sua nudati sunt, pelliceis tunicis, hoc est animalium mortalitate, certo quodam consilio et dispensatione deus naturam ad immortalitatem conditam induit, ne malum perpetuo duraret. quibus in verbis praeclare dictum fe-

εἰς αἰῶνας τῇ ἐπωδύνῳ ταύτῃ καὶ μοχθηρᾷ βιοτῇ, καθὰ δὴ καὶ ὁ χρυσοῦς τὴν γλῶττάν φησι, παραχωρεῖ τῷ θανάτῳ κατὰ τοῦ ἀθανάτου χωρῆσαι, καὶ γίνεται τούτῳ τῷ τρόπῳ θνητὸς ὁ ἀθάνατος καὶ φθαρτὸς ὁμοίως ὁ ἄφθαρτος. καὶ P. 93 πειθέτω ἡμᾶς ἐπὶ πλέον ὁ μέγας Βασίλειος οὕτω περὶ τούτου λέγων „οὐκ ἐκώλυσε δὲ τὸν θάνατον ὁ θεός, ἵνα μὴ ἀθάνατον ἡμῖν τὴν ἀρρωστίαν τηρήσῃ." ἐπὶ κέρδει λοιπὸν ὁ θάνατος, καὶ ἐπ' εὐεργεσίαν ἡ τιμωρία δίδοται κατὰ τὸν ἐν θεολογίᾳ μέγαν Γρηγόριον. ἐφ' ᾧ καὶ σκυθρωπάζειν ἐπὶ τούτοις οὐκ εὔλογον. εἰ γὰρ καὶ εἰς γῆν ὅθεν ἐλήφθημεν ἀποστρεφόμεθα κατὰ τὴν ἀρὰν ἐκείνην τὴν οὕτω λέγουσαν „γῆ εἶ καὶ εἰς γῆν ἀπελεύσῃ," ἀλλ' ἐκεῖθεν, ὡς ὁ χρυσορρήμων Ἰωάννης φησί, καὶ αὖθις ἀναλαμβανόμεθα, κἀντεῦθεν ἐπὶ τὸ βέλτιον μεταστοιχειούμεθα, καὶ τοιοῦτοι γινόμεθα πάλιν ὁποῖοι καὶ πρότερον ἦμεν, τουτέστιν ἄφθαρτοι καὶ ἀθά- B νατοι.

Ἀμφιβάλλειν οὖν ἐπὶ τούτοις οὐ δίκαιον, εἴγε καὶ μᾶλλον οἱ θεῖοι πατέρες οὐδὲν ἡμῖν ἕτερον ἐπαγγέλλεσθαι λέγουσι τὴν ἐκ νεκρῶν ἀνάστασιν ἢ τὴν πρὸς τὸ ἀρχαῖον τῶν πεπτωκότων ἀποκατάστασιν. καὶ πρόσχες, εἰ βούλει, πρὸ τῶν ἄλλων τῷ θειοτάτῳ Ἀναστασίῳ περὶ τούτων οὕτως λέγοντι „καὶ ἐποίησε τὸν ἄνθρωπον ὁ θεός· κατ' εἰκόνα θεοῦ

cisse deum hoc certo quodam consilio et dispensatione. nam sollicitus de nobis, ne forte perpetuo peccaremus neu tristis haec et aerumnosa vita duraret aeternum, uti Iohannes etiam Chrysostomus inquit, morti potestatem facit immortalem invadendi, atque hoc modo mortalis fit qui immortalis erat, et corruptibilis qui nulli erat interitui obnoxius. idem nobis etiam Basilius persuadeat, cuius haec verba sunt: mortem deus non prohibuit, ne infirmitas ac morbus ille noster aeternum duraret. quo fit ut in lucro mors poni debeat, et haec poena beneficii loco haberi, quemadmodum Gregorius ille cognomento Theologus scripsit; adeoque nos iccirco moerere non convenit. quamvis enim in terram, unde sumpti sumus, revertimur iuxta imprecationem illam dei (Gen. 3 19) „terra es et in terram redibis," tamen indidem, uti Chrysostomus scripsit, suscitamur ac meliorem ad condicionem transformamur, ita ut tales rursum evadamus quales eramus prius, hoc est interitus expertes et immortales.

Nihil igitur heic haesitandum, quando patres illi divini resurrectionem ex mortuis nihil aliud nobis polliceri tradunt quam lapsorum in integrum et condicionem pristinam restitutionem. vide, si placet, quid prae caeteris divinus ille vir Anastasius in hac parte dicat. fecit, inquit, hominem deus, et quidem eum ad imaginem dei

βασιλέα κατέστησε τῶν ἐπιγείων αὐτόν, ἀθανασίᾳ τιμήσας αὐτὸν πρότερον, οὐκ ἂν ἐκεῖσε καὶ θνητότητα παρεμιγνύομεν, οὐκ ἂν ἀσυλλόγιστα τὰ τοιαῦτα διενοούμεθα περὶ τοῦ γεγενημένου κατ' εἰκόνα θεοῦ. ἀλλὰ καὶ ὁ χρυσορρήμων Ἰωάννης αὐτὸ τοῦτο παρίστησι, διεξιὼν οὑτωσὶ κατὰ λέξιν ἐν τῇ εἰς
C τὴν ἑξαήμερον κα' ὁμιλίᾳ αὐτοῦ „δημιουργήσας τὸν ἄνθρωπον ὁ θεὸς ἠβουλήθη πάντων τῶν ὁρωμένων τὴν ἀρχὴν αὐτὸν ἔχειν. διὸ καὶ τὴν τῆς ψυχῆς οὐσίαν αὐτῷ ἐχαρίσατο, βουληθεὶς εἶναι αὐτὸν καὶ ἀθάνατον εἰς τὸ διηνεκές. ἀλλ' ἐπειδὴ διὰ ῥαθυμίαν ὤλισθε καὶ παρέβη τὴν δοθεῖσαν αὐτῷ ἐντολήν, οὐδὲ οὕτως ἀπεστράφη τέλεον αὐτόν, ἀλλὰ τῆς μὲν ἀθανασίας ἀπεστέρησε, θανάτῳ δὲ καταδικάσας ἐπὶ τῆς αὐτῆς ἀφῆκε σχεδὸν εἶναι ἀρχῆς.

Ἀλλ' ἐνταῦθα προσέχειν ἄξιον. οὐδὲ γὰρ ἠβουλήθη μόνον ὁ θεὸς βασιλέα καταστῆσαι τῶν ὁρωμένων αὐτόν, ἀλλὰ καὶ ἔργοις αὐτοῖς ἀπηρτισμένην ἔδειξε τὴν ἀρχήν. ἤγαγε
D γὰρ τὰ ζῷα πάντα τηνικαῦτα πρὸς αὐτόν, καίτοι γε τὸ μέλλον οὐκ ἀγνοῶν, καὶ οὕτω τὰ πάντα δουλικῷ παριστάμενα
V.69 σχήματι παρ' αὐτοῦ τὰς ἐπωνυμίας ἐδέχοντο. οὕτω μὲν οὖν ἔφθασε διά γε τῆς νοερᾶς ψυχῆς καὶ ἀθανασίᾳ τιμήσας αὐτόν. εἰ γὰρ καὶ τὴν γενησομένην αὐτοῦ μετ' οὐ πολὺ παρεκτροπὴν οὐκ ἦν ἀγνοῶν, ἀλλ' ἐπειδὴ καταδικάζειν ἐκ μόνης

18. δουλικῷ] βασιλικῷ F.

omni ratione. quippe si nobiscum recte possemus expendere quod hominem deus terrestrium regem constituerit, ornatum ab se prius immortalitate, non heic mortalitatis quicquam immisceremus, non de condito ad imaginem dei quidquam absurdi cogitaremus. facit huc Iohannis Chrysostomi locus, qui in oratione XXI de sex dierum operibus exstat. cum hominem, inquit, creasset deus, voluit eum in res universas adspectabiles imperium habere. iccirco etiam ei naturam et essentiam animae largitus est, quod eum perpetuo vellet immortalem esse. ac tametsi per secordiam lapsus sit mandatumque sibi praescriptum transgressus, non tamen ipsum prorsus aversatus est, sed immortalitate spoliatum ac morte damnatum propemodum in eodem imperio reliquit.

Heic autem notandum quod non solum deus ipsum constituere voluerit adspectabilium regem, sed etiam hoc imperium ei concessum absolute fuisse rebus ipsis declararit. quippe ad ipsum animalia cuncta deduxit, tametsi quid secuturum esset non ignoraret. quo factum ut omnia servilem in modum ipsi adstantia suas per ipsum appellationes acceperint. ita per mentem intelligentiae vi praeditam deus hominem etiam immortalitate ornavit. quanquam enim futuram non multo

οὐ θέλει προαιρέσεως, τὴν ἑαυτοῦ βουλὴν ἐπ' αὐτῷ θεοπρεπῶς ἐκπληροῖ, καὶ ψυχῆς αὐτῷ, καθὰ δὴ καὶ προείρηται, μεταδίδωσι νοερᾶς, ὡς ἐντεῦθεν αὐτὸν εἶναι καὶ ἀθάνατον εἰς τὸ διηνεκές. ἀλλὰ γὰρ τίνος ἕνεκεν ἄρχοντα τῶν ἐπιγείων ἐποίησε καὶ ἀθάνατον αὐτίκα τὸν ἄνθρωπον; ἵνα μάθωμεν ἐντεῦθεν ὅτι καὶ ὁ ποιήσας ἡμᾶς θεὸς πασῶν ἄρχει τῶν ἄνω δυνάμεων, καὶ ὅτι ἀθάνατός ἐστι καὶ ἄφθαρτος καὶ P. 89
ἀνώλεθρος. ἐπὶ τούτῳ γὰρ καὶ προλαβὼν χοῦν ἔλεγε „κατ' οἰκείαν εἰκόνα ποιήσωμεν τὸν ἄνθρωπον." ὃ δὴ καὶ ὁ Σολομὼν εἰδὼς „ὁ θεὸς" ἔλεγε „θάνατον οὐκ ἐποίησεν, ἀλλ' ἐπ' ἀφθαρσίᾳ τὸν ἄνθρωπον ἔκτισε κατ' εἰκόνα τῆς ἀϊδιότητος αὐτοῦ." πλὴν εἰ καὶ θανάτῳ κατεδίκασε μετὰ ταῦτα τὸν ἄνθρωπον, ἀλλ' οὐκ ἀφῆκεν αὐτὸν ἀπαραμύθητον εἶναι μέχρι πολλοῦ. μετατίθησι γὰρ τὸν Ἐνώχ, καὶ τηνικαῦτα τὴν θνητὴν ἐδίδασκε φύσιν ἡμῶν ἀθανασίαν ἐκείνην ἐκδέχεσθαι ἧς ἐξέπεσε διὰ τὴν παράβασιν. καὶ ἄκουε τί περὶ τούτων φησὶν ὁ μέγας Ἀθανάσιος ἐν τῷ εἰς τὴν ἀνάληψιν λόγῳ αὐτοῦ. B
„θάνατος μὲν εἰσῆλθε διὰ τὴν παρακοήν, λύων δὲ ὅμως τὴν τῆς ἀπειλῆς ἀκμὴν ὁ θεὸς ἐλπίδα εὐθὺς ἀθανασίας ἀνέτειλε τῷ γένει, καὶ τὸν Ἐνὼχ ἐκ μέσου ἁρπάζει, κἀντεῦθεν τὴν θνητὴν ἐδίδασκε φύσιν ὅρους ἀθανασίας ἅμα ἐκδέχεσθαι." ταῦτα μὲν οὖν ἐπιβεβαιοῦσι καὶ οἱ μαθηταὶ Χριστοῦ λέγοντες

8. τοῦτο P.

post exorbitationem non nesciret, tamen cum ob solum cogitationis institutum damnare non vellet, consentanea deo ratione consilium suum perficit; adeoque mentis participem, ut diximus, animam ei largitur, ut omnino immortalis esset. enimvero cur hominem statim ab initio regem terrestrium et immortalem condidit? ut hinc discamus etiam opificem illum nostri deum cunctis illis supernis potestatibus cum imperio praeesse, necnon eundem esse immortalem omnisque expertem interitus. nam ea de causa pulvere sumpto inquit „faciamus hominem ad imaginem nostram." quod cum Solomo non ignoraret, „deus" ait „mortem non condidit, sed in statu interitus experte ad imaginem aeternitatis suae hominem creavit." ac tametsi deinceps eum ad mortem damnavit, non tamen diu consolationis egere permisit. nam transfert Enochum, eaque re naturam nostram condocefacit ut immortalitatem illam exspectet, quapropter inobedientiam excidit. audi quid hac in parte magnus ille Athanasius in oratione sua de Assumptione tradat. „mors quidem intravit per inobedientiam, verum nihilominus suae comminationis vigorem laxans deus statim humano generi spem immortalitatis oriri facit, dum Enochum e medio rapit, eoque pacto nos docet metas immortalitatis exspectandas

ὅτι τὴν ἀπαφθάρτησιν ἡμῶν καὶ πολυζωΐαν τὰ κατὰ τὸν Ἐνὼχ καὶ Ἠλίαν ἐναργῶς παριστᾷ. πρόσεχε οὖν· τὴν γὰρ ἀπαφθάρτησιν ἡμῶν καὶ ἀπαθανάτησιν ἀπὸ θεοῦ λαβὼν ὁ Ἐνὼχ διὰ τῆς μεταθέσεως τὴν θνητὴν ἐδίδασκε φύσιν ἡμῶν, ὡς ἤδη προείρηται, ὅρους ἀθανασίας ἐκδέχεσθαι. καὶ οὗτοι μὲν οὕτως, ὁ δὲ χρυσορρήμων Ἰωάννης ἀριδηλότερον ἔδειξεν ὅτι τὴν ἀπαφθάρτησιν ταύτην ὁ πρῶτος ἐκεῖνος εἶχεν ἄνθρωπος, οὕτω κατὰ λέξιν εἰπὼν „εὐηρέστησεν Ἐνὼχ τῷ θεῷ, καὶ
C μετατίθεται. καὶ ὅρα δεσπότου ἀγαθότητα. εὑρὼν γὰρ ἄνδρα τὴν ἀρετὴν κατωρθωκότα οὐκ ἀπεστέρησεν αὐτὸν τῆς ἀξίας ἣν τῷ πρωτοπλάστῳ ἐχαρίσατο πρὸ τῆς παραβάσεως τῆς ἐντολῆς." εἰ δὲ τοῦτο οὕτως ἔχει, τί χρὴ καὶ λέγειν; εἰ γὰρ ὁ πρῶτος ἐκεῖνος ἄνθρωπος τὴν ἀπαφθάρτησιν εἶχε ταύτην, ἣν ἐκδέχεσθαι τὴν θνητὴν φύσιν ἐδίδασκε μετατεθεὶς ὁ Ἐνώχ, φαίνεται πάντως ὅτι τοιοῦτος ὑπὸ θεοῦ παρήχθη κατ' ἀρχὰς ὁ ἄνθρωπος ὁποῖον αὐτὸν ἐκ νεκρῶν ἐγερθῆναι τὰ θεῖα φάσκουσι λόγια. μὴ οὖν ἀπίστει τοῖς λεγομένοις. ὅρα γὰρ ὅτι καὶ ὁ Σιναΐτης θεῖος Ἀναστάσιος ἐν τῷ περὶ ἀναστάσεως λόγῳ αὐτοῦ τὸν περὶ τούτου λόγον ἀριδηλότερον ποιεῖται, καὶ
D οὕτω φησί „τοιοῦτον ἐκ νεκρῶν ἐγήγερται τὸ σῶμα τὸ πεσόν, ὁποῖον ἦν ἀπ' ἀρχῆς, ἀποβαλόμενον ἅπαν ὅπερ ἔφθασε διὰ τὴν ἁμαρτίαν ἐπισυμβῆναι αὐτῷ." πρόσεχε οὖν. εἰ γὰρ τοιοῦτον ἐγήγερται ὁποῖον ἦν ἀπ' ἀρχῆς, τὸ δὲ ἐγειρόμενον ἐκεῖνο

21. ἀποβαλλόμενον P.

nobis esse." confirmant haec et Christi discipuli, cum dicunt ea quae Enocho et Eliae acciderint, repraesentare nobis insigniter liberationem nostri ab interitu et vitam illam perpetuam. ac de his quidem in hunc modum illi disseruerunt. Iohannes autem Chrysostomus exposuit etiam illustrius hominem primum hac ab interitu immunitate praeditum fuisse, idque per haec ipsa verba. „placuit Enochus deo, propterea transfertur. heic mihi domini bonitatem intuere. cum enim reperisset hominem egregia virtute praeditum, non ea dignitate spoliat ipsum quam ante mandati violationem homini primum formato largitus fuerat." quodsi ita est, quid verbis est opus? nam si primus homo immunitatem illam ab interitu habuit, quam ut homines exspectent Enochus translatus docuit, omnino perspicuum est quod a deo talis conditus ab initio fuerit, qualem ex mortuis resurrecturum oracula divina tradunt. his tu fidem derogare noli. nam et Anastasius ille Sinaites in oratione sua de resurrectione verbis his eadem apertissime tractat. tale suscitatum est ex mortuis corpus, dudum collapsum, quale ab initio erat, reiectis atque depositis omnibus quae prius ei per peccatum accidere. velim his mihi verbis animum

σῶμα τότε θανάτου καὶ φθορᾶς ἄμεινον ἐγερθῆναι ὡμολόγηται,
καὶ βεβαιοῖ τὸν λόγον ὁ πάμμεγας Παῦλος οὕτω λέγων „δεῖ
τὸ φθαρτὸν τοῦτο ἐνδύσασθαι ἀφθαρσίαν καὶ τὸ θνητὸν τοῦτο
ἐνδύσασθαι ἀθανασίαν," εὔδηλον πάντως ὅτι καὶ τὸ σῶμα
ἐκεῖνο, λέγω δὴ τὸ πρώτως ὑπὸ θεοῦ ποιηθέν, ἀθάνατον ἀλη-
θῶς ὑπῆρχε καὶ ἄφθαρτον, ὡς ἤδη πολλάκις εἰρήκαμεν. αὐ-
τὸ τοῦτο παρίστησι καὶ Νυσσαεὺς θεῖος Γρηγόριος, ἡνίκα P. 90
καὶ μᾶλλον εὕρηται τὸ τοῦ Ἐκκλησιαστικοῦ ῥητὸν ἐπεξηγού-
μενος τὸ διαλαμβάνον οὕτως ἐν λέξεσι „τί τὸ γεγονός; αὐτὸ
τὸ γενησόμενον. καὶ τί τὸ πεποιημένον; αὐτὸ τὸ ποιηθησό- V. 70
μενον." λέγει γὰρ ὅτι χειρὶ θεοῦ πεποιημένος ἄνθρωπος οὐχ
ὃ νῦν ἐστὶ διὰ τὴν ἁμαρτίαν, ἤγουν τρεπτὸς καὶ φθαρτός,
τοῦτο ἦν ἀπ' ἀρχῆς, ἀλλ' ὃ ποιηθήσεται ὕστερον, ἄτρεπτος
δηλονότι καὶ ἄφθαρτος. εἴπερ οὖν ὁ θεὸς ἐπ' ἀφθαρσίᾳ τὸν
ἄνθρωπον ἔκτισε, κατ' εἰκόνα τῆς ἀϊδιότητος αὐτοῦ, καθὰ
φησι Σολομών· εἴπερ οὖν ἔδειξε τὸ οἰκεῖον φιλότιμον μετα-
δοὺς αὐτῷ ψυχῆς νοερᾶς ὡς εἶναι καὶ ἀθάνατον ἐς τὸ διη- B
νεκές, ὡς ὁ χρυσοῦς τὴν γλῶτταν φησιν· εἴπερ οὖν ζωῆς
αἰωνίου ἀπόλαυσιν ἐχαρίσατο τῷ ἀνθρώπῳ κατ' ἀρχὰς ὁ θε-
ός, ὡς ὁ μέγας φησὶ Βασίλειος· εἴπερ οὖν ἡ πρώτη ποίησις
τοῦ Ἀδὰμ ἄφθαρτος ἦν, ὡς ὁ Σιναΐτης φησὶ θεῖος Ἀναστά-
σιος· εἴπερ οὖν ἀξίωμα δέδωκε τῷ ἀνθρώπῳ κατ' ἀρχὰς ὁ

advertas. si tali suscitatum est quale ab initio erat, etsi corpus illud, quod excitatur, sic suscitari constat ut supra mortem interitumque positum sit, quod ipsum magnus ille Paulus confirmat (1 Cor. 15 53) hisce verbis „oportet hoc corruptibile incorruptibili natura et hoc mortale immortalitate indui," plane perspicuum est etiam corpus illud, quod est omnium primo factum a deo, revera immortale ac interitus expers fuisse, sicuti iam saepe diximus. idem et Nyssensis ille Gregorius tradit, ubi dictum illud Ecclesiastae (1 9) declarat, cuius haec verba sunt „quid est quod fuit? idem illud quod erit. quid factum? idem illud quod fiet." inquit enim hoc loco manu dei factum hominem, non quod nunc propter peccatum est, nimirum mutationi et interitui obnoxius, ab initio fuisse, sed quod deinceps efficietur, expers scilicet mutationis et interitus. quapropter si deus in statu interitus experte condidit hominem ad imaginem aeternitatis suae, quemadmodum Solomo loquitur; si honorem ei proprium detulit, communicata cum ipso anima intelligentiae vi praedita, quo perpetuo immortalis esset, quemadmodum Chrysostomus ait; si aeternae vitae fruitionem largitus est homini ab initio deus, ut magnus ille Basilius loquitur; si Adami prima creatio interitus erat expers, ut Anastasius ille Sinaites inquit; si dignitatem hanc ab initio deus

θεὸς τὸ ἀθάνατον καὶ ἀνώλεθρον, ὡς ὁ θεῖος Ἀνδρέας εὕρηται λέγων· εἴπερ αὐτεξουσιότητι καὶ ἀθανασίᾳ τιμήσας τὸν ἄνθρωπον ὁ θεὸς βασιλέα πάντων τῶν ἐπιγείων κατέστησε, καθάπερ ὁ μακάριός φησι Βαρλαάμ, πῶς λοιπὸν θνητὸν αὐτὸν ὁμοῦ καὶ ἀθάνατον ὑπὸ θεοῦ παραχθῆναι εἴπωμεν; C ἀνένδεκτον, ὡς οἶμαι, τοῦτο καὶ λίαν ἐστί. καὶ πῶς γὰρ οὐκ ἀνένδεκτον, εἴγε καὶ ὁ πολὺς ἐν θεολογίᾳ Γρηγόριος οὐκ ἐᾷ περὶ τοῦ πρώτου ἀνθρώπου τοιαῦτα φαντάζεσθαι. παντὸς γὰρ ἐπικαλύμματος καὶ προβλήματος ἀνενδεᾶ τὸν ἀπ' ἀρχῆς ἐκεῖνον εἰπὼν εἶναι, ἔδειξε προφανῶς ὅτι στολὴν ἀθανασίας ἠμφιεσμένος ἦν ὁ πρῶτος ὑπὸ θεοῦ δημιουργηθεὶς ἄνθρωπος. ἀλλ' ἐπὶ τούτοις ἀντιλέγειν οὐ θεμιτόν. ἢ γὰρ ὑπέκειτο τὸ σῶμα ἐκεῖνο πάθεσι φυσικοῖς καὶ φθαρτὸν ὁμολογουμένως ἦν, ἢ παθῶν παντοίων ὑπέρτερον ἦν, ὡς ὁ λόγος ἤδη διείληφε. καὶ περὶ ἀφθαρσίας ἀμφιβάλλειν οὐ χρή· φαίνεται γὰρ ὅτι φθορᾷ οἱᾳδήποτε μὴ ὑποκείμενον ἀληθῶς ἄφθαρτον ἦν.

D Οὕτω μὲν οὖν, ἀγαπητέ, καὶ τὸ σῶμα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ φθαρτὸν ὡμολόγηται πρὸ τοῦ πάθους, ἐπειδὴ πάθεσι φυσικοῖς ὑπέκειτο, καὶ ἄφθαρτον αὖθις μετὰ τὸ πάθος καὶ τὴν ἀνάστασιν· καὶ τοιαῦτα γὰρ ἀπέθετο πάθη παντάπασιν ἐκ νεκρῶν ἐγερθέν. ἔνθεν τοι καὶ γυμνὸν ἐκ

21. καὶ τοι.] τά?

homini dedit ut immortalis et incorruptibilis esset, ut vir divinus Andreas dixisse reperitur; si hominem deus libertate voluntatis donatum et exornatum immortalitate regem omnium terrestrium constituit, quemadmodum vir beatus Barlaamus praedicat, quo tandem ore pariter eum mortalem ac immortalem a deo conditum dicemus? nequit hoc ullo pacto fieri, quando peritissimus ille rerum divinarum Gregorius eiusmodi nos de homine illo principe imaginari non sinit. cum enim illum nullo vel tegumento vel vestitu indiguisse tradit, clare demonstrat ornatu immortalitatis amictum fuisse. enimvero his contradicere velle iniquum fuerit. nam vel corpus illud adfectionibus hisce naturalibus subiectum erat, et pro confesso statuetur obnoxium corruptioni fuisse: vel supra omnes adfectiones erat positum, quemadmodum oratione superiori est declaratum. itaque de incorruptibilitate ipsius minime dubitandum est, cum manifesto pateat interitui nulli reapse subiectum fuisse.

Eodem modo, dilecte fili, corpus etiam domini nostri Iesu Christi corruptibile fuisse fatemur ante passionem, cum adfectionibus naturalibus subiectum fuerit, ac rursum post passionem et resurrectionem incorruptibile. nam adfectiones eiusmodi prorsus deposuit ex

τάφον ἐξέθορεν, ἐκεῖσε παντάπασι καταλιπὼν τὰ ἐντάφια· καὶ γὰρ ἄφθαρτον, ὡς εἴρηται, γεγονὸς ἐπικαλύμματος οἱουδή τινος οὐκ ἦν ἐνδεές.

Ἀλλὰ τί χρὴ πολλὰ λέγειν; εἴπερ οὖν ὁ πρῶτος ἐκεῖνος Ἀδὰμ θνητὸς ὁμοῦ καὶ ἀθάνατος ἦν, εἴπερ οὖν φυσικοῖς ὑπέκειτο πάθεσι κατά γε τὴν τῶν πλειόνων ὑπόληψιν, ἀνάγκη πᾶσα καὶ τὰ ἡμέτερα μετὰ ταῦτα τοιαύτης ἐπιτεύξεσθαι P. 91 λήξεως, εἴγε πρὸς ἐκεῖνον ἔχουσι τὸν πρῶτον Ἀδὰμ δηλαδὴ τὴν ἐπάνοδον. ἀλλὰ γὰρ ἐπὶ τούτοις τοιοῦτόν τι λέγειν οὐ δίκαιον, εἴγε καὶ πρὸ τοῦ λόγου πείθειν ἡμᾶς ἱκανὰ καὶ λίαν αὐτὰ τυγχάνει τὰ πράγματα. εἰ γὰρ ὁ φθορᾷ ὑποκείμενος οὗτος ἄνθρωπος χωννύμενος τῇ γῇ καὶ σηπόμενος ἄφθαρτος ἐκ νεκρῶν ἐγήγερται καὶ ἀθάνατος, καὶ πιστοῖ τὸν λόγον ὁ μακάριος Παῦλος οὕτω περὶ τούτου λέγων „σπείρεται ἐν φθορᾷ, ἐγείρεται ἐν ἀφθαρσίᾳ," εὔδηλον πάντως ὅτι καὶ ὁ πρὸ τῆς ἁμαρτίας ἐκεῖνος Ἀδὰμ τοιοῦτος ἦν ἀπ' ἀρχῆς ἄφθαρτος δηλαδὴ καὶ ἀθάνατος. καὶ μὴ θαύμαζε τούτου ἕνεκεν, εἴγε καὶ σπέρμα τῇ γῇ καταβαλλόμενον τοιοῦτον ἀναδί- B δοσθαι εἴωθεν ὁποῖον ἄρα καὶ πρότερον ἐτύγχανεν εἶναι. εἴτε γὰρ σίτου κόκκον εἴποις εἴτε κρίθους, εἰ ἕτερον σπέρμα οἱονδήποτε, ἐκεῖσε πάντως ἐπανέρχεσθαι πέφυκεν ὅθεν δηλονότι ἐκπέπτωκεν.

8. εἴιε P. 20. κριθῆς?

mortuis suscitatum. qua ipsa de causa nudum e sepulcro exsiliit, relictis in eo cunctis sepulcralibus exuviis: quippe iam factum incorruptibile, ceu diximus, non tegumenti ullius egebat.

Quid multis verbis opus est? si primus ille Adamus pariter mortalis erat et immortalis, si naturalibus adfectionibus obnoxius erat, ut multi opinantur, omnino necessarium est statuamus nostra quoque corpora deinceps condicionis eiusdem futura, si quidem ad statum primi illius Adami revertentur. id vero dici nefas fuerit, quando etiam oratione deficiente fidem facere nobis ipsae res abunde possunt. quippe si homo hic obnoxius interitui, posteaquam defossus in terram fuerit et computruerit, incorruptibilis et immortalis ex mortuis suscitatur, beato Paulo hoc ipsum verbis hisce comprobante (1 Cor. 15 42) „seritur in mortalitate, suscitatur in immortalitate," clarissime patet etiam Adamum ante peccatum talem ab initio fuisse, nimirum incorruptibilem et immortalem. neque mirum hoc tibi videatur, quando etiam coniectum in terram semen tale consuevit oriri quale prius erat. nam sive tritici granum appelles sive hordei sive aliud quodvis semen, illud ipsum e terra prodit quod in eam coniectum fuerat.

Ἀλλὰ μὴ μῦθον ἡγοῦ τὰ λεγόμενα. ὅρα γὰρ ὅτι καὶ ὁ
μέγας Ἀθανάσιος ἀποδεῖξαι θέλων ὅτι ἐξ ἀφθάρτου φθαρ-
V. 71 τοὶ γεγόναμεν καὶ ὅτι ἀπὸ φθαρτοῦ πάλιν ἄφθαρτοι ἀνιστά-
μεθα, τῷ τοῦ κόκκου ὑποδείγματι καὶ μάλα προσφυῶς ἐχρή-
σατο, πρὸς Ἀντίοχον οὕτως εἰπὼν „ὥσπερ ἐπὶ τοῦ κόκκου
C στάχυν ἐποίησεν ἀπ' ἀρχῆς ὁ θεός, τοῦ δὲ στάχυος συντρι-
βέντος γέγονεν ὁ κόκκος, καὶ πάλιν ὁ κόκκος σπειρόμενος
ἀναβλαστάνει στάχυν, οὕτως ὑπὸ θεοῦ ὁ ἄνθρωπος γέγονεν
ἄφθαρτος, εἶτα δὲ διὰ τῆς παρακοῆς συνειρίβη καὶ φθορᾷ
περιέπεσε, σπειρόμενος δὲ διὰ τοῦ θανάτου καὶ τῇ γῇ κα-
ταχωννύμενος ἀναβλαστάνει, καὶ γίνεται ὥσπερ ἦν ἄφθαρ-
τος ἀπ' ἀρχῆς." καὶ μή μοι λέγε ὡς εἴγε τέως ἀθάνατος ἦν,
πῶς ὑπέπεσε μετὰ ταῦτα φθορᾷ καὶ θνητότητι; ἄφες τὸ
πῶς. θεὸς ἦν ὁ εἰπὼν „ᾗ δ' ἂν ἡμέρᾳ φάγητε ἀπὸ τοῦ φυ-
τοῦ, θανάτῳ ἀποθανεῖσθε." καὶ σὺ λέγεις ὅτι πῶς ὁ ἀθά-
νατος ἐγεγόνει θνητός; ἄφες τὸ πῶς· ὁ χρυσορρήμων Ἰωάν-
D νης ἐν τῷ εἰς τὴν ἐξορίαν τοῦ Ἀδὰμ λόγῳ αὐτοῦ τὴν ἀπο-
ρίαν ἐπιλύσει σοι ταύτην, οὕτω λέγων „παρέβη τὴν ἐντολὴν
ὁ Ἀδάμ, ἔφαγεν ἀφ' οὗ παρηγγέλθη μὴ φαγεῖν, καὶ τούτου
χάριν ὁ ἀθάνατος ἐγεγόνει θνητός." ἄφες τὸ πῶς, ἵνα μὴ
καὶ ἐπὶ τῷδε τῷ θνητῷ σώματι πλείονι συσχεθῇς ἀπορίᾳ,
πῶς ἀναστήσεται λέγων ἀθάνατον ἐκ νεκρῶν, εἴγε θνητόν

16. τό] καὶ P.

Haec fabulosa tibi nequaquam videantur. etenim magnus etiam Athanasius ille probare volens, nos ex incorruptibili natura corruptibiles factos esse ac vicissim ex corruptibili resurrecturos incorruptibiles, grani similitudine quam aptissime usus est, in hunc modum ad Antiochum disserens. „quemadmodum grano spicam ab initio deus adiunxit, et contrita spica granum consitum rursus spicam producit, sic homo divinitus incorruptibilis factus est, deinde per inobedientiam attritus interiit. verum ubi per mortem seritur et terra defoditur, repullulat et incorruptibilis fit, qualis ab initio erat." noli hoc loco mihi obiicere: si erat antea immortalis, quo pacto deinceps interitui mortalitatique factus est obnoxius? hanc tu mihi vocem, quo pacto, missam facito. nam deus erat, qui dixerat (Gen. 2 17) „quocunque die vescemini hac arbore, morte multabimini." et audes tu mihi obiicere, quo pacto mortalis factus sit qui immortalis erat? desine, quo pacto, interrogare. Iohannes ille Chrysostomus in oratione sua de Adami exsilio dubitationem hanc tibi solvet. transgressus est, inquit, mandatum Adamus; comedit a quo iussus erat abstinere: propterea qui immortalis erat, mortalis factus est. quonam id pacto percunctari desine, ne forte de hoc mortali corpore magis etiam haesites, et quonam pacto resurrecturum sit ex mortuis immortale quae-

ἐστι καὶ φθαρτόν; ὁ γὰρ ἀμφιβάλλων ἐπ' ἐκείνῳ πῶς ἀθάνατος ἐγεγόνει θνητός, ἐξ ἀνάγκης ἂν ἀπορήσειε καὶ ἐπὶ τούτῳ. οὐκοῦν ἄφες τὸ πῶς. ὁ θεὸς ὅπου, ἐκεῖσε χώραν οὐκ ἔχει τὸ πῶς. ἔπλασε μὲν γὰρ ἐπ' ἀφθαρσίᾳ τὸν ἄνθρωπον ὁ θεός, ἄρχοντα τῶν ἐπιγείων πάντων κατέστησε, διηνεκῆ δέδωκε τὴν ἀθανασίαν αὐτῷ, καθάπερ ἄνω διείληπται· καὶ P. 92
εἶχε μὲν εἰς αἰῶνας οὕτω κατ' αὐτόν, ὅτι καὶ ἀμεταμέλητα τὰ θεῖα χαρίσματα. ἀλλ' ἐπειδὴ πρὸς ἁμαρτίαν αὐτὸν ἑώρα κατολισθαίνοντα κἀντεῦθεν ἐκπίπτοντα τῆς ὑψηλῆς ἐκείνης καὶ ἰσαγγέλου διαγωγῆς, παραχωρεῖ διὰ τοῦτο καὶ λαμβάνει κατ' αὐτοῦ χώραν ὁ θάνατος, ὅτι μηδὲ συνέφερεν ἔκτοτε διηνεκῆ προσεῖναι τὴν ἀθανασίαν αὐτῷ. καὶ γὰρ εἰ μὴ γέγονέ τι τοιοῦτον, εἰ μὴ συγχώρησις ἐκεῖθεν ἐδίδοτο φιλανθρωπίας ἕνεκεν, ἵνα μὴ ἀθάνατον ᾖ τὸ κακόν, οὐκ ἂν ἐκείνῳ τῷ πρώτῳ Ἀδάμ, τῷ ἐπ' ἀφθαρσίᾳ κτισθέντι κατ' εἰκόνα τῆς ἀϊδιό- B
τητος τοῦ θεοῦ, προσήγγισε θάνατος· οὐκ ἂν ὑπέπεσε φθορᾷ τὸ σῶμα ἐκεῖνο τὸ φθορᾶς καὶ θανάτου ἄμεινον ὑπάρχον τὸ πρότερον. εἰ δὲ ταῦτα οὕτως ἔχει, πῶς ἀθάνατον αὐτὸν ὁμοῦ καὶ θνητὸν ὑπὸ θεοῦ παραχθῆναι εἴπωμεν; εἰ γὰρ καὶ θανάτῳ ὑπέπεσε μὴ φυλάξας τὴν δοθεῖσαν αὐτῷ ἐντολήν, ἀλλ' ὕστατον τῆς οἰκονομίας, ὡς ἤδη προείρηται, τοῦτο πάν-

5. διηνεκῆ δὲ δέδωκε P. 21. ὑστάτης F.

ras, cum mortale sit et corruptibile. nam qui de eo dubitat, quo pacto qui immortalis erat mortalis factus sit, necessario de hoc etiam dubitaverit, nec resuscitationem ipsius ex mortuis facile admittendam existimaverit. quamobrem illud tuum, quo pacto, missum facito. ubi deus, ibi quo pacto locum non habet. condidit enim deus hominem ad statum interitus expertem, omnium terrestrium principem constituit, perpetuam ei largitus est immortalitatem, uti supra declaratum est, ipsum denique quod attinet, habiturus hanc erat homo saeculis aeternis, cum munera dei sint irrevocabilia: sed quia videbat eum ad peccatum delabi ac propterea sublimi illo vitae genere, quod angelorum vitae par erat, excidere, ipso concedente mors adversus eum occasionem arripit. quippe ne expediebat quidem hominem ex eo tempore immortalem esse. nam nisi tale quiddam accidisset, nisi condonatio deinceps facta fuisset ex benevolentia, ne malum perpetuum foret, nequaquam permisisset deus ut mors ad hominem primum in statu experte interitus conditum ad imaginem aeternitatis dei accederet; nec corpus illud supra mortem et interitum omnem prius positum corruptioni factum fuisset obnoxium. quae cum ita sint, quo tandem pacto dicemus eum mortalem pariter et immortalem esse conditum a deo? quanquam enim non servato mandato sibi praescripto in mortem incidit, tamen hoc ipsum referri debere ad posterio-

τες εὑρήσομεν, εἴγε τῇ ἀκολουθίᾳ προσέχειν αἱρούμεθα τῆς ἁγίας γραφῆς. οὐδὲ γὰρ ὅτε παρῆγε τὸν ἄνθρωπον ὁ θεός, ὡς ἄνω δεδήλωται, τότε πρὸς αὐτὸν ἔλεγεν „ᾗ δ' ἂν ἡμέρᾳ φάγητε ἀπὸ τοῦ φυτοῦ, θανάτῳ ἀποθανεῖσθε," ἀλλὰ πολλῷ C μετὰ τὴν αὐτοῦ παραγωγὴν ὕστερον. μετὰ γὰρ τὸ καθίσαι βασιλέα, μετὰ τὸ ἀναχθῆναι τὰ ζῶα πρὸς αὐτόν, μετὰ τὸ πέρας ἐπ' αὐτῷ δέξασθαι τὰ τῆς θείας βουλῆς, τότε πρὸς αὐτὸν ἡ τοιαύτη γέγονε θεία φωνή, τότε δὴ τότε καὶ χώραν ὁ θάνατος ἐλάμβανε κατ' αὐτοῦ. διὰ τί δὲ ταῦτα, καὶ τίνος ἕνεκεν; ἵνα μὴ ἀθανάτου μείναντος αὐτοῦ μετὰ τὴν παράβασιν μείνῃ σὺν αὐτῷ καὶ τὸ κακὸν ἐξ ἀνάγκης ἀθάνατον.

V. 72 Ὅτι δὲ ἀθάνατος ἔμελλε μεῖναι μετὰ τὴν ἁμαρτίαν ὁ ἄνθρωπος, εἰ μὴ γέγονέ τις οἰκονομία θεία ὥστε μὴ καὶ ἡμᾶς ἀθάνατα πάσχειν κατὰ τοὺς ἐκπεσόντας ἀγγέλους, ὁ Νύσσης θεῖος Γρηγόριος τοῖς ἀμαθέσι δίδωσι τέως ἡμῖν ἐννοεῖν. D „ἐπειδὴ γὰρ ἐν τοῖς ἀπηγορευμένοις" φησὶ „γεγόνασιν οἱ πρῶτοι ἄνθρωποι καὶ τῆς μακαριότητος ἐκείνης ἀπεγυμνώθησαν, χιτῶνας δερματίνους ἤγουν τὴν ἀπὸ τῶν ζώων νεκρότητα οἰκονομικῶς ἐνέθηκε τῇ εἰς ἀθανασίαν κτισθείσῃ φύσει, ἵνα μὴ τὸ κακὸν ἀθάνατον ᾖ." καλῶς δὲ εἶπεν οἰκονομικῶς ὁ θεῖος οὗτος ἀνήρ· κηδόμενος γὰρ ἡμῶν ὁ θεός, ὥστε μὴ ἁμαρτάνειν ἀθάνατα καὶ ὥστε μὴ συμπαραμένειν

6. τὸ ἐς πέρας P.

rem illam administrationem, uti superius indicatum est, reperiemus, si quidem seriei sacrarum litterarum advertere animum volemus. non enim tum quum conderet hominem deus, ut antea dicebamus, his ad ipsum verbis usus est (Gen. 2 17) „quacunque die vescemini hac arbore, morte multabimini," sed aliquanto post eius creationem interiecto tempore. posteaquam enim regem ipsum constituerat, posteaquam animalia cuncta deduxerat ad eum, posteaquam divinum de ipso consilium ad exitum perductum erat, tum demum hac eum voce compellat. simul adversus ipsum id temporis mors locum invenit. quamobrem hoc? ne si mansisset immortalis post transgressionem, necessario peccatum quoque cum ipso sine fine maneret.

Et vero immortalem futurum fuisse hominem etiam post peccatum, nisi dispensatio divina quaedam accessisset, ne ipsi quoque perpetuis poenis subiiceremur, ut angelis lapsis accidit, divinus ille vir, Gregorius antistes Nyssenus ostendit. posteaquam, ait, homines illi principes vetita commiserunt ac beatitate sua nudati sunt, pelliceis tunicis, hoc est animalium mortalitate, certo quodam consilio et dispensatione deus naturam ad immortalitatem conditam induit, ne malum perpetuo duraret. quibus in verbis praeclare dictum fe-

εἰς αἰῶνας τῇ ἐπωδύνῳ ταύτῃ καὶ μοχθηρᾷ βιοτῇ, καθὰ δὴ καὶ ὁ χρυσοῦς τὴν γλῶττάν φησι, παραχωρεῖ τῷ θανάτῳ κατὰ τοῦ ἀθανάτου χωρῆσαι, καὶ γίνεται τούτῳ τῷ τρόπῳ θνητὸς ὁ ἀθάνατος καὶ φθαρτὸς ὁμοίως ὁ ἄφθαρτος. καὶ P. 93 πειθέτω ἡμᾶς ἐπὶ πλέον ὁ μέγας Βασίλειος οὕτω περὶ τούτου λέγων „οὐκ ἐκώλυσε δὲ τὸν θάνατον ὁ θεός, ἵνα μὴ ἀθάνατον ἡμῖν τὴν ἀρρωστίαν τηρήσῃ." ἐπὶ κέρδει λοιπὸν ὁ θάνατος, καὶ ἐπ' εὐεργεσίαν ἡ τιμωρία δίδοται κατὰ τὸν ἐν θεολογίᾳ μέγαν Γρηγόριον. ἐφ' ᾧ καὶ σκυθρωπάζειν ἐπὶ τούτοις οὐκ εὔλογον. εἰ γὰρ καὶ εἰς γῆν ὅθεν ἐλήφθημεν ἀποστρεφόμεθα κατὰ τὴν ἀρὰν ἐκείνην τὴν οὕτω λέγουσαν „γῆ εἶ καὶ εἰς γῆν ἀπελεύσῃ," ἀλλ' ἐκεῖθεν, ὡς ὁ χρυσορρήμων Ἰωάννης φησί, καὶ αὖθις ἀναλαμβανόμεθα, κἀντεῦθεν ἐπὶ τὸ βέλτιον μεταστοιχειούμεθα, καὶ τοιοῦτοι γινόμεθα πάλιν ὁποῖοι καὶ πρότερον ἦμεν, τουτέστιν ἄφθαρτοι καὶ ἀθά- B νατοι.

Ἀμφιβάλλειν οὖν ἐπὶ τούτοις οὐ δίκαιον, εἴγε καὶ μᾶλλον οἱ θεῖοι πατέρες οὐδὲν ἡμῖν ἕτερον ἐπαγγέλλεσθαι λέγουσι τὴν ἐκ νεκρῶν ἀνάστασιν ἢ τὴν πρὸς τὸ ἀρχαῖον τῶν πεπτωκότων ἀποκατάστασιν. καὶ πρόσχες, εἰ βούλει, πρὸ τῶν ἄλλων τῷ θειοτάτῳ Ἀναστασίῳ περὶ τούτων οὕτως λέγοντι „καὶ ἐποίησε τὸν ἄνθρωπον ὁ θεός· κατ' εἰκόνα θεοῦ

cisse deum hoc certo quodam consilio et dispensatione. nam sollicitus de nobis, ne forte perpetuo peccaremus neu tristis haec et aerumnosa vita duraret aeternum, uti Iohannes etiam Chrysostomus inquit, morti potestatem facit immortalem invadendi, atque hoc modo mortalis fit qui immortalis erat, et corruptibilis qui nulli erat interitui obnoxius. idem nobis etiam Basilius persuadeat, cuius haec verba sunt: mortem deus non prohibuit, ne infirmitas ac morbus ille noster aeternum duraret. quo fit ut in lucro mors poni debeat, et haec poena beneficii loco haberi, quemadmodum Gregorius ille cognomento Theologus scripsit; adeoque nos iccirco moerere non convenit. quamvis enim in terram, unde sumpti sumus, revertimur iuxta imprecationem illam dei (Gen. 3 19) „terra es et in terram redibis," tamen indidem, uti Chrysostomus scripsit, suscitamur ac meliorem ad condicionem transformamur, ita ut tales rursum evadamus quales eramus prius, hoc est interitus expertes et immortales.

Nihil igitur heic haesitandum, quando patres illi divini resurrectionem ex mortuis nihil aliud nobis polliceri tradunt quam lapsorum in integrum et condicionem pristinam restitutionem. vide, si placet, quid prae caeteris divinus ille vir Anastasius in hac parte dicat. fecit, inquit, hominem deus, et quidem eum ad imaginem dei

ἐποίησεν αὐτόν. πρώτη ποίησις αὕτη, ἁπλῆ, ἄζυγος, ἄφθαρτος· πρὸς ἣν δὴ ποίησιν ἀφορᾷ καὶ ἡ τῶν σωμάτων ἀνάστασις." καὶ τί χρὴ πολλὰ λέγειν; ἡ ἐν εὐαγγελίοις τοῦ πλανωμένου προβάτου παραβολὴ καὶ ἡ τῆς ἀπολλυμένης C ὡσαύτως δραχμῆς αὐτὴν ὑπεμφαίνουσι πάντως τὴν τοῦ ἀνθρώπου καὶ πλάνην καὶ ἔκπτωσιν καὶ τὴν εἰς τὸ πάλιν ἐπιστροφὴν καὶ ἀνάκλησιν. ἐπὶ τούτῳ γὰρ καὶ κλίνας οὐρανοὺς ὁ θεὸς καταβέβηκε καὶ ἄνθρωπος γέγονεν, ἵνα τοὺς ἐκπεσόντας ἡμᾶς ἐπὶ τὴν ἀρχαίαν καὶ πρώτην ἐπαναγάγῃ τιμήν. καὶ γὰρ εἰ μὴ τοῦτο ἦν, οὐκ ἂν ἐπιστρέψας ὁ ἄσωτος ἤκουσεν „ἐνδύσατε αὐτὸν τὴν πρώτην στολήν."

Εἰ δὲ καὶ λέγουσί τινες πλασθῆναι μὲν ἀθάνατον ὑπὸ θεοῦ τὸν Ἀδάμ, δυνάμει δὲ θνητὸν εἶναι, τουτέστι δύνασθαι θνητότητι περιπεσεῖν αὐτόν, εἴγε μὴ φύλαξ ἐσεῖται τῆς δο- D θείσης αὐτῷ ἐντολῆς, δεχόμεθα μὲν τὸν λόγον αὐτῶν (εὐπαράδεκτος γὰρ εἶναι δοκεῖ, καὶ μάλιστα τοῖς μὴ θέλουσι ταῖς τῶν ἁγίων πατέρων ἐμβαθύνειν γραφαῖς), πάσχειν δὲ ὅλως αὐτόν, τουτέστιν οἵῳ δή τινι φυσικῷ πάθει πρὸ τῆς παραβάσεως ὑποκεῖσθαι, οὐδαμοῦ τοῦτο καταδεχόμεθα. πῶς γάρ, εἴ γέ τινα τῶν ἁγίων πατέρων τοιοῦτόν τι περὶ τοῦ πρώτου ἀνθρώπου διεξιόντα οὐχ εὕρομεν; μᾶλλον μὲν οὖν ἀπαθῆ λέγουσι τὸν τοιοῦτον εἶναι, καὶ σωματικῶν πασῶν

fecit. haec prima hominis creatio fuit, simplex, expers coniugii, expers interitus; ad quam creationem corporum resurrectio respicit, uti quae sit lapsorum ad pristina reversio. quid multa proferri opus est? exposita in Evangeliis (Luc. 15 8) de ove aberrante similitudo, itidemque altera de drachma perdita, prorsus ipsam hominis tam deerrationem atque lapsum quam ad pristinum statum reversionem declarant. nam illam ob causam relictis coelis deus in terram descendit et homo factus est, ut nos, qui lapsi eramus, ad pristinum adeoque primum illum honorem reduceret. caeteroqui reversus filius ille prodigus (Luc. 15 22) non audisset „induite ipsum priore stola."

Quodsi qui dicunt Adamum quidem a deo conditum fuisse immortalem, verum nihilominus talem exstitisse qui mortalis esse posset, hoc est qui mortalitati posset obnoxius fieri, siquidem mandatum sibi praescriptum non observaret, hanc nos quidem ipsorum orationem admittimus, atque admitti posse videatur, praesertim iis qui altius sacrorum patrum scripta pervestigare nolunt: non tamen eum quicquam fuisse passum, id est ulli adfectioni naturali ante transgressionem subiectum fuisse, concedimus. quo enim id pacto concederemus? cum tale quiddam de Adamo traditum ab ullo sanctorum patrum nusquam reperiamus. quin potius aiunt eum adfectio-

ὑπέρτερον ἀναγκῶν. αὐτίκα γὰρ ὁ θειότατος Ἰωάννης Δα- V. 73 μασκηνὸς ἄκραν ἔχειν ἀπάθειαν τὸν πρὸ τῆς παραβάσεως ἄνθρωπον ἔλεγε· πεῖνα γὰρ καὶ δίψα, κόπος καὶ ὕπνος καὶ ἱδρώς, ὡς ὁ θεῖος οὗτος ἀνὴρ ἐν ἑξηκοστῷ τετάρτῳ κεφαλαίῳ P. 94 αὐτοῦ λέγων εὕρηται, μετὰ τὴν παράβασιν εἰς τὸν ἀνθρώπινον βίον εἰσήλθοσαν. ἀλλὰ καὶ ὁ Σιναΐτης θεῖος Ἀναστάσιος ἐν τῷ περὶ ἀναστάσεως λόγῳ αὐτοῦ τὰ ἀδιάβλητα ταῦτα πάθη τῇ τῆς κακίας εἰσόδῳ συνεπακολουθῆσαι ἡμῖν ἔλεγεν ἐν τῇ τοῦ δερματίνου χιτῶνος περιβολῇ. οὐδὲ γὰρ συμπεφυκὼς οὗτος τῇ λογικῇ φύσει καθὰ τοῖς ἀλόγοις ἐγένετο, ἀλλ' ὕστερον ἐπετίθει, κολάζων ἐκεῖνον τὸν ἐν τιμῇ μὲν ὄντα μὴ συνιέντα δέ, κἀντεῦθεν εἰς ὑπόμνησιν ἄγων ὧν ἐξέπεσεν ἀγαθῶν. ἀλλὰ καὶ ὁ χρυσοῦς τὴν γλῶτταν Ἰωάννης τὸ τοῦ πρώτου παριστῶν ἀπαθὲς ἔλεγεν „ἐννόησόν μοι μακαριότητος ὑπερβο- B λήν, πῶς ἀνώτεροι πάντων τῶν σωματικῶν οἱ πρωτόπλαστοι ἦσαν, πῶς καθάπερ τὸν οὐρανὸν οὕτω τὴν γῆν ᾤκουν, καὶ ἐν σώματι τυγχάνοντες τὰ τῶν σωμάτων οὐχ ὑπέμειναν." οὔτε γὰρ στέγης οὔτε ὀρόφου οὔτε ἱματίων οὔτε ἄλλου οὐδενὸς τῶν τοιούτων ἐδέοντο. ἀλλὰ καὶ ὁ θεολόγος Γρηγόριος, ἐπικαλύμματος καὶ προβλήματος μὴ δέεσθαι λέγων τὸν ἀπ' ἀρχῆς ἄνθρωπον, τὰ αὐτὰ τῷ χρυσορρήμονι πάντως ἐνέφηνε.

10. οὕτως P.

num expertem fuisse, supraque cunctas necessitates corporales positum. primum divinus vir, Iohannes ille Damascenus, hominem ante lapsum dicit ab adfectionibus universis immunitate summa praeditum fuisse. nam fames sitis fatigatio somnus et sudor, quemadmodum tradit idem capite LXIV, post transgressionem primum vitam humanam invaserunt. praeter hunc Anastasius Sinaites in oratione sua de resurrectione has expertes vitii, quaeque vituperari non merentur adfectiones, una cum peccato exortas in nobis una cum pelliceae tunicae amictu dicit. etenim illa naturae rationis participi, tanquam brutis animalibus, naturaliter non adhaerebat, sed deinceps accessit, ut ei poenae loco foret, qui cum esset in honore, animum tamen non advertit; quo per ipsam scilicet admoneretur quibus bonis excidisset. Iohannes item Chrysostomus ostendens hominem primum expertem adfectionum fuisse, verbis hisce utitur „considera mihi beatitatis abundantiam, quo pacto supra res corporeas omnes positi fuerint homines illi principe loco formati a deo; quo pacto terram sic incoluerint ac si coelum incolerent, quo pacto in corporibus existentes, quae propria corporum sunt non pertulerint. nec enim vel tecto vel laqueari vel indumentis vel alia quapiam tali re indigebant." consimiliter Gregorius ille theologus hominem primum nec tegumento nec vestitu indiguisse dicit. habebat enim corpus, quod neque frigori

σῶμα γὰρ μήτε κρυμοῖς ὑποπῖπτον μήτε θάλψεσιν. εἰ γὰρ C ἐλύπει τοιοῦτόν τι πάθος αὐτό, καὶ σκεπάσματος ἂν ἐξ ἀνάγκης καὶ προβλήματος ἐπιδεὲς ἦν. οὐκ ἂν αὐτὸν πάσχειν ψήθη κατά τι ὁ θεῖος οὗτος ἀνήρ, εἴγε καὶ μᾶλλον τὴν παχυτέραν σάρκα καὶ θνητήν, ἀφ' ἧς ἄρα καὶ τὸ πάσχειν ἡμῖν, ἐν τῇ τοῦ δερματίνου χιτῶνος περιβολῇ τὸν Ἀδὰμ ἐνδύσασθαι ἔλεγεν. ἔδειξε γὰρ ἐντεῦθεν ὅτι πρὸ τῆς τοιαύτης περιβολῆς ἀπαθὴς ὁ ἄνθρωπος ἦν ἅτε δὴ σάρκα λεπτοτέραν ἐνδεδυμένος, ἀθάνατόν τε καὶ ἄφθαρτον. ἀλλ' ἐπὶ ταύταις ταῖς λέξεσι χαλεπαίνειν οὐ χρή. κατὰ γὰρ τὸν χρυσορρήμονα Ἰωάννην πάσης ἀπήλλακτο τὸ σῶμα ἐκεῖνο φθορᾶς. ἐφ' ᾧ καὶ ἄφθαρτον αὐτὸ δικαίως ὁ λόγος ἐκάλεσεν. εἰ δὲ D ἄφθαρτον, εὔδηλον ὅτι καὶ ἀθάνατον ἦν. εἰ γὰρ ἐπάγεσθαι εἰώθασι καὶ νόσοι καὶ θάνατοι ἔκ τε πλεονεξίας καὶ ἐλλείψεως τῶν τεσσάρων χυμῶν, καθὰ δὴ τῷ χρυσορρήμονι δοκεῖ, τὸ δέ γε σῶμα τοῦ Ἀδὰμ ἐν ἀπαθείᾳ διῆγε καὶ ὡσαύτως εἶχεν ἀεί (οὐδὲ γὰρ ἀλλοίωσιν ἐδέχετό τινα παραπλησίως ἡμῖν, ἅτε δὴ παθῶν παντοίων ὑπέρτερον ὄν), φαίνεται πάντως ὅτι καὶ ἀθανασίας ὑπῆρχε μέτοχον, ὡς ὁ λόγος ἤδη φθάσας ἐδήλωσεν. ὅτι δὲ φυσικῶν παθῶν ἀνώτερος ὁ ἄνθρωπος ἦν ἐν ἐκείνῳ τῷ καιρῷ, καὶ ὁ μέγας ἔδειξε Βασίλειος ἐν τοῖς

nec aestui foret obnoxium. quippe si eiusmodi quaepiam adfectio laesisset ipsum, etiam necessario tam tegumento quam vestitu indiguisset. de quo colligitur divinum hunc virum existimasse nihil omnino tale ullo pacto corpus illud hominis primi perpessum esse. imo tradit idem Adamum carnem hanc crassiorem et morti obnoxiam, a qua ipsa proficiscuntur huiusmodi adfectiones, una cum amictu pelliceae tunicae induisse. quo indicare voluit ante amictum eiusmodi fuisse hominem adfectionum expertem, ut qui carne subtiliore immortali et incorruptibili prius indutus esset. quae voces exhibere tibi molestiae nihil debent. nam de Chrysostomi sententia corpus illud ab interitu erat immune; quam ob causam merito incorruptibile dicitur. quodsi erat incorruptibile, planum est etiam immortale fuisse. nam cum morbi atque mortes tam ex abundantia quam defectu quattuor humorum oriri consueverint, adsentiente nobis in hoc ipso etiam Chrysostomo, et vero corpus Adami expers adfectionum fuerit, eodem modo scilicet adfectum perpetuo (non enim mutationem ullam admittebat, quod in nobis usuvenire cernimus, tanquam supra omnes adfectiones positum), perspicuum prorsus est etiam particeps immortalitatis fuisse, quemadmodum iam multoties est indicatum. et fuisse hominem id temporis supra omnes adfectiones positum, magnus ille Basilius in Asceticis suis ostendit, ubi ad verbum haec exstant

ἀσκητικοῖς αὐτοῦ κατὰ ῥῆμα διεξιὼν οὑτωσί „ὥσπερ εἰ ἦμεν P. 95 ἐν τῷ παραδείσῳ τῆς τρυφῆς, οὐκ ἂν ἐπινοίας καὶ μόχθου γεωργικοῦ προσεδεήθημεν, οὕτως εἰ ἦμεν ἐν ἀπαθείᾳ κατά γε τὸ πρὸ τοῦ παραπτώματος ἐν τῇ δημιουργίᾳ χάρισμα, οὐδενὸς ἂν τῶν ἐξ ἰατρικῆς πρὸς παραμυθίαν ἐχρῄζομεν." εἴπερ οὖν ἐν τῇ δημιουργίᾳ χάρισμα εἶχε πρὸ τοῦ παραπτώματος ἀπαθείας ὁ ἄνθρωπος, πῶς εἴπωμεν οἵῳ δή τινι φυσικῷ πάθει περιπίπτειν αὐτὸν ἐν τῷ τῆς ἀπαθείας καιρῷ; ἀλλὰ καὶ ὁ μέγας Μάξιμος τὰ πάθη ταῦτα, λύπην ἡδονὴν V. 74 ἐπιθυμίαν καὶ ὅσα ἄλλα τοιαῦτα, ἃ τῇ ἀνθρωπίνῃ φύσει πρόσεστι τήμερον, ἐκ τῆς τῶν ἀλόγων ἔλεγε μοίρας ἐπὶ τὸν ἄνθρωπον εἰσδραμεῖν· ἐπειδὴ γὰρ ὁμοιωθῆναι κατεδικάσθη B τοῖς ἀνοήτοις κτήνεσι κατὰ γένεσιν, ἐκεῖθεν ἐξ ἀνάγκης καὶ τὰ πάθη ταῦτα πρὸς ἑαυτὸν ἐπεσπάσατο. οὐδὲ γὰρ προηγουμένως συνεκτίσθη ταῦτα τῷ ἀνθρώπῳ, καθὼς ὁ θεῖος οὗτος ἀνὴρ ἐν τοῖς πρὸς Θαλάσσιον ἔλεγεν, διὰ δὲ τὴν τῆς τελειότητος ἔκπτωσιν ὑπεισῆλθε τῷ ἀλογωτέρῳ μέρει προσφυέντα τῆς φύσεως. εἰ δὲ ταῦτα οὕτως ἔχει, πῶς εἴπωμεν ἐν αὐτῇ τῇ τελειότητι πάσχειν ὅλως τὸν πρῶτον ἐκεῖνον ἄνθρωπον;

Δέδεικται οὖν ἐκ πολλῶν ὅτι πρὸ τῆς παραβάσεως οἵῳ δή τινι φυσικῷ οὐχ ὑπέκειτο πάθει ὁ ἄνθρωπος, ἅτε δὴ C τῆς κατὰ χάριν ἀθανασίας οὐκ ἀμοιρῶν. εἰ δὲ τοῦτο, πῶς

„quemadmodum si essemus in paradiso deliciarum, non vel consideratione vel labore agricultionis indigeremus, ita si essemus in statu adfectionum experte, secundum illam gratiam quae nobis erat ante lapsum in creatione concessa, nihil arte medica nostrum ad usum egeremus." quodsi ergo gratiam hanc ante lapsum in creatione habuit homo, quo tandem ore dicemus eum ulli adfectioni naturali obnoxium id temporis fuisse, cum prorsus expers adfectionum foret? quinetiam magnus ille Maximus adfectiones hasce, moestitiam voluptatem appetitum aliasque tales, quae hodie insunt humanae naturae, de sorte brutorum in hominem translatas esse dicit. posteaquam enim condemnatus est, ut ortu brutis iumentis consimilis sit, necessario quoque tales adfectiones inde nactus est. non enim illae prius erant in homine conditae, quemadmodum divinus hic vir in iis quae ad Thalassium scripsit inquit, sed propter amissionem perfectionis furtim velut ingressae sunt, parti naturae nostrae magis aliquanto brutae adhaerescentes. quae cum ita sint, qui dicemus in ipsa perfectione primum illum hominem huiusmodi quicquam perpessum esse?

Quapropter multis iam demonstratum est ante transgressionem nulli prorsus adfectioni naturali hominem obnoxium fuisse, ut qui

ἔπασχεν; εἰ γὰρ ἔπασχεν, καὶ θνητῆς ἂν ἐξ ἀνάγκης φύσεως ἦν καὶ φθαρτῆς. ἀλλ' ἡμᾶς οὕτω φρονεῖν ἐπὶ τούτοις κωλύει μὲν καὶ ὁ τῶν διαληφθέντων ἁγίων χορός, κωλύει δὲ πλέον καὶ ἡ ἐν Καρθαγένῃ συστᾶσα σύνοδος ἐν ἑκατοστῷ ἐννάτῳ κανόνι αὐτῆς οὕτω λέγουσα „εἴ τις λέγει τὸν Ἀδὰμ θνητὸν πλασθῆναι παρὰ θεοῦ καὶ μὴ μετὰ τὴν ἁμαρτίαν ἐλθεῖν εἰς φθοράν, ἤτω ἀνάθεμα." ταύτῃ τοι καὶ παράγειν ἐνταῦθα
D τὸν θεολόγον Γρηγόριον οὐκ εὐπρεπὲς ἡμῖν οὐδὲ ὅσιον ἡγηται. εἰ γὰρ καὶ λέγειν ἔοικε τὸν ἀπ' ἀρχῆς ἄνθρωπον ἐπίγειον εἶναι τὸ σῶμα καὶ οὐράνιον τὴν ψυχήν, πρόσκαιρον ὁμοίως καὶ ἀθάνατον, ὁρατὸν καὶ νοούμενον, μέσον μεγέθους καὶ ταπεινότητος, πνεῦμα καὶ σάρκα τὸν αὐτόν, τὸ μὲν ἵνα μένῃ καὶ δοξάζῃ τὸν εὐεργέτην, τὸ δὲ ἵνα πάσχῃ καὶ πάσχων ὑπομιμνήσκηται καὶ παιδεύηται τῷ μεγέθει φιλοτιμούμενος, ἀλλ' οὐχ οὕτω δοκεῖ περὶ τούτου καὶ ἡμῖν, ὅτι μηδὲ τὰ θεῖα ταῦτα ῥητὰ τοῦ πρώτου χάριν ἀνθρώπου λελέχθαι νομίζομεν. πῶς γάρ, εἴγε καὶ μᾶλλον αὐτοῦ τοῦ θεολόγου λέγοντος ἀλλαχοῦ κατὰ λέξιν οὕτως ἠκούσαμεν
P. 96 „ἐπεὶ δὲ φθόνῳ τοῦ διαβόλου θάνατος εἰς τὸν κόσμον εἰσῆλθε καὶ ὕφειλε διὰ τῆς ἀπάτης τὸν ἄνθρωπον, διὰ τοῦτο τῷ

12. τὸ] τὰ P.

volens. secunda creatio est maris ac feminae formatio, quae figmento dei accessit, quod ratione creationis primae ad imaginem dei factum erat, nec sexuum discrimen habebat, quando nec in divina illa beataque imagine quid eiusmodi existit. quae cum ita sint, a ratione non abhorret, dicere deum ex praescientia talem ab initio structuram Adamo concessisse, cum hoc sexus discrimen a secunda creatione profectum fuerit, quam necessario priori, ceu dictum est, adiecit. nec enim quid futurum esset ignorabat. et animum, si libet, adverte Iohannis Damasceni de homine primo verbis. quia deus futurorum praescius norat hominem mandato non pariturum ac interitui futurum obnoxium, iccirco feminam ex eo producit. adeoque si homo vita angelica non excidisset, sexuum discrimen nullum factum fuisset, quippe cuius haud eguisset ad generis propagationem is qui ad imaginem dei factus erat. nam more angelorum, ut indicatum est supra, semet amplificaturus fuerat. sed enim ad institutam orationem redeundum est.

Haec est illa dei ad serpentem post hominis lapsum oratio (Gen. 3 14) „in pectus ac ventrem ambulabis." hoc est quandoquidem cor decepisti, et ventri persuasisti ut cibum illum decerperet, iccirco

τερον, καθὰ Ἰώσηπός τέ φησι καὶ ἡ λεγομένη Λεπτὴ Γένε-
σις, νῦν ἀποφαίνεται τὸν ἐπὶ τῇ κοιλίᾳ περίπατον. ἀλλ'
V.81 ἐπειδὴ κατὰ τὸν χρυσορρήμονα Ἰωάννην ἀπὸ τοῦ ὀρθίου σχή-
ματος τοιαύτην ἄδειαν ἔσχεν ὥστε πρὸς τὸ οὖς τῇ Εὔᾳ πλη-
B σιάσαι καὶ περὶ τοιούτων διαλεχθῆναι, τῇ γῇ καὶ πάνυ δι-
καίως ἐπισύρεσθαι κατεδικάσθη. εἰ γὰρ καὶ ἄπους ἐξ ἀρχῆς
διεπέπλαστο, ἀλλὰ κύκλοις τινῶν κάτωθεν ἑλιγμῶν ἐνορθού-
μενος τεταμένοις τοῖς στήθεσιν ἵππευσε. διὸ καὶ νῦν ὁ ὄφις
πολλάκις θυμούμενος ἀνίστησιν ἑαυτὸν καὶ κυκλικῶς ἑλισσό-
μενος τρέχει. προβὰς δὲ ὅσον δεῖξαι τοῦ παλαιοῦ βαδίσμα-
τος τὴν μνήμην, πάλιν τῷ τῆς ἀποφάσεως καταβάλλεται νό-
μῳ. ὅρα δὲ νουνεχῶς ὅτι τοσοῦτόν ἐστι βαρύ τέ τινα καθ'
ἑαυτὸν ἁμαρτάνειν, ὅσον ἄρα τὸ καὶ ἑτέρους ἐνάγειν εἰς
C ἁμαρτίαν. κατὰ τοῦτο καὶ βαρυτέραν ὑπέστη τῆς Εὔας τὴν
κόλασιν. ἡ Εὔα πάλιν τοῦ Ἀδάμ, ὅτι τὸν Ἀδὰμ ἠπάτησεν
ἡ Εὔα καὶ τὴν Εὔαν ὁ ὄφις.

Ἀλλ' ἐκ τούτου νοερᾶς μετέχειν ψυχῆς καὶ τὰ ἄλογα οἱ Μανιχαῖοι ἐνόμισαν· εἰ μὴ γὰρ τοῦτο ἦν, ὥς ἐκεῖνοί φασιν, οὐκ ἂν ἐτιμώρησε τὸν ὄφιν ὁ θεός, οὐκ ἂν ἀρᾷ καθυπέβαλεν. ἀλλ' οὐκ ἔστι τοῦτο, οὐκ ἔστι. καὶ δῆλον ἐξ ὧν ὁ προφήτης λέγει Δαβίδ „μὴ γίνεσθε ὡς ἵππος καὶ ἡμίονος,

1. καθὰ deerat. 3. τὸν deerat. 8. τεταγμένοις P. 12. ὅτι] ὅτι οὐ?

in pectus ac ventrem ambulabis. non enim propterea deus inambulaturum ventri serpentem pronuntiat, quasi prius ille pedes habuisset, ut Iosephus et parvus ille de rerum ortu liber aiunt: sed quia de sententia Chrysostomi prius facultatem habens erecto corpore conveniendi Evam et cum ea colloquendi, nunc damnatus fuerit, ac merito quidem, ut humi serperet. nam tametsi ab initio serpens ita conditus erat a deo, pedibus uti careret, tamen orbibus quibusdam factarum inferius convolutionum erectus iis ipsis extenso pectore velut inequitabat. iccirco videmus et hodie serpentem iratum semet erigere ac in orbes convolutum progredi. quo facto, quasi veteris incessus memoria nobis in mentem revocata, rursum iuxta divini pronuntiati legem semet demittit. caeterum prudenter observabis aeque grave esse quempiam alios ad peccandum impellere, ac si delinquat ipse. propterea gravior serpentis poena fuit quam Evae, rursumque gravior Evae quam Adami, quod Adamum Eva decepisset, Evam serpens.

Existimarunt autem Manichaei, hac narratione moti, bruta quoque praedita esse anima mentis ac intelligentiae vi participe. nam absque illo sit, inquiunt, deus supplicio serpentem non adfecisset: at enim hoc minime verum esse, de verbis hisce Davidicis per-

οἷς οὐκ ἔστι σύνεσις." ἄλλως τε εἰ διὰ τὸ τιμωρηθῆναι τὸν ὄφιν δοκοῦσι καὶ τὰ ἄλογα νοερᾶς μετέχειν ψυχῆς, τὸ κωλῦον πάντως οὐδὲν μὴ καὶ ἐπ' αὐτῶν τῶν φυτῶν τὸ τοιοῦ- D τον δόγμα κρατεῖν, εἴ γε τὴν συκῆν ἀρᾷ καθυπέβαλεν ὁ Χριστός, ἡνίκα πεινάσας οὐχ εὗρεν καρπὸν ἐν αὐτῇ. ὑποβάλλει τοίνυν ὁ θεὸς τὸν ὄφιν κατάρᾳ, ἵνα κἂν τὸν διάβολον οὐ βλέπῃ τις τί ἔπαθε, τὸν ὄφιν ἀεὶ βλέπων συρόμενον τόν ποτε διανεστηκότα, ὥς ὁ χρυσορρήμων φησίν, ὑπόμνησιν λάβῃ ὅτι εἰ ὁ ὑπουργὸς τῆς κακίας ἐπὶ τοσοῦτον κολάζεται, περὶ τοῦ πρωταιτίου τί χρὴ καὶ λέγειν. τιμωρεῖται τὸν ὄφιν ὁ θεὸς τοιοῦτόν τι ποιῶν ὁποῖον δὴ καὶ φιλόστοργος πατήρ. οὐ μόνον γὰρ τὸν φονέα τοῦ υἱοῦ αὐτοῦ τιμωρεῖται, ἀλλὰ P. 105 καὶ τὸ τοῦ φόνου ὄργανον συνθλάττει τε καὶ εἰς πολλὰ κατατέμνει. „αὐτός σου τηρήσει τὴν κεφαλήν." οὐκέτι, φησί, πρὸς ἐπιβουλάς, ὦ ὄφι, ἀνθρώπων παρρησιάσῃ καθὰ δὴ καὶ τὸ πρότερον, ἀλλὰ σὺ μὲν τοσοῦτον ἕξεις τῶν ἀνθρώπων τὸν φόβον ὥστε περιπατούντων καὶ ἐκείνων ἀκούων φωλεοῖς ἐγκατακρύπτειν ἑαυτόν.

Ὁ μὲν οὖν μέγας Μακάριος ἐν ἐπιστολαῖς αὐτοῦ περὶ τοῦ διαβόλου φησὶν ὅτι ἅμα τῷ ἐκπεσεῖν τῇ γεέννῃ παραδοθῆναι ἔμελλεν, ἀλλ' εἰάθη πολεμεῖν, ἵνα φανῶσιν οἱ τοῦ

19. Μακάριος] μακάριος Παῦλος F.

spicue patet (Psalm. 31 8) „nolite consimiles equis et mulis fieri, quae intelligentia carent." alioqui si propterea putant brutas bestias animae intelligentiae vi praeditae participes esse, quia supplicio serpens adfectus fuerit, nihil est omnino quod impediat quominus eadem in arboribus quoque valeat opinio, quando ficum exsecrationi Christus subiecit, cum esuriens fructum in ea nullum reperiret. deiicit ergo serpentem in terram deus, ut tametsi quis haud cernat quid diabolo acciderit, nihilominus serpentem, qui de sententia Chrysostomi olim erectus stabat, humi repentem intuens secum ad animum revocet, quod cum facinoris huius administer multetur, multo magis existimandum sit principem mali auctorem puniri. caeterum supplicio serpentem adficiens deus, eiusmodi quid facit quale liberum amans pater. non tantum enim is de interfectore filii sui supplicium sumit, sed ipsum etiam caedis instrumentum confringit ac multas in partes lacerat. secundum haec deus ait (Gen. 3 16) „observabit ille caput tuum." non iam amplius, inquit, audebis tu serpens hominibus insidias struere, quod hactenus fecisti, sed tantus erit metus tantaque formido tua ut ambulantibus illis temet in latebras tuas sis abditurus.

Tradit enim suis in epistolis magnus ille Macarius de diabolo, futurum fuisse ut statim a lapsu gehennae traderetur, sed ei conces-

B Χριστοῦ στρατιῶται· ἀντιδίκου γὰρ μὴ προκειμένου οἱ γνή-
σιοι στρατιῶται τοῦ βασιλέως οὐ φανεροῦνται. ὅθεν ὡς κα-
ταδικώτερος σφοδροτέραν εὑρήσει τὴν κόλασιν. ὁ δὲ μέγας
Βασίλειος ἐν τῇ εἰς τὸν προφήτην Ἡσαΐαν ἑρμηνείᾳ καὶ τά-
δε περὶ τοῦ διαβόλου διέξεισι. „τάχα γὰρ πρὸ τοῦ κτισθῆναι
τὸν ἄνθρωπον τόπος τῆς μετανοίας καὶ τῷ διαβόλῳ ὑπελείπε-
το, καὶ ἠδύνατο ὁ τῦφος, εἰ καὶ ἀρχαιότερον νόσημα ἦν, ὅμως
διὰ τῆς μετανοίας ἑαυτὸν ἐξιασάμενος ἀποκαταστῆσαι αὐτὸν
εἰς τὸ ἐξ ἀρχῆς. ἀφ' οὗ δὲ τοῦ κόσμου ἡ κατασκευὴ καὶ τοῦ
παραδείσου, καὶ ὁ ἄνθρωπος ἐν αὐτῷ, καὶ ἐντολὴ καὶ φθό-
νος τοῦ διαβόλου καὶ φόνος τοῦ τετιμημένου, ἀποκέκλεισται
C αὐτῷ καὶ ὁ τόπος τῆς μετανοίας. εἰ γὰρ ὁ Ἡσαῦ μετανοίας
V. 82 τόπον οὐχ εὗρε τὰ πρωτοτόκια ἀποδόμενος, τίς τόπος ὑπο-
λέλειπται μετανοίας τῷ τὸν πρωτόπλαστον ἀποκτείναντι Ἀδὰμ
καὶ ἐκείνου τὸν θάνατον εἰσενεγκόντι;" ἀλλὰ καὶ ὁ Σιναΐτης
θεῖος Ἀναστάσιος εἰς ἐπιστροφήν, ὡς ἔοικεν, ἕλκων καὶ τοὺς
λίαν ἀπεγνωσμένους, καὶ τάδε κατὰ ῥῆμα φησίν. „εἰ Μα-
νασσῆν ὁ θεὸς διὰ μετανοίας ἐδέξατο, τάχα τολμῶ εἰπεῖν
ὅτι καὶ τὸν διάβολον μετανοοῦντα ὁλοψύχως δέξεται." καλῶς
δὲ εἶπεν ὅτι τολμῶ εἰπεῖν· ὅρα γὰρ ὅτι καὶ ὁ Δαμασκηνὸς
D Ἰωάννης οὐ δίδωσι τῷ διαβόλῳ μετάνοιαν. λέγει καὶ γὰρ
ὅτι ὅπερ ἐστὶ τοῖς ἀνθρώποις ὁ θάνατος, τοῦτο τοῖς ἀγγέλοις

sisse deum ut humanum genus oppugnaret, quo Christi milites sese probarent ac declararent. eandem ob causam magis etiam damnabilis supplicio graviori multabitur. Basilius in Esaiae vatis enarratione huiusmodi quaedam de diabolo protulit. fortassis ante creationem hominis diabolo quoque poenitentiae locus relictus fuisset, ac potuisset superbus ille, quanquam malum inveteratum foret, per poenitentiam adhibito sibi remedio pristinam ad condicionem seipsum restituere. verum posteaquam secuta est mundi creatio itemque paradisi, ac homo in paradiso existere coepit, et mandatum et invidia diaboli accessit et hominis ornati a deo caedes, ex eo scilicet tempore modus ei poenitentiae nullus est relictus. quippe si Esaus poenitentiae locum non invenit, cum primigeniorum iura vendidisset, quis ei relictus sit poenitentiae locus, qui Adamum illum principem humani generis interfecit eiusque morti causam praebuit? divinus autem vir, Anastasius ille Sinaites, quo vehementer desperatos homines, uti quidem videtur, ad conversionem invitet, haec ad verbum profert „si Manassem deus per poenitentiam recepit, ausim dicere quod etiam diabolum toto pectore atque animo resipiscentem in gratiam recepturus fuerit." quibus verbis recte illud inservit „audeam dicere." nam et Damascenus ille Iohannes diabolo poenitentiam nul-

ἡ ἔκπτωσις· μετὰ γὰρ τὴν ἔκπτωσιν οὐκ ἔστιν αὐτοῖς μετάνοια, ὥσπερ οὐδὲ τοῖς ἀνθρώποις μετὰ θάνατον. οὐκ ἐνεδόθη δὲ καὶ τοῖς ἐκπεσοῦσιν ἀγγέλοις μετάνοια, ὡς ὁ Νεμέσιός φησιν, ὅτι καὶ ἀσώματος ἡ φύσις αὐτῶν· ὁ γὰρ ἄνθρωπος διὰ τὴν τοῦ σώματος ἀσθένειαν τῆς μετανοίας ἔτυχεν. ἀλλ' ἔμοιγε τέως ὁ λόγος οὗτος ὃς ἐπὶ τῷ Ἀδὰμ οὐκ ἔστιν ἀποδοχῆς ἄξιος. οὐδὲ γὰρ ὑπὸ σωματικῶν ἐπιθυμιῶν ἡττηθεὶς ὁ Ἀδὰμ εὑρέθη παραβάτης τῆς ἐντολῆς. (ἄπαγε τῆς Ὠριγένους φρενοβλαβείας) ὅτι μηδὲ χώραν εἶχον αὗται πρὸ τῆς παραβάσεως ἐν αὐτῷ. καὶ τί χρὴ πολλὰ λέγειν; αὐτὸς ὁ Ἀδὰμ ἐκβληθεὶς τοῦ παραδείσου καὶ ἀπέναντι καθίσας αὐτοῦ P. 106 παρ' ὅλην ἐθρήνει τὴν ζωὴν αὐτοῦ. ἐφ' ᾧ κάμπτεται ὁ θεός, καὶ πάντα ποιεῖ καὶ πάσχει δι' αὐτόν. ὁ δὲ διάβολος ἐκπεσὼν οὐ μόνον οὐκ ἐθρήνησεν, ἀλλὰ καὶ κατὰ τοῦ πλάσματος ἐλύττησε θεοῦ, καὶ τὸν θεὸν αὐτὸν διέβαλε πρὸς τὸν Ἀδάμ. λοιπὸν μετὰ τὴν ἁμαρτίαν οὕτω διατεθέντα μετανοίας ἐπιτυχεῖν πάντως ἀμήχανον.

Ἄκουε δὲ καὶ τί φησιν ὁ Θεοδώρητος ἐν τῇ Θεραπευτικῇ αὐτοῦ περὶ τούτου. ἐπαρθεὶς ὁ διάβολος λέγεται πεπτωκέναι, εἶτα κατὰ τῶν ἀνθρώπων ὡς εἰκόνι θεοῦ τετιμημένων λυττῆσαι, καὶ τὸν κατὰ τούτων ἀναδέξασθαι πόλεμον, τὸν δὲ

6. ὅς] ὡς an ὅσον?

iam tribuit, cuius haec verba sunt „quod mors est hominibus, hoc angelis est lapsus: quippe post lapsum nulla restat eis poenitentia, quemadmodum nec post mortem hominibus." et quidem poenitentia lapsis angelis propterea non est concessa, sicut Nemesius ait, quia corporis expers est eorum natura. homo enim propter imbecillitatem corporis poenitentiam consecutus est. quae tamen extrema verba, quod Adamum attinet, equidem admittenda non puto. nec enim ille corporeis a cupiditatibus victus mandati violator factus est. Apage sis cum istac Origenica insania. quippe nullum illae locum habebant in ipso ante transgressionem. quid multis haec verbis indicemus? Adamus paradiso eiectus et eius ex adverso collocatus omnem vitam plorando exigit. quapropter deus flectitur, eiusque causa nihil non facit ac patitur. diabolus autem lapsus non modo non casum suum deploravit, verumetiam dei figmentum furenter aggressus, deum ipsum adversus Adamum criminatus est. quo quidem pacto cum adfectus a delicto fuerit, nequit omnino accidere particeps ut poenitentiae fiat.

Audi quid de hoc in sua Therapeutice Theodoritus dicat. cum fastu, inquit, elatus fuisset diabolus, lapsus esse dicitur, contraque homines exornatos imagine dei furore quodam percitus bellum in eos suscepit. verum opifex ille rerum angelis hominibus praeesse iussis

B ποιητὴν τῇ τῶν ἀγγέλων ἐπιστασίᾳ φρουρῆσαι τὸ τῶν ἀνθρώπων γένος, ὅπως μὴ βίᾳ καὶ τυραννίδι χρώμενος, ἀοράτως ἐπιὼν, ἀδεῶς διαφθείρῃ οὓς διὰ φθόνον ἐμίσησεν. οὐκοῦν ὁ φθόνος οὗτος, μάλιστα δὲ ἡ ἔπαρσις αὐτοῦ καὶ ἀπόνοια (καὶ νῦν γὰρ ὑπ' αὐτὸν ἀρχαὶ καὶ ἐξουσίαι, ὡς ὁ Παῦλος φησί), πρὸς τούτοις δὲ ἡ ἀπόγνωσις (εἰ μὴ γὰρ τοῦτο ἦν, οὐκ ἂν ἔλεγον ὅτι πρὸ καιροῦ ἦλθες βασανίσαι ἡμᾶς) μετανοεῖν τὸν ἀποστάτην οὐκ ἐᾷ.

Πρὸς τοῖς εἰρημένοις εἰδέναι σε καὶ τοῦτο βούλομαι, ὅτι C ὁ ἀποστάτης οὗτος διάβολος ἐν ταῖς ἀγγελικαῖς δυνάμεσι πρωτοστάτης ἦν, ἀγαθὸς παρὰ θεοῦ γενόμενος καὶ μηδὲν ἴχνος κακίας ἢ πονηρίας ἐν ἑαυτῷ φέρων. πάντα γὰρ ὅσα ἐποίησεν ὁ θεὸς καλά, καὶ καλὰ λίαν. κακὸν δὲ οὐδὲν ἐποίησεν ὁ θεός. τὸ γὰρ κακὸν οὐδὲν ἄλλο ἐστὶν ἢ τοῦ καλοῦ ἀναχώρησις, ὥσπερ οὖν καὶ τὸ σκότος οὐδὲν ἄλλο ἐστὶν ἢ φωτὸς στέρησις. καλῶς οὖν εἶπεν ὁ λόγος ὅτι τοῦ κακοῦ ποιητὴς οὐκ ἔστιν ὁ θεός. οὐχὶ δὲ τῶν μὴ ὄντων. εἰ γὰρ τὰ καλὰ D παραχθῆναι λέγεται παρὰ θεοῦ, ταῦτα καὶ ὄντα πάντως εἰσί. τὸ δὲ κακὸν ἐπειδὴ οὐ παρήχθη παρὰ θεοῦ, οὐδὲ ὄν V. 83 ἐστι. τοῦ κακοῦ λοιπὸν οὐκ ἔστι ποιητὴς ὁ θεός, εἴγε τῶν μὴ ὄντων, ὡς ἔφημεν, οὐκ ἔστι ποιητής, λέγεται δὲ μὴ εἶ-

17. οὐχὶ] ὄντων γάρ, οὐχί?

mortale genus custodit, ne vi ac saevitia usus diabolus, inadspectabiliter eos aggressus, quos odit ex invidia perdat. quapropter illa invidia, praesertimque fastus elationis et dementatio (nam hodieque sunt inter eos imperia et potestates, quemadmodum Paulus (Ephes. 6 12) ait) et praeterea desperatio (absque qua foret, nequaquam dixissent (Matth. 8 29) „quamobrem ante tempus ad excruciandum nos venisti?") desertorem illum dei poenitentia uti non sinunt.

Volo autem praeter indicata te hoc etiam scire, desertorem hunc diabolum primum inter angelicas potestates locum habuisse, cum bonus a deo factus esset, nec ullum vitiositatis aut improbitatis in se vestigium contineret. nam omnia quae fecit deus bona erant, et quidem valde bona, cum malum nullum condiderit. etenim malum nihil est aliud quam a bono secessio, quemadmodum caligo nihil aliud est quam lucis ademptio. quapropter praeclare dicitur deum non esse mali auctorem. quippe rerum per se subsistentium conditor est deus, non earum quae non existunt. quodsi bona dicuntur in ortum a deo producta, putandum est eorum appellatione venire res omnes quae existunt. at malum cum a deo conditum non fuerit, non etiam in numero rerum est existentium. de quo consequitur deum non esse mali auctorem, quando is nequaquam rerum non existentium opifex est, ut iam ante monuimus. dicitur autem malum non es-

γαί τι τὸ κακόν, ἐπειδὴ ἀνυπόστατον καὶ ἐφ' ἑαυτοῦ μὴ ὑφέστηκε.

Τοιοῦτος οὖν ἤγουν ἀγαθὸς ὑπὸ θεοῦ παραχθεὶς ὁ διάβολος τῆς περιγείου τάξεως καὶ τῆς γῆς ἐνεχειρίσθη τὴν φυλακὴν παρ' αὐτοῦ. μὴ ἐνέγκας δὲ τόν τε φωτισμὸν καὶ τὴν τιμὴν ἣν ὁ θεὸς αὐτῷ ἐχαρίσατο, ἐκ τοῦ κατὰ φύσιν εἰς τὸ P. 107 παρὰ φύσιν ἐτράπη, καὶ ἐπήρθη κατὰ τοῦ πεποιηκότος αὐτὸν θεοῦ· „θήσω" καὶ γὰρ εἶπε „τὸν θρόνον μου ἐπὶ τῶν νεφελῶν, καὶ ἔσομαι ὅμοιος τῷ ὑψίστῳ." ἔνθεν τοι καὶ ὡς ἀστραπὴ κατὰ τὴν τοῦ κυρίου φωνὴν ἐκ τοῦ οὐρανοῦ κατὰ γῆς ἔπεσε. συναπεσπάσθη δὲ αὐτῷ καὶ συνέπεσε πλῆθος ἄπειρον τῶν ὑπ' αὐτὸν τεταγμένων ἀγγέλων. τοῦτο δὲ καὶ ὁ προφήτης Ἠσαΐας ἔδειξεν οὕτως εἰπών „πῶς ἐξέπεσεν ὁ Ἑωσφόρος ὁ τὸ πρωῒ ἀνατέλλων, καὶ συνετρίβη εἰς τὴν γῆν;" Ἑωσφόρον δὲ αὐτὸν ἐκάλεσεν δι' ἣν ἀπὸ θεοῦ ἔσχε λαμπρότητα. τούτοις οὖν ἀκολούθως καὶ τῷ θεολόγῳ Γρηγορίῳ διείληπται. B Ἑωσφόρον γὰρ αὐτὸν εἶπε διὰ τὴν λαμπρότητα, σκότος δὲ διὰ τὴν ἔπαρσιν καὶ γενόμενον καὶ λεγόμενον. ἔκτοτε δὲ οἱ ἀκάθαρτοι δαίμονες τὸν καθ' ἡμῶν ἀνεδέξαντο πόλεμον. οὐδὲ γὰρ ἀνέχονται τοὺς ἀνθρώπους ὁρᾶν ἐκεῖσε σπεύδοντας ἀνελθεῖν ὅθεν κακοβούλως ἐξέπεσον, ὡς ὁ μέγας φησὶ Βασίλειος. δοχεῖα καὶ γὰρ πάσης ὄντες κακίας καὶ τὴν τοῦ φθό-

se aliquid propterea quod substantiam nullam habet nec per se subsistit.

Talis ergo, nimirum bonus, a deo conditus diabolus, terrestris ordinis et ipsius adeo terrae custodiam a deo sibi mandatam accepit. cum autem ferre non posset illustrationem et honorem, quem deus ei largitus fuerat, de naturali statu in alienum a natura sua exorbitavit, adversusque suum opificem fastu quodam elatus est. „collocabo" inquit (Es. 14 14) „solium meum in nubibus, et supremo par ero." quam quidem ob causam etiam fulguris instar de coelo in terram cecidit, uti dominus ipse loquitur (Luc. 10 18). estque avulsa cum eo, simulque lapsa multitudo quaedam angelorum ipsi subiectorum infinita. significavit hoc vates Esaias (14 14) hisce verbis „qui delapsus est Lucifer ille, qui pridem oriebatur, terraeque allisus est?" Luciferum appellans ob splendorem divinitus ei concessum. consimilia Gregorius ille theologus tradidit, cum luciferum vocari ait splendoris sui causa, qui caligo deinceps propter elationem factus sit et appelletur. secundum haec impuri genii bellum adversum nos susceperunt. nequeunt enim aequo animo pati ut homines eo studiose contendentes videant, unde ipsi pessimo consilio deciderunt, quemadmodum magnus ille Basilius ait. quippe cum omnis improbitatis re-

νου νόσον ἐδέξαντο. οὐδὲ γὰρ ἐχθρὸς ἡμῖν ὁ διάβολος ἐκτί-
σθη παρὰ θεοῦ, ἀλλ' ἐκ ζηλοτυπίας ἡμᾶς πολεμεῖ. ὁρῶν
γὰρ ἑαυτὸν ἐκ τῶν ἀγγέλων καταρριφέντα, οὐκ ἔφερε βλέ-
C πειν τὸν γήϊνον ἐπὶ τὴν ἀξίαν τῶν ἀγγέλων διὰ προκοπῆς
ἀνυψούμενον. καὶ μία μὲν παρά γε τοῖς ἀγγέλοις καὶ τοῖς
δαίμοσιν ἡ οὐσία, οὐχὶ δὲ καὶ ἡ προαίρεσις, καθὰ δὴ καὶ
ἐπὶ ἀγαθῶν ἀνθρώπων καὶ πονηρῶν ἔστιν ἰδεῖν· μία μὲν
καὶ παρ' αὐτοῖς ἡ φύσις ἐστίν, οὐ μὴν δὲ καὶ γνώμη καὶ
θέλησις ἡ αὐτή.

Καὶ τὸ μὲν ὀρθόδοξον τῆς ἐκκλησίας φρόνημα τοῦτον
ἔχει τὸν τρόπον· οἱ δὲ τῶν Ἑλλήνων σοφοί, Πορφύριος καὶ
Ἰάμβλιχος, διαφέρειν τοὺς δαίμονας κατὰ τὴν οὐσίαν λέγου-
σι, καὶ ἀλόγους τινὰς αὐτῶν καὶ ὑλαίους εἶναι, ἐμπίπτειν
δὲ αὐτοὺς ἡμῖν οὐχ ὡς δυσμενεῖς ἀλλ' ὡς ἡμῶν κολαστάς.
D ἀλλὰ καὶ προγινώσκειν αὐτοὺς καὶ τὸ μέλλον εἰδέναι λέγου-
σι, πλὴν οὐχὶ πάντας· τοὺς μὲν γὰρ τὰ ἄνω λαχόντας δαί-
μονας ἀληθεύειν παντάπασι, τοὺς δὲ ταρταρωθέντας ψευδεῖς
εἶναί φασι, τοὺς δὲ περιγειοτέρους καὶ μέσους λοξοὺς εἶναι
καὶ ἀμφιβόλους λέγουσιν. ἀλλ' ἡμῖν οὐχ οὕτω δοκεῖ. ἐὰν
γὰρ οἱ φωτεινοὶ ἄγγελοι τὸ τῆς προγνώσεως οἴκοθεν οὐχ ἔχω-
σι χάρισμα (καὶ γὰρ ἐκεῖνα προλέγουσι, καθὰ δὴ καὶ ὁ Δα-
μασκηνὸς Ἰωάννης φησίν, ὅσα ἂν αὐτοῖς ἀποκαλυφθῆναι κα-

ceptacula sint, etiam invidiae morbo sunt infecti. nec sic creatus a deo putari debet diabolus, ut hostis noster esset: sed ex aemulatione quadam nos oppugnat. cum enim se cerneret angelorum ordine locoque motum, ferre non poterat ut hominem terrestrem ad angelorum dignitatem profectu suo subvectum adspiceret. est et angelis malisque geniis una quaedam essentia sive natura, verum non eadem electio; quemadmodum et in hominibus tum bonis tum improbis est videre naturam quidem unam et eandem, sententiam vero voluntatemque diversam.

Haec de malis geniis eorum est sententia qui rectam ecclesiae fidem amplectuntur. at Graecorum illi sapientes, Porphyrius et Iamblichus, genios essentia naturaque differre a se invicem tradunt, eorumque volunt aliquos rationis expertes et crassiore materia praeditos esse. addunt irruere ipsos in nos non ut infestos sed tanquam castigatores, a quibus puniamur. eosdem aiunt futura prospicere atque nosse, non tamen universos: nam superiora loca nactos genios omnino vera praedicere perhibent, cum alii Tartaro conclusi mendaces sint; medios autem terraeque nonnihil vicinos adserunt ancipites ac ambiguos esse. qua in sententia nos minime sumus. nam si etiam luci consimiles angeli non ex se donum futura prospiciendi habent, ut qui praedicunt ea teste Iohanne Damasceno quaecunque

ρὰ θεοῦ φθάσωσι), πολλῷ μᾶλλον οἱ ἀκάθαρτοι δαίμονες
προλέγειν οὐ δύνανται. προγνώστης γὰρ καὶ καρδιογνώστης
μόνος ὁ θεός. καὶ πείθου τῷ θείῳ Δαβὶδ πρὸς τὸν θεὸν P. 108
οὕτω λέγοντι „σὺ γινώσκεις τὰς καρδίας μονώτατος."

Ἀλλὰ ταῦτα μέν, ἀγαπητέ, κατ' ἐπιτομὴν ὁ λόγος διῆλθέ σοι. καὶ μὴ δυσχέραινε τούτου ἕνεκεν ἅτε φιλομαθὴς ὤν· ἀλλαχοῦ γάρ, οἶδας, ἐσχεδιάσθη σοι τὰ περὶ τούτων πλατύτερον.

Λέγει γὰρ ἡ γραφὴ „καὶ εἶδεν ἡ γυνὴ ὅτι καλὸν τὸ V. 84
ξύλον εἰς βρῶσιν, καὶ ὅτι ἀρεστὸν τοῖς ὀφθαλμοῖς ἰδεῖν καὶ ὡραῖόν ἐστι τοῦ κατανοῆσαι, καὶ λαβοῦσα τοῦ καρποῦ αὐτοῦ ἔφαγε." πρόσεχε, ἀγαπητέ, τῷ μεγάλῳ κἀνταῦθα Βασιλείῳ. φησὶ γὰρ διὰ τί δὲ καὶ ἦν ἐν παραδείσῳ τὸ ξύλον τῆς βρώσεως; εἰ μὴ γὰρ ἦν αὐτό, οὐκ ἂν ἡμᾶς ὁ διάβολος ἀπατήσας εἰς θάνατον κατήγαγεν. ἔδει εἶναι ἐντολὴν τὴν δοκιμά- B
ζουσαν ἡμῶν τὸ ὑπήκοον. διὰ τοῦτο ἦν φυτὸν ὡραίων καρπῶν εὔφορον, ἵνα ἐν τῇ ἀποχῇ τοῦ ἡδέος τὸ τῆς ἐγκρατείας καλὸν ἐπιδειξάμενοι τῶν τῆς ὑπομονῆς στεφάνων δικαίως ἀξιωθῶμεν. καὶ περὶ μὲν τούτων οὕτως.

Ὁ δέ γε Νύσσης ὑψηλότερον ἐκλαμβάνει τὰ περὶ τούτου, καὶ οὕτω φησί. προδείκνυσιν ὁ ὄφις τὸν πονηρὸν τῆς ἁμαρτίας καρπόν, οὐχ ὡς ἔχει φύσεως (οὐ γὰρ ἠπατήθη ὁ ἂν-

9. γὰρ] δὲ? 17. ἀπαρχῇ CF.

divinitus ipsis revelata fuerint, multo magis impuri genii nihil quod praedicant habent. quippe futurorum notitia cum agnitione cordium soli deo peculiaris est. cuius quidem rei fidem tibi Davidis haec verba faciant (2 Par. 6 30) „tu solus omnino corda nosti."

Haec compendio quodam explicare tibi, dilecte fili, voluimus; neque brevitas esse tibi molesta debet, homini discendi perstudioso, cum noris haec a nobis alibi prolixius exposita.

Caeterum sacris in litteris (Gen. 3 6) haec verba legimus „ut vidit mulier arborem esse ad vescendum accommodam et oculorum adspectui gratam, et ad discendum pulcram, sumpsit de fructu eius et comedit." heic attente mihi, quid magnus ille Basilius dicat, adverito. quamobrem, inquit, erat in paradiso lignum de quo vesci quis posset? nam absque illo fuisset, nequaquam diabolus nos deceptos in mortem praecipites egisset. nimirum oportebat esse mandatum quoddam in quo nostra obedientia exploraretur. iccirco arbor istaec erat elegans et fructuum ferax, ut per abstinentiam a re suavi temperantiae bono declarato digni censeremur quibus tolerantiae serta merito tribuerentur.

Sic ille de his disserit. Nyssenus autem antistes sublimius haec verbis huiusmodi exponit. malum illum peccati fructum serpens com-

θρωπος τῷ προδήλῳ κακῷ), ἀλλὰ διά τινος ὥρας τὸ φαινό-
μενον ἀγλαΐσας, καί τινα κατὰ τὴν αἴσθησιν ἡδονὴν ἐγγοητεύ-
C σας τῇ γεύσει, πιθανὸς ἐφάνη τῇ γυναικί. τούτῳ τῷ τρόπῳ
τὸν ἄνθρωπον ὁ διάβολος εἴωθεν ἀπατᾶν. καὶ εἰ μὴ διόλου
νήφων ὁρᾶται, οὐκ ἂν ἐκφύγῃ τὰς αὐτοῦ μηχανάς, οὐκ ἂν
εὑρεθείη τῶν παγίδων ἀνώτερος. καὶ ταῦτα μὲν τοῦτον ἔχει
τὸν τρόπον.

Ἡ δὲ Λεπτὴ Γένεσις λέγει τὸν Ἀδὰμ ἀπροόπτως ἀπὸ
τοῦ ξύλου λαβεῖν καὶ φαγεῖν, καὶ μὴ προσχεῖν ὅλως τῷ λό-
γῳ τῆς Εὔας, ὅτι λειποθυμῶν ἦν ἀπό τε μόχθου καὶ πείνης.
ἀλλὰ ταῦτα μέν, ἀγαπητέ, σιωπᾶν ἄμεινον, ὅτι καὶ σιωπῆς,
ὡς προείρηται, τυγχάνουσιν ἄξια. εἰ μὴ βούλει καὶ σὺ λέ-
D γειν ὅτι γυναῖκα ἔλαβεν ὁ Ἀδάμ, ἵνα μὴ ἐφ' ἕτερα τῶν ζώ-
ων τραπήσεται. ὁ ὄφις ἀπὸ κτήνους ἑρπετὸν ἐγένετο, χεῖ-
ράς τε καὶ πόδας ἐκέκτητο. ἀφῃρέθη δὲ ταῦτα διὰ τὸ τολ-
μηρῶς εἰς τὸν παράδεισον εἰσελθεῖν, καὶ διὰ τὸ πρῶτος ἀπὸ
τοῦ ξύλου λαβεῖν καὶ φαγεῖν. ὁ Ἀδὰμ ἀπεσόβει τὰ πετεινὰ
καὶ ἑρπετά, συνῆγε τὸν καρπὸν ἐν παραδείσῳ, καὶ σὺν τῇ
γυναικὶ αὐτοῦ ἤσθιεν αὐτόν. ταῦτα μὲν οὖν, ἵνα μὴ λέγω,
καὶ ἔτι πολλῷ πλείονα τούτων, ἡ Λεπτὴ διέξεισι Γένεσις.
ἀλλ' ἄφες αὐτά. τοῖς γὰρ ὁπωσοῦν ἐγκύπτουσι τῇ ἁγίᾳ γρα-
φῇ γέλως ἄντικρυς δοκοῦσι καὶ παίγνια.

monstrat, non illum quidem eo pacto quo comparatus erat a natura (non enim aperto malo circumscriptus homo fuisset), sed externa eius specie per venustatem quandam exornata, et in ipso sensu dulcedine gustui praestigiis quibusdam indita, visus est mulieri fidem omnino mereri. eo pacto fallere diabolus hominem consuevit, qui nisi plane prudens atque sobrius sit, molitiones eius vitare laqueosque superare nequit. atque haec in hunc modum comparata sunt.

Caeterum parvus ille de ortu rerum liber Adamum citra circumspectionem sumpsisse de ligno et comedisse, prorsus Evae verbis haud impulsum, tradit. sensisse nimirum molestiam animi quandam ex fatigatione ac fame. verum haec silentio tegi praestat, cum perpetuum silentium mereantur, nisi tu quoque velis dicere mulierem Adamo concessam, ne alia se ad animalia converteret; serpentem ex iumento factum bestiam reptibilem, cum manus ac pedes prius haberet, quibus spoliatus propterea fuerit quod paulo audacius paradisum fuisset ingressus ac primus de ligno sumpsisset et comedisset; Adamum volucres et reptiles bestias abegisse, ac fructibus paradisi congestis una cum uxore victitasse; quae quidem, ne multo his plura commemorem, parvus ille de rerum ortu liber narrat, omnino tibi reiicienda, uti quae pro ludo iocoque ducant quotquot aliquo saltem modo litteras sacras inspectarunt.

Καὶ χιτῶνας δερματίνους ἐνέδυσεν αὐτούς. ὁ P. 109 μὲν οὖν θεῖος Γρηγόριος ὁ Νύσσης φησὶν ὅτι χιτῶνας δερματίνους ἐπιβάλλει τοῖς πρωτοπλάστοις ὁ κύριος, οὐ δέρματα δέ. ποίων γὰρ ἀποσφαγέντων ζώων καὶ δαρέντων ἐπινοεῖται αὐτοῖς ἡ περιβολή; ἐκ τῆς τῶν ἀλόγων λοιπὸν φύσεως νεκρότητα ἐντέθεικεν οἰκονομικῶς τῇ εἰς ἀθανασίαν κτισθείσῃ φύσει, ἵνα μὴ ἀθάνατον ᾖ τὸ κακόν. ὁ δὲ χρυσορρήμων B Ἰωάννης κατὰ τὸ γράμμα τοὺς τοιούτους ἐκλαμβάνων χιτῶνας καὶ τάδε φησίν. „εἰ πόθεν εὑρέθησαν τὰ δέρματα μὴ σφαγέντων τῶν ζώων, φιλοτιμούμενοι λέγουσιν οἱ ἀλληγορηταί, οὐκοῦν ἀκούω κἀγὼ αἷμα ἐν Αἰγύπτῳ, καὶ ζητῶ πόθεν μετέβαλε τὸν Νεῖλον εἰς αἷμα, ποῖα ἔθυσε ζῶα; καὶ ὁ ποταμὸς γέγονεν εἰς αἷμα, καὶ οὐδὲν αἷμα ἐτύθη ζώων. δέρματα δύο γέγονε, καὶ ζητοῦσιν ἀπὸ ποίων ζώων ἐγένετο. V. 85 ἀλλ' ὥσπερ ἐκεῖ ἐκτὸς ζώου αἷμα, οὕτως ἐνταῦθα ἐκτὸς ζώου δέρμα."

Γίνωσκε δὲ ὅτι οὐ τοσοῦτον ὁ πατὴρ ἐπὶ τῇ τῶν παίδων ἀνατροφῇ μεριμνᾷ ὡς ἡ μήτηρ, ὅτι καὶ αὐτὴ τότε ἤκουσεν C „ἐν λύπαις τέξῃ τέκνα· ἐπικατάρατος ἡ γῆ ἐν τοῖς ἔργοις σου." ἐγὼ ἁμαρτάνω, καὶ ἡ γῆ ταῖς ἀφορίαις μαστίζεται. ἐπικατάρατος ἡ γῆ διὰ τὰ ἔργα ἡμῶν, τουτέστιν οὐχ ἕτοιμα εὑρίσκονται ἀπὸ γῆς τὰ ἐκεῖθεν ἀναδιδόμενα ὥσπερ δὴ καὶ

Tunicis, inquiunt litterae sacrae, pelliceis induit eos. tradit heic Gregorius antistes Nyssenus dominum pelliceis quidem tunicis homines illos principe loco formatos amicivisse, non autem pellibus. etenim quibus, obsecro, mactatis animalibus pelles detraxit, ut hominibus amictum reperiret? restat igitur deum certo consilio de natura brutorum petitam mortalitatem indidisse naturae huic ad immortalitatem conditae, ne malum perpetuum foret. Iohannes autem Chrysostomus hasce tunicas intelligens, ut verba sonant, inquit „si quis est hominum in alios sensus scripta sacra torquentium, qui ambitiose roget unde pelles istae repertae fuerint, cum animalia nulla mactata forent, is sciat me quoque audientem de Aegypti sanguine scire cupere quo pacto deus Nilum in sanguinem converterit, qualianam mactarit animalia? nimirum in sanguinem commutatus est amnis, cum animal nullum mactatum esset. itidem pelles exstitere duae, atque illi quaerunt de quibus animalibus sumptae fuerint? ut ibi scilicet absque animali sanguis erat, ita heic absque animali pellis."

Hoc quoque scire debes, non tantopere patrem de liberorum educatione sollicitum esse atque mater est, quippe quae id temporis sibi dici audiverit (Gen 3 16) „cum dolore natos paries." secundum haec deus ait „exsecratione quadam infelix erit humus propter ea quae designasti." nimirum me peccante solum sterilitate flagellatur, adeoque infelix humus est facinorum nostrorum causa: hoc est, quae

τὸ πρότερον. καὶ ἔρραψαν φύλλα συκῆς, ἀπεδύσαντο τὴν ἀθανασίαν, ἡ στολὴ περιῃρέθη τῆς δόξης, ἐγυμνώθη τὸ σῶμα καὶ ἦν λοιπὸν πηλός. ὅθεν καὶ φύλλα συκῆς ῥάπτουσιν. ὅθεν δὲ τὴν ῥαπτικὴν εὗρε, μὴ ζήτει· εἰ γὰρ ἦν θεοῦ εἰκών, μὴ ἀμφιβάλλῃς περὶ τὴν γνῶσιν αὐτοῦ.

D Ἐνταῦθα μὲν οὖν ὁ χρυσορρήμων Ἰωάννης ἐμπαίζει καὶ τοῖς ἐν οὐρανῷ λέγουσι τὸν παράδεισον εἶναι καὶ πνευματικόν. εἰ γὰρ ἄνω ἦν, κατέρχεσθαι ἂν ἐλέγοντο οἱ ποταμοί, οὐ μὴν ἐξέρχεσθαι. ἐντεῦθεν οὖν ὁ κατάρατος Ὠριγένης ἀποπνιγόμενος φαίνεται, καὶ μᾶλλον ἐν οἷς ἐκενολόγησεν ἀσώματον τὸν Ἀδάμ. εἰ γὰρ ἀσώματος ἦν, οὐκ ἂν ἔλαβε μίαν τῶν πλευρῶν αὐτοῦ ὁ θεὸς καὶ ᾠκοδόμησε τὴν γυναῖκα· πρόδηλον οὖν ὡς ἐπειδὴ πλευρὰν ἔλαβεν ἐξ Ἀδάμ, πλευρὰ δὲ τοῖς
P. 110 ἀσωμάτοις οὐ πρόσεστιν, οὐκ ἦν ἄρα κατ' ἐκεῖνον ἀσώματος ὁ πρωτόπλαστος. μετὰ μέντοι τὸ ἐκβληθῆναι τοῦ παραδείσου ὁ Ἀδὰμ ἔγνω Εὔαν τὴν γυναῖκα αὐτοῦ, καὶ γεννᾷ τὸν Καΐν. ἔγνω δὲ πῶς; ἐμπαθῶς, τῆς ἀγγελικῆς ἐκπεσὼν ὁ ἄνθρωπος διαγωγῆς, ἐπειδὴ παραβάτης ὤφθη τῆς ἐντολῆς, τῷ κτηνώδει τούτῳ τρόπῳ καὶ ἐμπαθεῖ περιέπεσε. ταύτῃ τοι καὶ ὀδυρόμενος ὁ Δαβὶδ ἔλεγεν „οἴμοι ὅτι ἄνθρωπος ἐν τιμῇ ὢν οὐ συνῆκε. παρασυνεβλήθη τοῖς ἀνοήτοις κτήνεσι καὶ ὡμοιώ-

10. ἐκαινολόγησεν F. 17. τῆς] τῆς γὰρ?

ex ea nascuntur, non iam amplius sponte proveniunt, uti prius consueverant. et folia ficulna consuerunt, immortalitatem exuerunt, amictus ille gloriosus eis ademptus est, corpusque nudatum et in lutum redactum. ea scilicet de causa sibi ficulna folia consuerunt. artem ipsam consuendi unde repererit homo, noli quaerere: nam si erat imago dei, de scientia ipsius ambigendum non est.

Atque hoc loco Chrysostomus eos irridet qui paradisum in coelo collocant et spiritualem esse volunt. quippe si superioribus istis in locis erat, dicere debebant litterae sacrae flumina eius deorsum ferri, non exire. quae ratio Origenem illum exsecrabilem quasi suffocatum manifesto perimit, simulque vanam ipsius orationem, qua corporis expertem Adamum fecit. nam si corporis fuisset expers, non sumpsisset unam ex eo costam deus mulieremque de illa formasset. itaque perspicuum est, quod cum ex eo costam sumpserit, quae in expertibus corporis nulla est, statui debeat hominem primo formatum corporis expertem non fuisse. caeterum posteaquam Adamus eiectus paradiso fuisset, Evam uxorem suam cognovit et Cainum procreavit. quonam autem pacto cognovit? non citra corporis adfectiones. quippe cum homo angelica vita excidisset, ex quo mandati violator exstitit, in statum vitae brutorum consimilem et adfectionibus obnoxium lapsus est. iccirco Davides (Psalm. 48 13) plorans inquit „hei mihi, cum homo dignitate floreret, animum non advertit. iccir-

θη αὐτοῖς." κατὰ γὰρ τοῦτο καὶ ὁ μέγας Μάξιμος ἐν τοῖς B πρὸς Θαλάσσιον ἔλεγεν ὅτι τὰ πάθη ταῦτα, ἤγουν ἡδονὴ λύπη ἐπιθυμία καὶ τὰ λοιπὰ πάντα, τῇ φύσει τῶν ἀνθρώπων προηγουμένως οὐ συνεκτίσθησαν, ἀλλὰ διὰ τὴν τῆς τελειότητος ἔκπτωσιν ἐπεισῆλθε ταῦτα τῷ ἀλογωτέρῳ μέρει προσφυέντα τῆς φύσεως, δι' ὧν ἀντὶ τῆς θείας καὶ μακαρίας εἰκόνος εὐθὺς ἅμα τῇ παραβάσει διαφανὴς καὶ ἐπίδηλος ἐν τῷ ἀνθρώπῳ γέγονεν ἡ τῶν ἀλόγων ζώων ὁμοίωσις. ἔδει γὰρ τῆς ἀξίας τοῦ λόγου καλυφθείσης ὑφ' ὧν γνωμικῶς ἐπεσπάσατο τῶν ἀλόγων γνωρισμάτων, ἐνδίκως τὴν φύσιν τῶν ἀνθρώπων κολάζεσθαι, σοφῶς εἰς συναίσθησιν τῆς λογικῆς C μεγαλονοίας ἐλθεῖν οἰκονομοῦντος τοῦ θεοῦ τὸν ἄνθρωπον. πλὴν οὐκ ἀναγκαίως τῷ ὄντι κατέδησεν ἡμᾶς ὁ θεὸς μετὰ τὴν παράβασιν ταῖς ἐπιθυμίαις ταύταις, ὑφ' ὧν ἐπί τε βρώσεις καὶ πόσεις καὶ ἐπὶ ἀφροδίσια καταφερόμεθα. ἐντεῦθεν γὰρ τοῖς γεννητοῖς ἡμῶν σώμασι τὸ γεννᾶσθαί τε καὶ τρέφεσθαι καὶ διαμένειν ἕως πλείστου, καθ' ὅσον ἂν ἑκάστῳ τοῦ σώματος ἡ σύστασις ἐπιδέχηται. καὶ γὰρ ἐκ τεσσάρων αὐτὸ στοιχείων συγκείμενον ἐπακολουθοῦσαν ἐξ ἀνάγκης κέκτηται τὴν διάλυσιν. σύνθεσις γὰρ ἀρχὴ διαστάσεως, ὡς ὁ θεολό- V. 86 γος φησὶ Γρηγόριος. λέλυται οὖν ἐπὶ τισὶ μὲν τάχιον ἐπὶ τισὶ δὲ βράδιον. καὶ πείθου τῷ μεγάλῳ Κυρίλλῳ λέγοντι D

co brutis iumentis est comparatus, eisque factus similis." idem eximius etiam ille Maximus in iis ad Thalassium quae perscripsit exposuit, adfectiones nimirum hasce, voluptatem dolorem appetitum, caeteras, initio cum hominum natura non fuisse conditas, sed propter amissionem perfectionis irrepsisse, ac parti naturae paulo longius a ratione recedenti adhaesisse, per quas statim una cum transgressione pro divina beataque imagine brutorum animalium similitudo in homine manifesta et conspicua exstitit. erat enim necesse ut cooperta rationis dignitate natura mortalium aequissimo iure per ea puniretur brutorum naturae indicia et argumenta, quae ipsa sibi sponte sua arcessivisset, sapienter efficiente deo ut hoc pacto intelligentiae rationalis amplitudinem homo secum expenderet. enimvero post transgressionem reapse nos deus cupiditatibus illis alligavit et constrinxit, per quas ad cibum, potum, res Venereas impellimur. hinc est in corporibus nostris per procreationem in lucem editis, quod et gignantur et alantur, et tam diu maxime durent quamdiu cuiusque corporis constitutio vitae capax est. cum enim corpus ex elementis quattuor constet, ita necessario comparatum est ut eius dissolutio tandem sequatur. quippe compositio nostri ortus initium est, quemadmodum Gregorius ille theologus inquit. iccirco corpus in quibusdam celerius dissolvitur, in aliis tardius. persuadeat hoc etiam

„εἴασε δὲ μετὰ τὴν ἀπόπτωσιν ἕκαστον ὁ θεὸς τὴν ἑαυτοῦ ζωὴν ἐκπληροῦν ὡς ἂν ἔτυχε κράσεως." ἐπὶ γὰρ τούτῳ καὶ τὰ συστατικὰ τῆς ζωῆς ἡμῶν, καρδίαν δηλονότι ἐγκέφαλον ἧπαρ καὶ ὅσα τοιαῦτα, στερροῖς ἁπανταχόθεν ὀστέοις ἡ φύσις ἐφρούρησεν, ὥστε μὴ καὶ ταῖς τυχούσαις προφάσεσι καταβλαπτομένων αὐτῶν ἑτοίμως οὕτω τὸν θάνατον ἕπεσθαι. ταύταις μέντοι ταῖς ἐπιθυμίαις καὶ ἡδονὴν ὥσπερ τι δέλεαρ ἐγκατέμιξεν, ὡς ἐντεῦθεν ἡμᾶς ἑτοίμως καθέλκεσθαι. εἰ μὴ γὰρ τοῦτο ἦν, οὐκ ἂν ἐπὶ βρώσεις καὶ πόσεις ἐτρέχομεν, οὐκ
P. 111 ἂν ἀφροδισίοις ὁλοσχερῶς προσεκείμεθα. εἰ δὲ μὴ τοῦτο, τάχα ἂν ἐξ ἀνάγκης τὸ γένος ἀπόλωλε τὸ ἀνθρώπινον. κατὰ τοῦτο μὲν οὖν καὶ ἡ γονή, περίττωμα οἷον οὖσα, κατεπείγει καὶ ἀνιᾷ καὶ ἀναγκάζει τὸ ζῷον ὁρμᾶν ἐπὶ τὴν ἀπόκρισιν αὐτῆς, εὐμεθόδως καὶ τοῦτο τοῦ θεοῦ συγχωρήσαντος ἕνεκα τῆς τοῦ γένους διαμονῆς. ταῦτα δὲ Μάνης καὶ Οὐαλεντῖνος ἠγνοηκότες, ὡς ἔοικε, κτίσμα τοῦ διαβόλου ἔλεγον εἶναι, ὑπ' αὐτοῦ τε πυροῦσθαι καὶ πρὸς ἀτιμίας ἀποκυλίεσθαι. πλὴν
B οὐκ ἀφῆκε πρὸς συναφείας ἡμᾶς ὁ θεὸς εἶναι πάντη κατωφερεῖς, οὐδὲ ζῆν ἀνεπαισθήτως εἴασεν ὡς τὰ ἄλογα. τῇ γὰρ ἡδονῇ καὶ ἀηδίαν συνέζευξεν καὶ σύμμικτον ταύτην ἐποίησεν, ὡς ἐκεῖθεν μὲν ἐπὶ τὴν τοῦ γένους αὔξησιν ἕλκεσθαι, ἐντεῦθεν δὲ ταλανίζειν ἑαυτούς, τῶν προτέρων ἐπιμεμνῆσθαι, καὶ

10. καὶ alterum deerat.

magnus ille tibi Cyrillus, qui ait „post lapsum deus unicuique vitam suam explere pro ratione temperamenti sinit." nam illam ob causam partes eas corporis nostri quae vitam nostram continent, cuius generis sunt cor cerebrum iecur aliaque talia, firmis ossibus undique natura munivit, ut ne per quasvis occasiones fortuitas iis laesis extemplo mors consequeretur. atque his, de quibus antea locuti sumus, cupiditatibus voluptatem quoque velut escae condimentum quoddam miscuit, ut ea nos commode delenitos flecteret. nam caeteroquin ad cibum potumque nos haud conferremus, et a rebus Venereis prorsus abstineremus. quibus rebus omissis ac neglectis necessario genus humanum interiret. hinc fit ut semen, quod superfluitas quaedam est, nos urgeat, et molestia quadam adficiendo cogat ut eius ad excretionem progrediamur, optima id ratione permittente deo propter generis nostri durationem. quae cum Manes atque Valentinus ignorarent, uti quidem videtur, carnem esse diaboli opificium dixerunt et accendi ab eo, quo turpes in libidines proruat. enimvero non concessit nobis deus ut nimiopere simus ad complexus Venereos proclives, nec brutorum in morem absque sensu vivendi potestatem fecit. nam voluptati quandam insuavitatem adiunxit atque miscuit, ut hinc quidem ad generis propagationem excitaremur, inde vero miserias nostras deploraremus, prioris status memoriam refricaremus, pecca-

τῆς ἁμαρτίας μέγα καταβοᾶν, δι' ἣν τοῖς ἀνοήτοις παρασυνεβλήθημεν κτήνεσι.

Πρὸς τούτοις εἰδέναι καὶ τοῦτό σε βούλομαι, ὅτι τὸ ἐπιθυμητικὸν μέρος τῆς ψυχῆς τῷ ἥπατι ἐγκαθίδρυται, τὸ C
δὲ θυμικὸν ἐν τῇ καρδίᾳ ποιεῖται τὴν οἴκησιν, τὸ δὲ λογικὸν ἐν αὐτῷ τῷ ἐγκεφάλῳ. τοῦτο μὲν οὖν τὸ λογικὸν ἐχαρίσατό σοι ὁ τῶν ὅλων πρύτανις, ἵνα συμμάχῳ καὶ τῷ θυμικῷ χρώμενος γενναίως ἀνθίστασαι κατὰ τῆς ἀλόγου καὶ βοσκηματώδους ψυχῆς, τῆς ἐπιθυμητικῆς δηλαδή· οἶδε γὰρ ὁ τῆς φύσεως δεσπότης ὅση περ ἐκείνης ἐστὶν ἡ ὁρμή. ὅτι δὲ τὸ τῆς ψυχῆς ἐπιθυμητικὸν αὐτῷ τῷ ἥπατι ἐγκαθίδρυται, καὶ τὸν Τιτυὸν παράγει ὁ Γαληνὸς εἰς σύστασιν τούτου τοῦ λόγου, ἐν μὲν τῇ διαγνωστικῇ αὐτοῦ ὑπὸ ἀετοῦ λέγων αὐτοῦ κατεσθίεσθαι τὸ ἧπαρ, ἐν δὲ τῷ περὶ ἠθῶν ψυχῆς μονοβίβλῳ D
ὑπὸ γυπῶν. ὁ γὰρ Τιτυὸς οὗτος κατὰ τὴν ἔξω μυθολογίαν ἐρασθῆναι λέγεται τῆς Λητοῦς, ἐφ' ᾧ καὶ παρὰ τῶν παίδων αὐτῆς Ἀπόλλωνός τε καὶ Ἀρτέμιδος κολάσει καθυποβληθῆναι, καὶ κατὰ μὲν τὸν Γαληνὸν ὑπὸ ἀετοῦ εἴτε καὶ γυπῶν τὸ ἧπαρ ἐσθίεσθαι, κατὰ δέ τινας ἄλλους τοξευθῆναι αὐτὸν κἀντεῦθεν ἔχειν τὰ βέλη ἐμπεπαρμένα τῷ ἥπατι. εὔδηλον οὖν ἐντεῦθεν τῷ ἥπατι τὸ τῆς ψυχῆς ἐπιθυμητικόν ἐστι.

8. χρώμενος] χαρισάμενος F.   21. τῷ] ὅτι ἐν τῷ?

tum denique graviter incusaremus, cuius causa paradisi vita spoliati sumus brutisque iumentis similes facti.

Praeter haec etiam illud scire te volo, partem eam animi quae appetendi facultatem continet in iecinore sedem suam obtinere, alteram qua irascendi vis continetur in corde, rationis denique domicilium in cerebro esse. atque hanc ipsam rationis facultatem gubernator ille rerum universitatis propterea tibi donavit, ut ab irascibili facultate adiutus fortiter adversari brutae pecuinaeque concupiscentiae possis. norat enim dominus ille naturae quantus esset eius impetus. et hanc appetendi vim sedem in iecinore suam habere Galenus etiam Tityi commemorata fabula probat, in libro quidem eo cui Diagnostices titulum fecit, iecur eius ab aquila comedi, in altero autem libro singulari qui est de animi moribus, a vulturibus devorari tradens. etenim Tityus hic, ut externae disciplinae fabulis continentur, Latonam adamasse perhibetur, eamque ob causam ab illius liberis Apolline ac Diana supplicio adfectus, Galeno quidem narrante hominem vel ab aquila vel a vulturibus absumi, aliis vero tradentibus sagittis eum fuisse confixum, quae quidem adhuc iecinori eius inhaereant. de quo intelligi non obscure potest appetentem animae vim esse in iecinore sitam.

Πρόσεχε λοιπόν. ὅταν μὲν γὰρ τὸ λογιστικὸν ἄρχῃ, πει-
θόμενον μὲν ἑαυτῷ τὸ θυμοειδὲς ἔχον, ἀσθενὲς δὲ καὶ ταπει-
P. 112 νὸν τὸ ἐπιθυμητικόν, οὔτε ἀκόλαστος ὁ τοιοῦτος βίος οὔτε οἷ-
V. 87 ον οἱ λῃσταὶ βιοῦσι καὶ τύραννοι, ἀλλὰ σεμνὸς πάντῃ καὶ
δίκαιος. καὶ τούτου χάριν ἀμφιβάλλειν οὐ χρή. εἰ μὴ γὰρ
τοῦτο ἦν, εἰ μὴ ἐξ αὐτῆς τῆς σώματος κατασκευῆς οὗτος μὲν
ὑπὸ παθῶν ἥττητο, ἐκεῖνος δὲ πάλιν ἐγκρατὴς αὐτῶν κατε-
φαίνετο, οὐκ ἂν ὁ μέγας Βασίλειος τὸν προφήτην Ἡσαΐαν
ἐξηγούμενος εἰσῆγέ τινας ἐκ φύσεως ἔχοντάς τινα προτερή-
ματα καὶ κατά γε τὴν σύγκρισιν τῆς σαρκὸς πολλῶν διαφέ-
ροντας εἰς ἀνάληψιν ἐπιστήμης ἢ ἄσκησιν ἀρετῆς. ἐντεῦθεν
οὖν καὶ σώφρονα ἴδοι τις ἂν καὶ ἀκόλαστον, θυμώδη καὶ
B πρᾶον, ἐχέφρονα καὶ μὴ τοιοῦτον, ὥσπερ δὴ καὶ τοῖς ἔμ-
προσθεν εἴρηται. ταῦτα μὲν οὖν δύναιτ' ἄν τις ἐπὶ τὸ κρεῖτ-
τον μεταφέρειν ἀπὸ τοῦ χείρονος, καὶ ἐπὶ τὸ χεῖρον αὖ με-
τατρέπειν ἀπὸ τοῦ κρείττονος. καὶ δῆλον ἐξ ὧν ὁ θεολόγος
Γρηγόριος ἔλεγεν „ἀρκετὸν τῷ σώματι ἡ κακία αὐτοῦ. τί
δὲ δεῖ τῇ φλογὶ πλείονος ὕλης, τῷ θηρίῳ δαψιλεστέρας τρο-
φῆς; ἵνα δυσκάθεκτον γένηται καὶ τοῦ λογισμοῦ βιαιότερον."
πρόσεχε οὖν ὅσα βιάζουσιν ἑαυτοὺς οἱ θέλοντες μὲν σωφρο-
νεῖν, ἔχοντες δὲ τὸ ἐπιθυμητικὸν ἰσχυρόν· ἡ μὲν γὰρ φύσις
τὰ ἑαυτῆς ἐξ ἀνάγκης ἐπιζητεῖ, ὁ δὲ ἁγνεύειν αἱρούμενος τοῖς

10. σύγκρασιν?

Atque hoc loco quid sim dicturus considerato. cum rationis facultas imperium obtinet eique vis irascibilis paret, appetente debilitata summisseque se gerente, tum vero nec intemperanter homines vivunt, nec praedonum aut tyrannorum in morem, sed honesta plane iustaque vita degitur. hac de re dubitari non debet. nam si res ita comparata non foret, et si corporis in eadem structura non hic adfectionibus foret obnoxius, ille se superiorem iis declararet, nequaquam magnus ille Basilius Esaiam vatem enarrans quosdam a natura praecellere diceret aliis, et ipsius etiam carnis comparatione multis praestare, sive in scientiae alicuius perceptione sive in cultu virtutis. hinc videre est varios homines, temperantes et intemperantes, iracundos et mites, prudentes et stolidos, ut supra quoque monuimus. atque haec de condicione deteriore in melius commutari possunt, ac vicissim a bono in peius licet deflectere, quemadmodum ex hisce Gregorii theologi verbis perspicue intelligimus. satis est, inquit, corpori sua vitiositas. cur flammae materies amplior suppeditetur? cur huic belluae nutrimentum largius? ut intractabilis scilicet fiat ac rationem violentia sua superet. animum igitur advertito. quantam sibi vim adferant homines ii qui frugi quidem esse cupiunt vitamque angelicam imitari, verum facultatem appetentem in se validam sentiunt (etenim natura requirit ea quae sua sunt; cuius volun-

θελήμασι τῆς σαρκὸς ἀντιπίπτει καὶ βίον ἀγγελικὸν μιμεῖσθαι C φιλονεικεῖ. ὅσον δὲ βαρὺ τὸ πρὸς φύσιν μάχεσθαι, καὶ οἷον ἐντεῦθεν τὸ ἔπαθλον, ὁ τῆς Κλίμακος Ἰωάννης ὁ ἁγιώτατος ἐδήλωσεν οὕτως εἰπὼν „ὁ σῶμα νικήσας φύσιν ἐνίκησεν· ὁ δὲ φύσιν νικήσας ὑπὲρ φύσιν ἐγένετο· ὁ δὲ τοῦτο γενόμενος βραχύ τι παρ' ἀγγέλους ἠλάττωται, ἵνα μὴ λέγω μηδέν." πρόσεχε δὲ ὅτι καὶ σφόδρα βαρυαλγοῦσι καὶ ἄχθονται οἱ θέλοντες μὲν σωφρονεῖν, ἔχοντες δὲ τὸ ἐπιθυμητικὸν ἰσχυρὸν πολυπληθῆ τε τὴν γονήν, πρὸς ἔξοδον ἀεὶ ἐπειγομένου τοῦ ἐνοχλοῦντος αὐτοῖς. καὶ μὴ κατά τι ἀμφίβαλλε. εἰ γὰρ ὁ D Διογένης ἐκεῖνος ὁ Κυνικὸς τὸ τῆς φύσεως βάρος οὐκ ἐνεγκών, καὶ ταῦτα τοσοῦτον ἀσκητικώτατος ὤν, γυναῖκα ζητῆσαι λέγεται ὥστε τὰ βαρῦνον ἀποθέσθαι καὶ τὸ ἑαυτοῦ σῶμα κουφίσαι, τί χρὴ καὶ λέγειν ὅσον ὑπομένουσι κάματον οἱ σφοδρὸν μέν, ὡς εἴρηται, λαχόντες τὸ ἐπιθυμητικόν, ἐν ἁγνείᾳ δὲ φυλάσσειν ἑαυτοὺς προθυμούμενοι. ἐντεῦθεν, ἀγαπητέ, τῶν ὁσίων τινές, ἵνα τὴν φυσικὴν ἀποσβέσωσι πύρωσιν, καὶ γυμνοὶ τὸ σῶμα μέσον ὑδάτων διημερεύοντες ὤφθησαν. μηδεὶς λοιπὸν ἐπὶ μέσου προσφερέτω τὴν γένεσιν, μηδεὶς οὐκ ἀγαθοὺς ἀστέ- P. 113 ρων προφασιζέσθω σχηματισμούς. ἀστέρων μὲν γὰρ κινήσεις, ἀνατολὰς καὶ δύσεις αὐτῶν, τοῖς προσήκουσι γίνεσθαι

tati atque motibus adversatur quisquis vitam agere castam instituit), quamque adeo grave sit repugnare naturae velle, cui respondet ipsius etiam praemii magnitudo, sanctus ille vir Iohannes auctor scalae hisce verbis declarat „qui corpus vicit, naturam vicit; qui naturam vicit, supra naturam semet extulit; hoc qui consecutus est, paulum angelis est inferior, ne nihil ab iis differre dicam." nimirum scito gravibus eos molestiis premi qui casti esse desiderant, cum appetitum in se fortem experiantur et geniturae magnam copiam, quae negotii plurimum eis facessit ac nunquam non, ut emittatur, urget. nihil de hoc ambigendum. quippe si Diogenes ille Cynicus, cum onus illud naturae nequiret amplius ferre, homo perpetuis et maximis exercitationibus ad abstinentiam condocefactus, mulierem aliquando quaesisse perhibetur, quo rem molestam sibi deponeret et corpus onere velut excusso levaret, quantum illos sustinere laboris atque molestiarum existimandum est, in quibus a natura vehemens est appetitus impetus, cum nihilominus servare seipsos in continentia velint? atque hanc ob causam, dilecte fili, quidam viri religiosi nudis corporibus totos dies in medias aquas semet abiecisse traduntur, quo inflammationem et aestum illum naturalem restinguerent. itaque nemo posthac nativitatem suam in medium proferat, nemo inauspicatos siderum positus et inter se conformationes caussetur. nam sapiens ille moderator universorum praeclaro consilio instituit, ut suis tem-

καιροῖς ᾠκονόμησεν ὁ σοφῶς τὰ πάντα διευθετῶν, ὡς ἐντεῦθεν ἀέρος μετατρεπομένου καὶ ὄμβρων καταρρηγνυμένων εὐκαίρως αὔξεσθαι τὰ φυτά. καὶ γὰρ τῶν τροφῶν ὡς ἐν κύκλῳ διηνεκῶς χορηγουμένων ἀνελλιπὴς καὶ ἡ τῶν προσφερομένων τοὺς καρποὺς διαμένει φύσις, ὡς εὑρίσκεσθαι μὲν
V. 88 ἐκεῖνα διὰ τοὺς καρπούς, τοὺς δὲ καρποὺς διὰ τὰ ζῶα καὶ τὸν ἄνθρωπον. οὐ γνώμας λοιπὸν οἱ ἀστέρες μετατρέπουσιν,
B οὐδὲ καθάπερ τι ἀνδράποδον τὸν κατ' εἰκόνα θεοῦ περιάγουσιν ἄνθρωπον. οὐδὲ γὰρ εἰς τοσοῦτον ἂν εὑρεθεῖεν ἄδικοι, τοὺς μὲν μοιχοὺς ποιοῦντες, τοὺς δὲ φονέας καὶ ἅρπαγας. ἀλλὰ καὶ πρὸ τῶν ἀστέρων ὁ δημιουργὸς αὐτῶν τὴν αἰτίαν ἀποφέρεται, εἴπερ τοιαῦτα κατεσκεύασεν ἃ τὴν ἐπιφορὰν ἡμῖν ἐξ ἀνάγκης τῶν κακῶν ἐπιτίθησι, καθὰ δὴ καὶ πρὸς Φαῦστον ὁ κορυφαῖος ἔλεγε Πέτρος, γενέσει καὶ εἱμαρμένῃ τὸ πᾶν ἐπιτρέποντα.

Ὅρα λοιπὸν νουνεχῶς, καὶ μὴ ἐπὶ πλέον τοῖς λόγοις αὐτῶν θορυβοῦ. εἰ γὰρ καὶ λέγουσιν ὅτι ἡ ὥρα καθ' ἣν ἡ
C σύλληψις τοῦ συλλαμβανομένου γίνεται, ἐκείνη καὶ τὸ πλαστουργούμενον, εἴτε ἄρρεν εἴτε θῆλυ, διαπλάττειν ἄριστα εἴωθεν, ἀλλ' εὐθέως ἀνθυποφέρειν ἔχεις καὶ σύ, καὶ οὕτω λέγειν αὐτοῖς, ὡς εἴπερ ἐν μιᾷ ὥρᾳ καὶ τῇ αὐτῇ καταβολῇ τῶν διδύμων ἡ σύλληψις γίνεται, ἔπρεπε πάντως μὴ τὸ μὲν

poribus certi siderum motus ortus occasus eveniant, quo commutato per has causas aëre pluviisque delabentibus plantae incrementum commode sumant. cum enim alimenta quodam velut ambitu perpetuo suppeditata non desiderantur, etiam illorum natura, qui fructus ipsos percipiunt, vel egere vel deficere nequit. de quo intelligimus sidera quidem cum motibus suis fructuum, fructus autem animalium et hominis esse causa factos. quapropter animorum voluntates atque sententias sidera non mutant, nec hominem ad imaginem dei factum mancipii cuiusdam vilis instar hac illac ducunt. non tam enim ipsa deprehenderentur iniusta esse, quosdam adulteros efficientia, quosdam homicidas ac praedones, quam eorum opifex, qui praecipuam in hac parte culpam mereretur, ob res eiusmodi conditas quae necessario nos ad mala proclives redderent. iccirco non abs re scripsit eximius ille Petrus ad Faustum, quosdam falso universum hoc nataliciis sideribus et fato committere.

Prudenter igitur haec considerato, nec horum verbis plus aequo perturbari te sinito. cum enim dicunt eam horam qua fetus conceptio fiat, fetum ipsum, tam marem quam femineum, optime formare, mox eis obiicere vicissim potes quod si quidem una et eadem hora, una et eadem seminis deiectione gemellorum conceptio fiat,

αὐτῶν ἄρρεν τὸ δὲ θῆλυ, ἀλλ' ἄρρενα καὶ ἄμφω κατὰ τὴν ἐπικρατοῦσαν ὥραν ἢ θήλεα ταυτὶ διαπλάττεσθαι. οὕτω μὲν οὖν ἔδει μὴ τὸ μὲν αὐτῶν τάχιον τελευτᾶν τὸ δὲ βράδιον, ἀλλ' ὁμοῦ καὶ ἄμφω τῶν ὧδε μεθίστασθαι· κατὰ γὰρ ἐκείνους εἰπεῖν, ὁ αὐτὸς ἀστὴρ κἀκείνῳ καὶ τούτῳ τὴν ζωὴν ἐχαρίσατο. ἀλλὰ καὶ ἐπί τισι παθήμασι καὶ σινώμασιν ὑφ' D ὧν ἁλίσκονται πολλάκις τὰ κατὰ μήτραν πηγνύμενα (τά τε γὰρ θήλεα σχῆμα πολλάκις ἀνδρῶν περί που τὰ γεννητικὰ φέρουσι μόρια, καὶ τοὐναντίον αὖθις τὰ ἄρρενα) τοὺς ἀστέρας αἰτίους ἥγηνται. ταύτῃ τοι καὶ ἑρμαφροδίτους τοὺς τοιούτους ἐπονομάζουσι. κομψεύονται γάρ, ἐπειδὰν ὁ Ἑρμῆς καὶ ἡ Ἀφροδίτη εὑρεθεῖεν ὁμόκεντροι, συνόντος αὐτοῖς τοῦ Κρόνου, πρὸς δὲ καὶ σχηματιζομένου τοῦ Ἄρεος, αἴτιοι τηνικαῦτα καὶ τῶν παρὰ φύσιν παθῶν τοῖς τικτομένοις καθίστανται. ἀλλ' οὐκ ἔστι τοῦτο, οὐκ ἔστιν· ἡ γὰρ διαπλάττουσα P. 114 τὸ ἔμβρυον φύσις αἰτία πολλάκις τῶν τοιούτων εὑρίσκεται, καθὼς ἄνωθεν εἴρηται. ἀλλὰ καὶ ὁ παρ' αὐτοῖς τοῖς Ἕλλησι τιμώμενος Ἑρμῆς Ἄμμωνι τῷ σοφῷ ἐπιστέλλων αὐτοὺς αἰτιᾶται τοὺς ἀστέρας ἐπί τε τοῖς μαινομένοις καὶ τὸ φρόνημα κεκτημένοις παράφορον ὡς αἰτίους δῆθεν τοιούτων παθῶν. φησὶ καὶ γὰρ ὡς ἐπειδὰν ἐξ ἀγαθοῦ σχήματος ὁ τοῦ ἐγκεφάλου κυριεύων ἀστὴρ κατοπτεύει τὸ πλαστουργούμενον,

13. τηνικ.] παραυτίκα F.

omnino necesse sit alterum eorum non esse marem, alterum feminam, sed vel ambos mares vel feminas formari. consimiliter eadem ratione sequeretur alterum eorum non debere citius extingui, tardius alterum, sed utrumque rebus humanis pariter eximi. nam, ut ipsi loquuntur, idem sidus tam huic quam illi vitam praebuit. quinetiam eo progrediuntur, ut morbos quosdam et formas quae fetibus in ipsa matrice nonnunquam accidunt (solent enim interdum femellae verendis in partibus virilem habere speciem, ac vice versa mares femineam) astris auctoribus tribuant. vocant eiusmodi fetus, de quibus modo loquebamur, hermaphroditos. nam perbelle fingunt Mercurium (qui Graecis Hermes est) et Venerem (quae Aphrodite) in iisdem centris coniunctos, Saturno etiam accedente certaque conformatione aëris, fetus quosdam praeter naturam adfectos producere. sed enim hoc minime verum est. nam ipsa fetus formatrix natura nonnunquam huiusmodi efficit, quemadmodum est supra demonstratum. Hermes quidem ille philosophus, quem Graeci tanto habent in honore, scriptis ad sapientem Ammonem litteris, morborum in iis causas qui furore corripiuntur et mente sunt alienati, ad sidera refert. cum enim, inquit, sidus illud in cuius potestate cerebrum est, fetum bono quodam adspectu intuetur, eiusque cerebrum in ipsa formatione

νου νόσον ἐδέξαντο. οὐδὲ γὰρ ἐχθρὸς ἡμῖν ὁ διάβολος ἐκτί-
σθη παρὰ θεοῦ, ἀλλ' ἐκ ζηλοτυπίας ἡμᾶς πολεμεῖ. ὁρῶν
γὰρ ἑαυτὸν ἐκ τῶν ἀγγέλων καταρριφέντα, οὐκ ἔφερε βλέ-
C πειν τὸν γήϊνον ἐπὶ τὴν ἀξίαν τῶν ἀγγέλων διὰ προκοπῆς
ἀνυψούμενον. καὶ μία μὲν παρά γε τοῖς ἀγγέλοις καὶ τοῖς
δαίμοσιν ἡ οὐσία, οὐχὶ δὲ καὶ ἡ προαίρεσις, καθὰ δὴ καὶ
ἐπὶ ἀγαθῶν ἀνθρώπων καὶ πονηρῶν ἔστιν ἰδεῖν· μία μὲν
καὶ παρ' αὐτοῖς ἡ φύσις ἐστίν, οὐ μὴν δὲ καὶ γνώμη καὶ
θέλησις ἡ αὐτή.

Καὶ τὸ μὲν ὀρθόδοξον τῆς ἐκκλησίας φρόνημα τοῦτον
ἔχει τὸν τρόπον· οἱ δὲ τῶν Ἑλλήνων σοφοί, Πορφύριος καὶ
Ἰάμβλιχος, διαφέρειν τοὺς δαίμονας κατὰ τὴν οὐσίαν λέγου-
σι, καὶ ἀλόγους τινὰς αὐτῶν καὶ ὑλαίους εἶναι, ἐμπίπτειν
δὲ αὐτοὺς ἡμῖν οὐχ ὡς δυσμενεῖς ἀλλ' ὡς ἡμῶν κολαστάς.
D ἀλλὰ καὶ προγινώσκειν αὐτοὺς καὶ τὸ μέλλον εἰδέναι λέγου-
σι, πλὴν οὐχὶ πάντας· τοὺς μὲν γὰρ τὰ ἄνω λαχόντας δαί-
μονας ἀληθεύειν παντάπασι, τοὺς δὲ ταρταρωθέντας ψευδεῖς
εἶναί φασι, τοὺς δὲ περιγειοτέρους καὶ μέσους λοξοὺς εἶναι
καὶ ἀμφιβόλους λέγουσιν. ἀλλ' ἡμῖν οὐχ οὕτω δοκεῖ. ἐὰν
γὰρ οἱ φωτεινοὶ ἄγγελοι τὸ τῆς προγνώσεως οἴκοθεν οὐκ ἔχου-
σι χάρισμα (καὶ γὰρ ἐκεῖνα προλέγουσι, καθὰ δὴ καὶ ὁ Δα-
μασκηνὸς Ἰωάννης φησίν, ὅσα ἂν αὐτοῖς ἀποκαλυφθῆναι πα-

ceptacula sint, etiam invidiae morbo sunt infecti. nec sic creatus a deo putari debet diabolus, ut hostis noster esset: sed ex aemulatione quadam nos oppugnat. cum enim se cerneret angelorum ordine locoque motum, ferre non poterat ut hominem terrestrem ad angelorum dignitatem profectu suo subvectum adspiceret. est et angelis malisque geniis una quaedam essentia sive natura, verum non eadem electio; quemadmodum et in hominibus tum bonis tum improbis est videre naturam quidem unam et eandem, sententiam vero voluntatemque diversam.

Haec de malis geniis eorum est sententia qui rectam ecclesiae fidem amplectuntur. at Graecorum illi sapientes, Porphyrius et Iamblichus, genios essentia naturaque differre a se invicem tradunt, eorumque volunt aliquos rationis expertes et crassiore materia praeditos esse. addunt irruere ipsos in nos non ut infestos sed tanquam castigatores, a quibus puniamur. eosdem aiunt futura prospicere atque nosse, non tamen universos: nam superiora loca nactos genios omnino vera praedicere perhibent, cum alii Tartaro conclusi mendaces sint; medios autem terraeque nonnihil vicinos adserunt ancipites ac ambiguos esse. qua in sententia nos minime sumus. nam si etiam luci consimiles angeli non ex se donum futura prospiciendi habent, ut qui praedicunt ea teste Iohanne Damasceno quaecunque

ρὰ θεοῦ φθάσωσι), πολλῷ μᾶλλον οἱ ἀκάθαρτοι δαίμονες προλέγειν οὐ δύνανται. προγνώστης γὰρ καὶ καρδιογνώστης μόνος ὁ θεός. καὶ πείθου τῷ θείῳ Δαβὶδ πρὸς τὸν θεὸν P. 108 οὕτω λέγοντι „σὺ γινώσκεις τὰς καρδίας μονώτατος."

Ἀλλὰ ταῦτα μέν, ἀγαπητέ, κατ' ἐπιτομὴν ὁ λόγος διῆλθέ σοι. καὶ μὴ δυσχέραινε τούτου ἕνεκεν ἅτε φιλομαθὴς ὤν· ἀλλαχοῦ γάρ, οἶδας, ἐσχεδιάσθη σοι τὰ περὶ τούτων πλατύτερον.

Huiusmodi Chrysostomus verbis his indicavit. caeterum Mathusalas Enochum est subsecutus, Mathusalam Lamechus, a quo Noa procreatus fuit, cui tres fuere filii, Semus, Chamus, Iaphetus. accidit autem ut iam hominum multitudo per orbem crescere inciperet; quibus cum filiae nascerentur, filii dei animadverso filias hominum venustas esse, de omni numero eligebant quas uxores ducerent. tum dominus dixit „non permanebit spiritus meus in hisce mortalibus, cum caro sint. itaque reliquos eis faciam annos 120." erant ea tempestate in terris Gigantes, qua quidem et diluvium deus immisit, cuius nota est admodum causa. quid praeter alios Iosephus tradiderit, audi. septem aetatibus in eo statu perstitere mortales, ut deum

γενεαῖς οἱ ἄνθρωποι διέμειναν θεὸν ἡγούμενοι δεσπότην καὶ πάντα πρὸς ἀρετὴν βλέποντες. μετὰ δὲ ταῦτα μεταβάλλονται πρὸς τὸ χεῖρον. πολλοὶ γὰρ ἄγγελοι θεοῦ γυναιξὶ συμμιγέντες ὑβριστὰς ἐγέννησαν παῖδας καὶ παντὸς ὑπερόπτας καλοῦ διὰ τὴν ἐπὶ τῇ δυνάμει πεποίθησιν. ὅθεν διανοεῖται ὁ θεὸς καὶ πᾶν ὅσον ἦν ἀνθρώπινον διαφθεῖραι σὺν αὐτοῖς, καὶ ποιῆσαι γένος ἕτερον πονηρίας καθαρόν, ἐπιτεμνόμενος καὶ αὐτὰ τὰ ἔτη ἅπερ πρότερον ἔζων." ἀλλὰ καὶ ὁ μέγας Κύριλλος λέγει ὅτι ἰδόντες οἱ υἱοὶ τοῦ θεοῦ, τουτέστιν οἱ ἀπὸ τοῦ Σὴθ P. 124
καταγόμενοι (ἐκεῖνον γὰρ διὰ τὴν ἀρετὴν αὐτοῦ θεὸν ἔλεγον), τὰς θυγατέρας τῶν ἀνθρώπων ἤγουν τὰς ἀπὸ τοῦ Κάϊν, ὅτι καλαὶ τῷ εἴδει εἰσίν, ἔλαβον αὐτὰς εἰς γυναῖκας. ὅθεν καὶ ἐγεννῶντο οἱ γίγαντες, ἄνδρες δυσειδεῖς καὶ πᾶν εἴ τι κάκιστον ὄντες, τοῦ θεοῦ παραχαράξαντος αὐτοὺς διὰ τὴν μυσαρὰν αὐτῶν μῖξιν. ὅθεν καὶ κατακλύζει αὐτούς, καθὼς καὶ ὁ κορυφαῖος ἐνέφηνε Πέτρος ἐν τῇ καθολικῇ αὐτοῦ δευτέρᾳ ἐπιστολῇ οὕτως εἰπὼν „κατακλυσμὸν κόσμῳ ἀσεβῶν ἐπάξας." διὰ τί δὲ τοὺς ἕνα θεὸν προσκυνοῦντας ἀσεβεῖς ἐκά- B
λεσε; διότι τοσοῦτον ἐξεμάνησαν εἰς συνουσίας ὡς ἐπὶ εἴκοσι ἀνδράσι τὴν γυναῖκα περιφέρεσθαι. ἐκ τούτου γὰρ καὶ τοὺς υἱοὺς τοῦ θεοῦ, τοὺς ἐκ τοῦ Σὴθ δηλαδή, πρὸς μῖξιν εἵλκυσαν. υἱοὶ δὲ τοῦ θεοῦ λέγονται καὶ διὰ τὴν ἀρετὴν αὐ-

pro rerum domino agnoscerent solamque virtutem in omnibus respicerent. ab eo deinceps tempore mutati sunt in peius. nam complures ex dei filiis cum mulieribus consuescentes, liberos ex iis contumaces et omnis honesti contemptores propter potentiae fiduciam progenuere. quapropter visum est deo cum iis universam nationem mortalium exscindere, genusque purum ab omni flagitio facere, resectis ipsis etiam annis vitae longaevae quam prius degebant. consimiliter et eximius ille Cyrillus disserit. filii dei, ait, hoc est a Setho prognati, (nam illum virtutis causa sui deum appellavere) animadverso filias hominum, id est ortas ex posteritate Caini, forma venustas esse, matrimonio sibi eas iunxerunt, natique sunt ex eis gigantes homines informes omnesque pravitatem referentes, indente turpem eis hanc speciem deo propter nefandam et exsecrabilem generis utriusque commistionem. easdem ob causas diluvio sunt exstincti. significavit idem magnus etiam Petrus, in epistolarum suarum catholicarum altera (2 5) verbis hisce disserens „impiorum generi diluvium invexit." cur heic vocat impios, qui unum deum religiose colendo venerabantur? quia tantopere in libidinem exarserunt ut viginti viri una cum femina consuescerent. hoc enim pacto dei quoque filii, nimirum a Setho prognati, ad concubitus vagos invitati sunt; qui quidem virtutis etiam nomine dei sunt appellati filii, quemadmodum Israelus

τῶν ὥσπερ υἱὸς πρωτότοκος ὁ Ἰσραήλ, καθὼς ὁ θεῖος ἔφη Ἐφραΐμ. καὶ ὁ χρυσοῦς δὲ τὴν γλῶτταν οὐκ ἄλλου τινὸς ἕνεκα, τῆς δὲ τῶν γενῶν ἐπιμιξίας ἀνοιχθῆναι λέγει τὰς καταράκτας τοῦ οὐρανοῦ. ὅτι δὲ διὰ φιληδονίαν καὶ τὴν μυσαρὰν ἐκείνην μῖξιν, ὧν ἕνεκεν ἀσεβεῖς ἐκάλει τοὺς γίγαντας ὁ κορυφαῖος Πέτρος, ἐπήγαγε τὸν κατακλυσμὸν ὁ θεός, καὶ οὐ
C δι' ἀθεΐαν ἢ ἄλλην κακίαν τινά, ὁ θειότατος Κύριλλος ἐν τῇ κατὰ Ἰουλιανοῦ βίβλῳ παρίστησι τοῦτο σαφέστατα λέγων „οἱ ἐξ Ἀδὰμ καὶ μέχρι τοῦ Νῶε γεγονότες ἄνθρωποι θεὸν ἕνα τὸν ἀληθινὸν τετιμήκασι, μετὰ δὲ τὴν τοῦ πύργου κατασκευὴν καὶ τὴν τῶν γλωσσῶν διαφορὰν ἀσύμβατον καὶ αὐτὴν ἐσχήκασι τὴν περὶ θεοῦ δόξαν· πανταχοῦ γὰρ διασκεδασθέντες καὶ τὴν πολύθεον πλάνην ἐσχήκασιν." ὅτι δὲ δι' ἀσωτίαν ἀμφοτέρων τῶν μερῶν ὁ παγκόσμιος ἐκεῖνος γέγονε κατακλυ-
D σμός, αὐτὸς ὁ θεὸς ἐδήλωσεν οὕτως εἰπὼν „οὐ μὴ καταμείνῃ τὸ πνεῦμά μου ἐν τοῖς ἀνθρώποις τούτοις διὰ τὸ εἶναι αὐτοὺς σάρκας," ἤγουν διὰ τὸ ζῆν αὐτοὺς ἐμπαθῶς τε καὶ σαρκικῶς. οὕτω μὲν οὖν ὁ μέγας Παῦλος τοὺς ἐγκρατῶς ζῶντας ἀσάρκους καλεῖ, λέγων „ὑμεῖς δὲ οὐκ ἐστὲ ἐν σαρκί." σάρκας μὲν οὖν, ὥσπερ δὴ καὶ ἀσεβεῖς, εἴωθε καλεῖν ἡ γραφὴ τοὺς βίον ἔχοντας ἄσωτον· ἀσέβεια γὰρ οὐ μόνον ἡ τῶν εἰδώλων προσκύνησις, ἀλλὰ καὶ αὐτὸς ὁ ἀσελγὴς βίος καὶ ἄσωτος. καὶ

vocatur filius primogenitus. tradit haec divinus ille vir Ephraemus. et Chrysostomus adfirmat alia nulla de causa quam ob hanc utriusque generis commistionem coeli meatus reclusos fuisse. itidem non impietatis deum negantis vel alia quapiam causa diluvium fuisse invectum, extra solam hanc voluptariae vitae libidinem et commistionem exsecrandam, quo nomine gigantes impios summus ille Petrus appellavit, praeclarissimus ille Cyrillus in scripto adversus Iulianum libro perspicue verbis hisce demonstrat „homines ab Adamo ad Noam usque prognati deum unum et verum coluere. post extructionem vero turris illius linguarumque divisionem coeperunt etiam opinionibus de deo dissidere mortales. nam in omnes dispersi partes deum quoque multitudinis errorem imbuerunt." denique propter utriusque partis luxuriam diluvium illud orbem universum invasisse deus ipse denotat, cum ait (Gen. 6 3) „non permanebit spiritus meus in hisce mortalibus, cum caro sint;" hoc est pro adfectionum et carnis libidine vivant. sic enim et Paulus (Rom. 8 9) homines temperanter viventes carnis expertes in his verbis vocat „vos in carne non estis." nimirum litterae sacrae carnem et impios appellare consueverunt eos quorum vita luxuriae dedita est. nam impietas non deastrorum modo cultus est, sed significat etiam lasciviae luxuriaeque vitam obnoxiam. patet

τοῦτο δηλοῖ ὁ μακάριος Δαβὶδ λέγων „ἐγὼ εἶπα, ἐξαγορεύσω κατ' ἐμοῦ τὴν ἀνομίαν μου τῷ κυρίῳ καὶ σὺ ἀφῆκας τὴν ἀσέβειαν τῆς καρδίας μου." μὴ γὰρ ἀλλόπιστος ἦν ὁ Δαβίδ; μὴ τὸν θεὸν ἐξωμόσατο πάντως; οὐχί, ἀλλὰ τὴν ἐπι- V. 97
θυμίαν ἥτις ἔτεκε τὴν μοιχείαν, ἀσέβειαν ἐκεῖνος ἐκάλεσε. P. 125
παγκόσμιον δὲ τὸν κατακλυσμὸν ἐκεῖνον ἐπήνεγκεν ὁ θεός, ὅτι καὶ πάντες ἐκεῖνοι καθάρσεως ἔχρῃζον. καὶ τοῦτο παρίστησιν ἡ γραφὴ λέγουσα „καὶ εἶδε κύριος ὁ θεὸς τὴν γῆν, καὶ ἦν κατεφθαρμένη, ὅτι κατέφθειρε πᾶσα σὰρξ τὴν ὁδὸν αὐτῆς ἐπὶ τῆς γῆς."

Πρόσεχε δέ, ἀγαπητέ. εἰ γὰρ οὐκ ἐφείσατο τότε τινὸς ὁ θεός, ἀλλὰ πάντας ἄρδην κατέκλυσε, μηδὲν ὠφεληθέντας ἐκ τοῦ λόγῳ μόνῳ σέβεσθαι τὸν θεόν, εὔδηλον πάντως ὡς οὐδὲ ἡμῶν ἐν ἐκείνῃ φείσεται τῇ ἡμέρᾳ, εἰ καὶ τὸ τῶν Χριστιανῶν ἐπιφερόμεθα ὄνομα. ἐρεῖ γὰρ ἀληθῶς ὁ δεσπότης B
πάντων Χριστὸς καὶ ἡμῖν, ὅπερ εἶπε τοῖς Ἰουδαίοις, ἡνίκα καυχώμενοι ἔλεγον „ἡμεῖς ἐκ τοῦ πατρὸς ἡμῶν τοῦ Ἀβραάμ ἐσμεν." καθάπερ γὰρ ἐκείνοις ἔλεγεν „εἰ ἐκ τοῦ Ἀβραάμ ἦτε, τὰ ἔργα ἂν ἐποιεῖτε τοῦ Ἀβραάμ," οὕτως ἐρεῖ καὶ ἡμῖν „εἰ Χριστιανοὺς ἑαυτοὺς εἴχετε, τὰ ἔργα ἂν ἐποιεῖτε τὰ τοῖς Χριστιανοῖς ἁρμόζοντα." μὴ οὖν ἐπὶ τούτοις ἀμφίβαλλε· διὰ γὰρ τοῦ παγκοσμίου ἐκείνου κατακλυσμοῦ καὶ

hoc ex beati viri Davidis hac oratione (Psalm. 31 51) „dixi apud me, improbitatem meam adversus me ipsum domino fatebor; et tu mei cordis impietatem mihi condonasti." quaeso te, num fidem quandam extraneam Davides sectabatur? num deum abiuraverat? nequaquam certe. nimirum impietatis vocabulo cupiditatem illam, quae adulterium pepererat, innuit. et universale diluvium invexit propterea deus quod omnes illi homines repurgationis egerent. significatur hoc sacris in litteris (Gen. 6 12) per haec verba „vidit deus orbem terrarum esse corruptissimum et omnium mortalium mores depravatos."

Heic animum mihi, dilecte fili, advertito. nam si deus id temporis nemini pepercit, sed diluvio funditus omnes obruit, nihil adiutos ex eo quod verbis deum religiose venerarentur, intelligi perspicue potest futurum ut ne nobis quidem in illo die parcat, tametsi nomen Christianorum habeamus. revera enim Christus ille dominus omnium verbo nos illo compellabit, quo Iudaeos adfatus est (Ioh. 8 33), cum iactabundi dicerent „nos ex Abrahamo patre nostro sumus orti." nimirum ut illis respondit „si Abrahami nati essetis, Abrahamo digna faceretis," ita nobis etiam dicturus est „si pro Christianis vos gerere volebatis, ea praestare conveniebat quae Christianos omnino decerent." atque hac in parte minime tibi est ambigendum. nam per

τοῦ ἐν Σοδόμοις ἐμπρησμοῦ σαφῶς ἔδειξεν ὁ θεὸς ὁποῖον ἀπαντᾷ τέλος τοῖς ἐν ἀσωτίᾳ τὸν βίον καταλύουσιν.

C Ὁ μέντοι Νῶε πεντακοσίων ἐτῶν γεγονὼς γεννᾷ τὸν Σήμ, τὸν Χάμ, τὸν Ἰάφεθ. ἐφ' ᾧ καὶ ἄξιος θαυμασμῶν ὁ ἀνήρ, ὅτι τοσοῦτος παρίππευσε χρόνος, καὶ μίξεσι νομίμοις ὑποκύπτειν οὐκ ἤθελε. καὶ ὥς ὁ χρυσορρήμων φησίν, εἰ μὴ θεία τις ἦν οἰκονομία, ὥστε δι' αὐτὸν αὖθις τὸ τῶν ἀνθρώπων συστῆσαι γένος, οὐκ ἂν οὐδ' ὅλως σαρκικαῖς ἐπιθυμίαις ὑπέκυψε· κατὰ γὰρ τοῦτο καὶ τέλειον αὐτὸν ἐν τῇ γενεᾷ αὐτοῦ καλεῖ ὁ θεός, τῇ διεστραμμένῃ δηλαδή. ἀλλ' ὅρα μα-
D κροθυμίαν τοῦ θεοῦ. οὐκ εὐθέως ἐπάγει τὸν κατακλυσμόν, ἀλλ' ἔτη μὲν ἑκατὸν ἑτοιμάζει τὴν κιβωτόν, κἂν οἱ ἄφρονες τὸν Νῶε θελήματι θείῳ ὑπηρετούμενον ἐξεμυκτήριζον. ἀλλὰ καὶ συναγόμενα ὁρῶντες τὰ θηρία πάντα, καθά φησιν ὁ θεῖος Ἐφραίμ, ἐλέφαντας μὲν ἀπὸ Ἰνδικῆς καὶ Περσίδος ἐρχόμενα, λέοντας καὶ παρδάλεις μετὰ προβάτων καὶ αἰγῶν μιγάδας, ἑρπετὰ καὶ πετεινὰ ἄνευ τινὸς διώκοντος ἐρχόμενα καὶ κύκλῳ τῆς κιβωτοῦ αὐλιζόμενα, οὐδαμῶς κατενύγησαν. ἀλλὰ μὴ καὶ ἡμεῖς τοῦτο πάθοιμεν, γρηγοροῦντες ἀεί.

P. 126 Πόθεν δὲ οἶδεν ὁ Νῶε τὰ καθαρὰ καὶ ἀκάθαρτα, μήπω τῆς αὐτῶν διαιρέσεως παρὰ Μωσέως γεγονυίας, ὡς ὁ

orbis universi diluvium et Sodomorum incendium deus manifesto declaravit qualis immineat iis exitus qui vitam in luxuria prodigunt.

Quum Noa quingentos esset annos natus, Semum genuit, indeque Chamum et Iaphetum (Gen. 5 31). meretur in illo viro magnam hoc admirationem, quod cum tot annos vivendo explesset, ne legitimos quidem amplexus desideraverit. Chrysostomus certe ait, ni divino decretum fuisset consilio per ipsum genus humanum instaurandum esse, nunquam omnino carnalibus eum cupiditatibus se summissurum fuisse. propter hanc causam deus eum vocat hominem aetatis suae integrum, quae plane perversa erat. heic dei tolerantiam mihi considerato. diluvium subito non invehit, sed totis centum annis arca construitur. interim homines stolidi Noam voluntati divinae obsequentem irridebant. immo tametsi cernerent universas belluas coire, quemadmodum divinus ille vir Ephraemus ait, elephantos ab India Persideque adventare, leones ac pardalides inter oves atque capras promiscue accedere, reptiles bestias cum avibus eodem se persequente nemine conferre ac circum arcam commorari, nihilo tamen magis poenitentiae stimulos sentiebant. idem ne nobis incidat, nunquam non vigilemus.

Sed enim unde Noa didicerat quae animalia munda, quae immunda essent, cum nondum id temporis ea Moses segregasset? hanc

χρυσορρήμων φησίν; ἐκ τῆς ἐναποκειμένης αὐτῷ φυσικῆς γνώσεως, ἢ ἐκ τῆς δοθείσης αὐτῷ παρὰ θεοῦ σοφίας. ὡς καλὸν ἡ ἀρετή. αὕτη τὸν Ἐνὼχ μετέθηκεν, αὕτη τὸν Νῶε διεσώσατο. ὅρα γὰρ ὅτι πάντας ἐκείνους ἀπωλείᾳ παραδιδοὺς ὁ θεὸς πρὸς τὸν Νῶε ἔλεγεν „εἴσελθε σὺ καὶ πᾶς ὁ οἶκός σου εἰς τὴν κιβωτόν, ὅτι σε εἶδον δίκαιον ἐναντίον ἐμοῦ ἐν τῇ γενεᾷ ταύτῃ τῇ πονηρᾷ καὶ διεστραμμένῃ." ἀλλὰ καιρὸν διδοὺς αὐτοῖς ἐμπρόθεσμον εἰς μετάνοιαν φησίν „ἔσονται δὲ αἱ ἡμέραι αὐτῶν ἔτη ρκʹ," εἰ καὶ ταῦτα πάντα οὐκ ἔζησαν V.98
διὰ τὴν κακίαν αὐτῶν· οἱ γὰρ μὴ φθάσαντες διὰ μέσου τῶν B
ἑκατὸν μετανοῆσαι οὐδὲ ἐν τοῖς εἴκοσι μετενόησαν ἄν. πρόσεχε δὲ ὅτι ποτὲ μὲν ἣν ὑπισχνεῖται δοῦναι ζωὴν ὑποτέμνει, ὡς ἐνταῦθα, ἐὰν μὴ μετανοήσωμεν, ποτὲ δὲ ἀπειλῶν ἀπολέσαι τοῦτο οὐ ποιεῖ μετανοησάντων ἡμῶν, ὡς ἐπὶ τῶν Νινευιτῶν ἔστιν ἰδεῖν.

Τὸ δὲ ὕδωρ ὑψώθη ἐπάνω τῶν ὀρέων ἐπὶ πήχεσι πεντεκαίδεκα, ἵνα τὰ τῆς θείας πληρωθῇ ἀποφάσεως. „ἐξαλείψω" γάρ φησι „πᾶσαν τὴν ἐξανάστασιν ἣν ἐποίησα, ἀπὸ ἀνθρώπου ἕως κτήνους καὶ ἀπὸ ἑρπετῶν ἕως πετεινῶν ὑποκάτω τοῦ οὐρανοῦ." εἰ μὴ γὰρ ὑψώθη τοσοῦτον, οὐκ ἂν τὸ τῶν πετεινῶν ἀπώλετο C
γένος. ὅτι δὲ ὑπεράνω τῶν ὑψηλοτέρων ὀρέων ἐπήρθη τὸ ὕδωρ

enim quaestionem Chrysostomus movet. num proficiscebatur hoc a naturali quadam cognitione, quam habebat, an a sapientia divinitus ei concessa? praeclara profecto res virtus est. haec Enochum transtulit, haec Noam conservavit. nam vide mihi, quaeso, quid fiat. omnes id temporis homines deus exitio destinans solum ad Noam inquit (Gen. 7 1) „ingredere tu una cum omni familia tua in arcam, quoniam quidem te animadverti esse omnium huius perversi pravique saeculi meo in conspectu facile iustissimum." simul tempus caeteris definitum ad resipiscendum tribuens inquit „reliquos eis faciam annos 120." quanquam ne hos quidem universos vixerunt propter insignem perversitatem. nam qui prius durante 100 annorum intervallo non resipuerant, intra viginti annos poenitentiam acturi non erant. atque hoc loco mihi observa deum nonnunquam nobis resipiscentibus eam vitam praecidere quam prius pollicebatur, ut heic fieri videmus, nonnunquam minatum se perditurum reapse minas non exsequi, nobis resipiscentibus; id quod Ninevitis videmus usuvenisse.

Caeterum aqua supra ipsos montes excrevit ad 15 usque cubitos, ut eveniret quod futurum deus minatus fuerat (Gen. 6 7) „quicquid ortum est delebo, non homines solum, sed etiam pecora et reptilia, et volucres, quae sub coelo sunt." quippe si tantam ad altitudinem non excrevisset, volucres haud quaquam periissent. et quidem aquam

ἐπὶ τοῦ κατακλυσμοῦ, κἀντεῦθεν πιστοῦται. λίθους γάρ τινες ἐκ τῶν τοῦ Λιβάνου ἀκρωρειῶν εἰς οἰκοδομὰς μετακομίζοντες διεβεβαιοῦντο ὡς εὗρον ἐν τοῖς κοιλώμασι τοῦ Λιβάνου ἰχθύας τεταριχευμένους καὶ τῇ ἰλύϊ πεπηγότας, καθά φησι καὶ Ἰώσηπος.

Μετὰ δὲ τὴν τοῦ κατακλυσμοῦ παῦλαν θυσίαν ὁ Νῶε τῷ θεῷ ἀνήνεγκε. τίνος ἕνεκεν; ἵνα τοῖς ἐσομένοις ἐν ἀσθενείᾳ συγγνώμονά τε καὶ γαληνὸν προσαπεργάσηται τὸν θεόν, D ὡς ὁ μέγας διέξεισι Κύριλλος, ἵνα μὴ πάλιν μία κατὰ πάντων ἐλεύσεται ψῆφος, δευτέρῳ κατακλυσμῷ τὸ ἀνθρώπινον ὑποτιθεῖσα γένος. ἐφ' ᾧ καὶ εἶπε πρὸς αὐτὸν ὁ θεός „διανοηθεὶς οὐκέτι προσθήσω τοῦ καταράσασθαι τὴν γῆν διὰ τὰ ἔργα τῶν ἀνθρώπων, ὅτι ἔγκειται ἡ διάνοια τοῦ ἀνθρώπου ἐπὶ πονηρὰ ἐκ νεότητος." τούτου χάριν, ὡς εἴρηται, θυσίαν ἀνήνεγκε τῷ θεῷ. κατὰ γὰρ τοῦτο καὶ ἑπτὰ ἑπτὰ ἐκέλευσεν ὁ θεὸς ἀπὸ τῶν καθαρῶν εἰσαχθῆναι ἐν τῇ κιβωτῷ, δύο δύο δὲ ἀπὸ τῶν ἀκαθάρτων. ἐπειδὴ γὰρ ἔμελλε συγχωρεῖν τοῖς P. 127 ἀνθρώποις μεταλαβεῖν κρεῶν, ἔμελλον δὲ καὶ θυσίας προσφέρειν αὐτῷ τῆς εὐσεβείας οἱ τρόφιμοι, πλείονα τὰ καθαρὰ φυλαχθῆναι προσέταξε, τὰς μὲν τρεῖς συζυγίας εἰς τὴν αὔξησιν τοῦ γένους, τὸ δὲ περιττὸν ἓν εἰς θυσίαν. ὃ δὴ καὶ πεποίηκε μετὰ τὸν κατακλυσμόν, ἀπὸ πάντων τῶν καθαρῶν

huiusce diluvii montes etiam sublimissimos operuisse, vel hinc colligere licet. quidam cum e Libani cacuminibus ad structuras aedificiorum saxa congererent, adseruerunt se intra Libani concavitates reperisse pisces induratos in limo defixos, uti Iosephus etiam memoriae prodidit.

Cum diluvium desiisset, Noa deo sacrificium obtulit. quamobrem istuc? ut iis qui aliquando futuri essent infirmiores, deum benignum ac propitium redderet, sicut eximius ille Cyrillus ait, ne rursum aliquando unus adversus omnes ferretur calculus, quo genus mortalium alteri diluvio subiiceretur. iccirco deus his eum verbis compellat (Gen. 8 21) „statui cum animo meo nunquam deinceps terram tanta diritate prosequi propter hominum facinora, quorum cogitationes et studia inde usque a pueris ad prava quaeque proclivia sunt." hanc igitur ob causam sacrificium illud obtulit, cuius etiam respectu mandaverat deus ut ex mundis animalibus in arcam septena, ex immundis bina reciperentur. nam quia carnibus vescendi potestatem mortalibus facturus erat, atque etiam litaturos sibi religiosos homines sciebat, iccirco mundorum animalium maior numerus servatus est, quorum tria paria generis incremento, reliquum sacrificio destinatum esset; id quod a diluvio Noa non neglexit, de omni

προσαγαγὼν τῷ θεῷ, ὡς εἶναι δῆλον ὅτι γε τούτου χάριν
ἀνὰ ἑπτὰ προσέταξεν ἐξ ἑκάστου γένους τῶν καθαρῶν ἐν τῇ
κιβωτῷ εἰσαχθῆναι, ἵνα τὸ ἓν ζῶον ἐξ ἑκάστου γένους ὁ
Νῶε προσφέρων μὴ διαφθείρῃ τὰς συζυγίας. τοσοῦτον δὲ
τὴν τοῦ Νῶε προαίρεσιν ἐπὶ τῇ προσαγωγῇ τῆς θυσίας ἀπε-
δέξατο ὁ θεὸς ὡς καὶ τὴν γραφὴν οὕτως εἰπεῖν „καὶ ὠσφράν-
θη κύριος ὀσμὴν εὐωδίας." μετὰ γνώμης λοιπὸν ὑγιοῦς καὶ
ἡμᾶς τὸ πᾶν ἐργάζεσθαι χρή. εἰ δὲ μή, κἂν ὁτιοῦν προσά- B
ξωμεν, ἀποστραφήσεται αὐτὸ ὁ θεός. ὅρα γὰρ ὅτι καὶ ἐν-
ταῦθα ἡ τοῦ δικαίου ἀρετὴ τὸν καπνὸν καὶ τὴν κνίσσαν
ὀσμὴν εὐωδίας εἰργάσατο. ἀλλ' ἐπὶ τῶν Ἰουδαίων ἡ τῶν προσ-
αγόντων πονηρία τὸ θυμίαμα τὸ εὐῶδες βδέλυγμα ὀφθῆναι
παρεσκεύασεν.

Ὁ μὲν οὖν Ἰώσηπος καὶ κατ' αὐτὸν τὸν κόρακα τὸν ἀπο-
λυθέντα παρὰ τοῦ Νῶε τοῦ ἰδεῖν εἰ τὸ ὕδωρ ἐκόπασεν,
ἐναντιούμενος φαίνεται τῇ τοῦ Μωσέως ἱστορίᾳ. ὑποστρέψαι
καὶ γὰρ πρὸς τὴν κιβωτὸν λέγει τὸν κόρακα, ὡς ἐπὶ πάσῃ
τῇ γῇ τοῦ ὕδατος ἔτι λιμνάζοντος. ὁ δὲ Μωσῆς περὶ τού- C
των οὕτω φησίν „καὶ οὐχ ὑπέστρεψεν ὁ κόραξ ἕως οὗ ἐξη-
ράνθη ἡ γῆ." κατὰ γὰρ τοῦτο καὶ περιστερὰν ἀπέστειλεν
ὕστερον, ἅτε δὴ παλινοστῆσαι τοῦ κόρακος πρὸς αὐτὸν μὴ θε-
λήσαντος. ἀλλὰ καὶ ἱστορικοὺς εἰσάγει τινὰς ὁ Ἰώσηπος, περί V. 99
τι λέγοντας ὄρος τῆς Ἀρμενίας ὑψηλότατον ἐν τῷ τοῦ κατα-

mundorum pecorum genere deo victimas offerens. ex quo perspicue licet intelligere propterea fuisse praeceptum ut septena in arcam animalia sumerentur, ne Noa unum animal ex quovis genere deo mactans ipsa paria distraheret atque corrumperet. caeterum usque adeo deus in oblatione huius sacrificii Noae studium ac voluntatem probavit, ut his uti verbis litterae sacrae non dubitaverint (Gen. 8 21) „delectatus est deus odoris illius suavitate." quapropter nos quoque nihil non animo sano et puro faciamus, absque quo fuerit, omnino deus aversabitur quodcunque tandem a nobis offeratur. nam vides heic virtutem iusti hominis de ipso fumo ac nidore suavissimum odorem effecisse, cum apud Iudaeos pravitas offerentium faceret ut suffitus etiam fragrantissimus a deo piaculi loco duceretur.

Caeterum in narratione de corvo, qui a Noa dimissus fuit ut exploraret an aqua defecisset, Iosephus historiae Mosis aperte refragatur. commemorat enim corvum illum ad arcam revertisse, quasi aqua per omnem terrarum orbem adhuc restagnaret. at Moses haec in hunc modum narrat „non revertit corvus, donec ab aquis exsiccata terra foret. nam illa ipsa de causa columbam deinceps emisit, quod corvus redire noluisset. idem Iosephus probat auctoritate quorundam

κλυσμοῦ πεφευγέναι καιρῷ τῶν ἀνθρώπων τινάς, κἀκεῖσε σω-
τηρίας διὰ τὸ ὕψος τυχεῖν. ἀλλ' ἔξω βάλλουσιν ἐκεῖνοι τοῦ
σκοποῦ, καὶ τῆς εὐθείας πόρρω που φέρονται. εἰ γὰρ ὑψώ-
θη τότε τὸ ὕδωρ ἐπάνω τῶν ὑψηλοτάτων ὀρέων ἐπὶ πήχεσι
πεντεκαίδεκα, καθὰ Μωσῆς ἱστορεῖ, οὐκ ἂν ὁτιοῦν ὑπελεί-
D φθη τηνικαῦτα ὄρος, ὡς οἶμαι, τοὺς ἐν αὐτῷ πεφευγότας
ἰσχῦον ἀβλαβεῖς διασώσασθαι.

Ἡ μέντοι κιβωτὸς τριακοσίων μὲν πηχέων τὸ μῆκος ἦν,
πεντήκοντα δὲ τὸ πλάτος, τὸ ὕψος τριάκοντα. πῆχυν δὲ
ἀκούων μὴ τοιαύτην εἶναι νόμιζε ὁποία τίς ἐστι παρ' ἡμῖν,
ἀλλὰ γεωμετρικήν. ὁ γὰρ Μωσῆς γεωμέτρης ἐξ Αἰγύπτου
ὢν τοιαύτην ἔφη πῆχυν ἐπὶ τῆς κιβωτοῦ, ἥτις ὀργυιὰν με-
γίστην ποιεῖ. πρῶτοι γὰρ Αἰγύπτιοι, καθά φησι Κύριλλος,
τὴν γνωμετρίαν εὗρον ἐκ τοῦ ἀπλέτου τῆς γῆς καὶ τῆς διαι-
ρέσεως. ἡ δὲ τῶν φαινομένων θεωρία παρ' Ἕλλησιν ἐτελειώ-
P. 128 θη, τῶν πρώτων τηρήσεων ἐν Βαβυλῶνι γενομένων. τὸ δὲ
περὶ τοὺς ἀριθμοὺς ἀπὸ τῶν ἐμπόρων Φοινίκων ἤρξατο. καὶ
περὶ μὲν τούτων οὕτως.

Μετὰ δὲ πεντακόσια τριάκοντα καὶ ἓξ ἔτη τοῦ κατακλυ-
σμοῦ ἡ τοῦ πύργου γέγονεν οἰκοδόμησις, ματαιοπονησάντων
ἐπὶ ταύτῃ τῶν ἀνθρώπων ἐκείνων ἐν ἔτεσι τεσσαράκοντα.

historicorum, quos citat, diluvii tempore quosdam homines in altissimum Armeniae montem confugisse, atque ibi saluti suae per ipsius montis sublimitatem consuluisse. verum hi a scopo, quod dicitur, aberrarunt et a semita recta longe deflexerunt. nam si aqua id temporis supra montes quosque sublimissimos ad 15 usque cubitos excrevit, quemadmodum Moses memoriae prodidit, nullus mea quidem sententia mons reliquus esse potuit, qui a periculo servaret immunes quotquot in eum confugissent.

Arcae ipsius longitudo 300 cubitos habebat, latitudo quinquaginta, altitudo triginta. cum autem cubiti vocabulum audis, non talem intelligi putato qualis apud nos est in usu, sed geometricum. Moses enim, qui apud Aegyptios artem geometriae didicisset, in hac de arca narratione cubitum eiusmodi intelligit qui maximam ulnam efficeret. nam Aegyptii primi, referente Cyrillo, geometriam propter amplitudinem terrae suae eiusque divisionem repererunt, cum motus siderum consideratio sit a Graecis perfecta, quorum observationes primae apud Babylonios exstiterant. itidem doctrina numerorum a Phoenicum mercatoribus est profecta. de his hactenus.

Post annos a diluvio 536 turris est aedificata, hominibus in ea perficienda totis 40 annis incassum laborantibus. cohortabantur enim, ceu Moses (Gen. 11 3) narrat, invicem ut lateres facerent coquerentque, quibus urbem turrimque sibi exstruerent, quae fastigio

„καὶ εἶπε" γάρ φησιν „ἄνθρωπος τῷ πλησίον αὐτοῦ δεῦτε καὶ πλινθεύσωμεν πλίνθους, καὶ ὀπτήσωμεν αὐτὰς πυρί, καὶ B οἰκοδομήσωμεν ἑαυτοῖς πόλιν καὶ πύργον, οὗ ἔσται ἡ κεφαλὴ ἕως τοῦ οὐρανοῦ." διὰ τί δὲ καὶ τίνος ἕνεκεν τοῦτο; ἵνα κατακλυσμὸς εἰ γένηται δεύτερος, ἐπὶ τὴν αὐτοῦ κορυφὴν ἀναδράμωσι, κἀντεῦθεν τὸν ἐξ ὕδατος ὄλεθρον φεύξωνται. ταύτῃ τοι καὶ τὴν ματαιοπονίαν αὐτῶν ἐκώλυσεν ὁ θεὸς διὰ τῆς συγχύσεως τῶν γλωσσῶν. καὶ ἄκουε τῆς γραφῆς οὕτω λεγούσης „καὶ εἶπε κύριος Ἰδοὺ γένος ἓν καὶ χεῖλος ἓν πάντων. δεῦτε καὶ καταβάντες συγχέωμεν ἐκεῖ τὴν γλῶσσαν, ἵνα μὴ ἀκούσωσιν ἕκαστος τῆς φωνῆς τοῦ πλησίον.' καὶ διέσπειρεν αὐτοὺς κύριος C ὁ θεὸς ἐκεῖθεν ἐπὶ πρόσωπον πάσης τῆς γῆς." τηνικαῦτα καὶ μέροπες καλοῦνται ἀπὸ τοῦ μερισμοῦ τῆς φωνῆς καὶ τῆς γῆς. ὁ δὲ παράφρων Ἰουλιανὸς καὶ τοῦτο πρὸς τοῖς ἄλλοις ἔλεγεν, ὅτι θεωρῶν αὐτοὺς ὑψουμένους διὰ τοῦ πύργου, καὶ οὐ μικρῶς ἐπὶ τούτῳ πτοηθείς, εὐμεθόδως αὐτοῖς κωλύει τὴν ἄνοδον διὰ τῆς συγχύσεως τῶν γλωσσῶν.

Ὁ μέντοι πύργος ἐκτίζετο ο' καὶ β' τοῦ κτίσματος ἀρχηγῶν ὄντων. κατὰ τούτους λοιπὸν καὶ ἡ διαίρεσις τῶν γλωσσῶν γέγονε, χείλους ὄντος ἑνὸς καὶ φωνῆς ἐπὶ πᾶσι μιᾶς, ὡς ἄνωθεν εἴρηται. μόνος δὲ ὁ Ἕβερ μὴ συγκατατεθεὶς τῇ ματαιοπονίᾳ τῶν λοιπῶν ἐν τῇ ἰδίᾳ γλώσσῃ ἔμεινεν. ἀρχῆθεν D λοιπὸν ἡ Ἑβραῒς φωνή. ὅτι δὲ τῇ Ἑβραίων γλώσσῃ ἐχρῶν-

22. ἐν deerat. 23. τῇ] τῶν P.

coelum attingeret. quamobrem? ut si alterum diluvium ingrueret, ad eius se verticem conferrent eoque pacto imminens ab aquis exitium effugerent. vanum hunc laborem et conatum eorum deus per confusionem linguarum inhibuit. verba quidem sacris in litteris (Gen. 11 6) haec leguntur „en una est mortalium natio, qui cuncti eodem sermone utuntur. age descendamus, et ibi eorum sermonem ita confundamus ut alii aliorum orationem non intelligant. itaque illinc eos per omnes terras dominus, qui deus est, dissipavit." et appellari coeperunt homines ab eo tempore Meropes a sermonis linguarum terraeque divisione. furiosus ille Iulianus hoc etiam inter alia scripsit, deum conspicientem homines in altum ope turris sublatos, eaque de causa non mediocriter perturbatum, commoda quadam ratione ac via, linguis inter se confusis ulteriorem adscensum prohibuisse.

Caeterum turris ipsa 72 praefectorum opera fuit exstructa, quorum ad numerum linguae quoque divisae sunt, cum antea sermone linguaque una, ceu dictum est, omnes uterentur. solus Heberus reliquorum stulto conatui non adsensus linguam suam retinuit; de quo colligitur ab initio mortales usos Hebraica lingua fuisse. Adami cer-

το οἱ ἀπὸ τοῦ Ἀδάμ, δῆλον μὲν καὶ ἀπὸ τοῦ καὶ τοὺς ἀμ-
φὶ τὸν Ἀβραὰμ τῇ τοιαύτῃ χρᾶσθαι διαλέκτῳ, δῆλον δὲ καὶ
ἀπὸ τοῦ τὸν δεύτερον Ἀδὰμ Χριστὸν τὸν θεὸν ἡμῶν τῇ
Ἑβραίων χρᾶσθαι φωνῇ. καὶ δηλοῦσι μὲν τοῦτο καὶ τὰ ἐν
τῷ σταυρῷ, οὐχ ἧττον δὲ κἀκεῖνα ἐν οἷς ἔλεγεν „ἐφαθά,"
V. 100 τουτέστι διανοίχθητι, καὶ πάλιν ἀλλαχοῦ „ταλιθὰ κοῦμι,"
τουτέστι σοὶ λέγω τῷ κορασίῳ. πρὸς τούτοις δὲ καὶ ὁ μέ-
γας Ἐπιφάνιος περὶ τούτων οὕτω φησί „μετὰ τὸν κατακλυ-
σμὸν ὁ πύργος, εἶτα ὁ Ἔβερ ὁ τῶν Ἑβραίων πρόγονος, ὃν
λέγουσι μὴ βουληθέντα κοινωνῆσαι τοῖς τὸν πύργον οἰκοδο-
μοῦσι μεῖναι ἐν τῇ ἰδίᾳ γλώττῃ. τούτου ἔκγονος ὁ Ἀβραάμ,
P. 129 ὅθεν καὶ ἡ Ἑβραία γλῶττα." τὰ αὐτὰ δὲ τούτοις καὶ Ἰώ-
σηπός φησι. καὶ οὗτοι μὲν οὕτως, ὁ δὲ Θεοδώρητος τῇ Σύ-
ρᾳ γλώττῃ τοὺς ἐξ Ἀδὰμ χρᾶσθαι φησίν.

Ἰστέον δὲ ὅτι ὁ τοῦ Χὰμ υἱὸς Χαναὰν ἰδὼν τὴν πρὸς τὸν Λίβανον γῆν ὅτι ἀγαθή ἐστι, μετὰ τὴν πρὸς αὐτοὺς κληροδοσίαν, καὶ κρείττων τῆς ἑαυτοῦ γῆς, τυραννικῶς καθήρπαξεν αὐτήν, καὶ τοὺς ἐκ τοῦ Σὴμ κληρονόμους ἐκεῖθεν ἐξήλασε. καὶ οὕτω πᾶσα ἡ γῆ τῆς ἐπαγγελίας τοῦ Χαναὰν προσηγορεύθη. καὶ Ἰώσηπος δέ φησιν ὅτε Χαναὰν τέταρτος ὢν τοῦ Χὰμ παῖς, τὴν Ἰουδαίαν καλουμένην οἰκήσας Χαναὰν ἀφ' ἑαυτοῦ προσηγόρευσεν.

B Ὁ δὲ Σὴμ γεννᾷ τὸν Ἀρφαξᾶ, Ἀρφαξᾶ δὲ τὸν Καϊνᾶν.

te posteros hac esse locutos, inde quoque colligitur, quod et Abrahami familia eandem usurparit et Adamus ille secundus, qui Christus est, deus ille noster. idem animadvertitur ex inscriptione crucis, et hisce Christi verbis cum ait ephata, hoc est aperitor. idem quod alibi ait talita cumi, hoc est puella surge. eadem de re magnus Epiphanius ille sic disserit: post diluvium aedificata turris est. vixit id temporis Heberus, auctor et propagator Hebraicae gentis, quem perhibent propterea quod cum turrim exstruentibus commercii nihil habuisset, linguam suam retinuisse. fuit eius ex posteris Abrahamus, et Hebraea lingua nomen ab eodem accepit. adsentitur huic et Iosephus. Theodoritus vero posteros Adami lingua Syriaca vult usos fuisse.

Sciri autem debet Chanaanem Chami F. animadverso terram Libano vicinam fertilem esse suaque meliorem, post divisionem inter Noae liberos factam per vim hanc ipsam rapuisse, ac posteros ex ea Semi eiecisse. quo factum ut universa terra illa promissionis Chanaanis regio vocaretur. Iosephus quoque commemorat a Chanaane Chananaeam fuisse appellatam.

Semus autem Arphaxam procreavit, Arphaxas Cainanem, qui

οὗτος δὲ ὁ Καϊνᾶς, ὥς φησι Γεώργιος, συνεγράψατο τὴν ἀστρονομίαν, εὑρηκὼς τὴν παρὰ τοῦ Σὴθ καὶ τῶν αὐτοῦ τέκνων ἐκτεθεῖσαν ὀνομασίαν τῶν ἀστέρων ἐν πλακὶ λιθίνῃ γεγραμμένην. οἱ γὰρ τοῦ Σὴθ ἔγγονοι προμυηθέντες ἄνωθεν τὴν μέλλουσαν γενέσθαι φθορὰν τῶν ἀνθρώπων διά τε πυρὸς καὶ ὕδατος καὶ ποιήσαντες δύο στήλας, μίαν μὲν λιθίνην ἑτέραν δὲ πλινθίνην, ἔγραψαν τὰ ἐκ τοῦ πάππου αὐτῶν Σὴθ ἐκτεθέντα οὐράνια πάντα, λογισάμενοι ὅτι εἰ μὲν δι' ὕδατος ὁ κόσμος φθαρῇ, ἡ λιθίνη στήλη μενεῖ καὶ τὰ ἐν αὐτῇ γεγραμμένα (ἥτις στήλη μετὰ τὸν κατακλυσμὸν εἰς τὸ Σίδιρον ὄρος ἔμεινε, καὶ ἔστιν ἕως ἄρτι, ὥς φησιν Ἰώσηπος), εἰ δὲ διὰ C
πυρὸς γένηται ἡ φθορά, μενεῖ ἂν ἡ πλινθίνη.

Ἀνεφάνη δὲ ἐκ τῆς τοῦ Σὴμ φυλῆς ἕτερος γιγαντογενὴς τοὔνομα Κρόνος. οὗτος πάνυ γενόμενος δυνατὸς καὶ πολλοὺς ὑποτάξας, πρῶτος κατέδειξε τὸ βασιλεύειν καὶ τῶν ἄλλων κρατεῖν, καὶ βασιλεύσας πρῶτος Ἀσσυρίων ἔτη νϛ' ὑπέταξε πᾶσαν τὴν γῆν Περσίδος. μετὰ δὲ Κρόνον ἐβασίλευσε Νῖνος ἔτη νβ', ὅς γε τὴν οἰκείαν μητέρα Σεμίραμιν λαβὼν εἰς γυναῖκα, νόμος ἐγένετο Πέρσαις λαμβάνειν τὰς ἑαυτῶν μητέρας καὶ ἀδελφάς. ἐξ οὗ γένους ἐγένετο καὶ Ζωρόαστρος ὁ περιβόητος Περσῶν ἀστρονόμος, ὃς εἶπε τοῖς Πέρσαις, „ἐὰν D

10. σίριδος F. 13. τῆς deerat.

auctore Georgio libris astronomiam complexus est, cum appellationes siderum a Setho eiusque posteris indicatas et lapidea in tabula perscriptas reperisset. nam cum ii multo ante fuissent edocti futurum ut homines tam per ignem quam aquam interirent, erectis duabus columnis, quarum una lapidea foret altera latericia, coelestium rerum descriptiones ab avo expositas iis ipsis insculpserant, cum secum rationes has inivissent, siquidem usuveniret ut per aquam mundus interiret, lapideam columnam cum inscriptis litteris superfuturam, quae sane post diluvium in monte Sidiro salva reperta est hodieque restat Iosepho teste; sin per ignem mundus corrumperetur, omnino superaturam columnam latericiam.

Caeterum ex stirpe Semi quidam exstitit, Gigantum origine satus, cui nomen esset Cronus. hic cum magnam ad potentiam esset erectus imperioque suo multos mortales subiecisset, primus regnandi modum et alios sub iugum mittendi ostendit. cumque princeps Assyriorum regno totos 56 annos potiretur, universam sibi Persidem dicto audientem reddidit. post Cronum 52 annos Ninus regnavit, qui cum matrem germanam Semiramidem matrimonio sibi iunxisset, lex apud Persas inolevit, qua fas esset matres ac sorores in uxores ducere. prodiit ex hac familia et Zoroaster, insignis ac celeberrimus ille Persarum astronomus; qui Persis praecepit ut si ab igne coele-

καύσῃ με τὸ οὐράνιον πῦρ," (τοῦτο γὰρ καὶ ηὔχετο) „λάβετε ἐκ τῶν ὀστέων μου, καὶ φυλάσσετε εἰς σύστασιν τῆς βασιλείας ὑμῶν." ὃ δὴ καὶ γέγονεν. ἐν δὲ ταῖς ἱστορίαις αἷς ἐχρήσατο κατὰ Ἰουλιανοῦ ὁ θεολόγος μέγας Γρηγόριος καὶ τάδε φησί. τὴν ἀστρονομίαν λέγονται πρῶτον εὑρηκέναι Βαβυλώνιοι διὰ Ζωροάστρου, δεύτερον δὲ ἐδέξαντο οἱ Αἰγύπτιοι. τὴν δὲ μαγείαν εὗρον Μῆδοι, εἶτα Πέρσαι. διαφέρει δὲ μαγεία γοητείας. καὶ ἡ μὲν μαγεία ἐπίκλησίς ἐστιν, ὥς φασι, δαιμόνων ἀγαθοποιῶν πρὸς ἀγαθοῦ τινὸς σύστασιν· γοητεία δέ ἐστι δαιμόνων κακοποιῶν περὶ τοὺς τάφους εἰλουμέ-
P. 130 νων ἐπὶ κακοῦ τινὸς σύστασιν. γοητεία δὲ ἤκουσεν ἀπὸ τῶν γοῶν καὶ τῶν θρήνων τῶν ἐν τοῖς τάφοις γινομένων, μαγεία δὲ ἀπὸ Μαγουσαίων ἤτοι Περσῶν, ὅθεν ἔσχε καὶ τὴν ἀρχήν· Μαγοὺς ἐγχωρίως οἱ Πέρσαι λέγονται. ὁ μέντοι μέγας Κύριλλος ἐν τοῖς κατὰ Ἰουλιανοῦ καὶ τάδε γράφων εὕρηται, ὅτι μετὰ ἐννακόσια ἔτη τοῦ κατακλυσμοῦ τῶν Ἀσσυρίων ἐβασίλευσεν Ἄρβυλος πρῶτος ἐν ἀνθρώποις. οὗτος ἔσχε πρῶτος εἰς ἑαυτὸν τὸ τῆς θεότητος ὄνομα. ἀλλὰ καὶ Νῖνος ὁ ἐκείνου παῖς πρῶτος Ἀσσυρίων ἐπιφανῶς βασιλεῦσαι λέγεται, οὗ ἐπώνυμος ἡ Νινευή, ἧς τὰ τείχη Σεμίραμις μεγαλοφυῶς ἐσκευάσατο.

V. 101 Μετὰ δὲ τὴν πυργοποιίαν, ὡς εἴρηται, διασκεδασθέντες

sti exureretur, id quod votis expetebat ut fieret, ossium suorum reliquias sumerent, easque ad regni excitationem conservarent; cui praedictioni eventus deinde respondit. in historiis illis quibus adversus Iulianum Gregorius ille theologus usus est, haec etiam verba reperiuntur: astronomiam primi Babylonii per Zoroastrum invenisse perhibentur, a quibus eam deinceps Aegyptii acceperint. magia Medorum iuventum est, a quibus ad Persas manavit. differt haec a goetia, quod magia sit imploratio, sicut aiunt, beneficorum geniorum ad boni alicuius effectionem, goetia vero maleficorum compellatio geniorum, qui circum sepulcra volutantur, ad mali alicuius effectionem. et goetiae nomen factum est a ploratibus et lamentis, quae consueverunt in sepulcris existere, cum magia dicatur a Magusaeis, hoc est Persis, eiusdem auctoribus. nam Persas Magos appellari lingua ipsis vernacula constat. Cyrillus autem in libris adversus Iulianum scriptis refert post annos a diluvio nongentos Arbylum regem Assyriis imperitasse, qui primus hominum sibi divinitatis appellationem arrogarit. eiusdem filius Ninus primus apud Assyrios regnum illustri ratione administrasse perhibetur, a quo nomen inditum urbi Ninevae, quam Semiramis magnifice moenibus cinxit.

Post turris aedificationem, de qua locuti sumus, homines hinc

ἔνθεν κἀκεῖθεν οἱ ἄνθρωποι πρὸς ἀτόπους πράξεις ἐξεκυλίσθησαν, B καὶ τελευταῖον πρὸς εἰδωλομανίαν ἀπεπλανήθησαν, ὑπὸ τῶν δαιμόνων αὐτῶν ἀπατηθέντες τουτονὶ τὸν τρόπον οἱ δείλαιοι. ὁ γὰρ ἀπὸ τοῦ Νῶε ὄγδοος Σερούχ τὰ τῶν ἀγαλμάτων ἀρχῆθεν εὕρατο· λέγεται γὰρ οὗτος τοὺς ἔργον οἷον δήποτε λαμπρὸν ἐπιδειξαμένους ἀνδριᾶσι καὶ στήλαις τιμῆσαι. οἱ δὲ μετὰ ταῦτα τὴν τῶν προγόνων ἀγνοήσαντες γνώμην, καὶ ὅτι μνήμης ἕνεκα τοὺς ἀνδριάντας ἔστησαν, κατὰ μικρὸν πλανώμενοι τῇ τοῦ ἀρχεκάκου συνεργίᾳ, ὡς ἀθανάτοις θεοῖς τοῖς ὁμοιοπαθέσι καὶ φθαρτοῖς ἀνθρώποις προσετέθησαν καὶ θυσίας αὐτοῖς ἐπενόησαν, τῶν δαιμόνων τοῖς C ξοάνοις ἐνοικησάντων. ἐντεῦθεν ἄλλοις καὶ ἄλλοις θεοῖς τὸ τῶν ἀνθρώπων γένος ἐλάτρευσεν. Αἰγύπτιοι δὲ μᾶλλον τῶν ἄλλων εἰς ἀθεΐαν ἐξώκειλαν· αἰλούρους γὰρ καὶ πιθήκους ἐσεβάσθησαν, τράγους τε ὁμοίως καὶ βόας καὶ κροκοδείλους. πλέον δὲ τῶν ἄλλων τὸν Ἆπιν ἐσεβάζοντο, βοῦν ὄντα πολύχρουν αὐτόν. ἡνίκα γὰρ ἐγεννήθη τοιοῦτος βοῦς παρ' αὐτοῖς παρὰ τῇ γλώττῃ φέρων καὶ τῇ κέρκῳ σήμαντρα, ὡσαύτως παρὰ τῷ μετώπῳ σελήνης ὥσπερ διχότομον μίμημα, ἐχόρευον φαιδρῶς D καὶ ἐπανηγύριζον ἅτε θεοῦ καινοπρεποῦς αὐτοῖς ἐνδημήσαντος. καὶ περὶ μὲν τούτων οὕτως.

Ὄγδοος δὲ ἀπὸ τοῦ Νῶε λέγεται εἶναι ὁ Σερούχ· ὁ γὰρ

5. ἀρχῆθεν] ἐκεῖθεν F.

inde dispersi ad facta quaedam absurda exorbitarunt, ac tandem miseri deastrorum cultus errorem amplexi sunt, a malis geniis hoc quodam modo decepti. octavus a Noa Seruchus simulacrorum formandorum rationem invenit. fertur enim homines qui praeclarum aliquod facinus edidissent, statuarum et columnarum honoribus ornasse. verum posteri cum maiorum mentem et consilium ignorarent, neque scirent statuas illas memoriae causa collocatas esse, paulatim principis omnium malorum auctoris impulsu sic colere consimiliter secum adfectos et interitui obnoxios homines coeperunt ac si dii forent immortales; adeoque sacra quaedam eis excogitarunt, ipsis malis geniis intra statuas domicilium collocantibus. hinc factum ut deinceps genus humanum aliis atque aliis diis religiose serviret. ac Aegyptii quidem supra caeteros ad impietatem maximam prolapsi sunt: nam feles simios hircos boves crocodilos coluerunt; atque imprimis bovem illum variis coloribus praeditum, quem Apim vocabant. cum enim bos apud ipsos nascebatur, qui in lingua et cauda notas quasdam referret et in fronte similitudinem lunae dimidiatae imitaretur, perhilariter choreas ductitabant et conventus publicos celebrabant, quasi novus quispiam deus ad ipsos se contulisset. ac de his quidem hactenus.

Recte autem octavus a Noa Seruchus fuisse dicitur, quippe Cai-

τῶν ὥσπερ υἱὸς πρωτότοκος ὁ Ἰσραήλ, καθὼς ὁ θεῖος ἔφη
Ἐφραΐμ. καὶ ὁ χρυσοῦς δὲ τὴν γλῶτταν οὐκ ἄλλου τινὸς ἕνε-
κα, τῆς δὲ τῶν γενῶν ἐπιμιξίας ἀνοιχθῆναι λέγει τὰς κατα-
ράκτας τοῦ οὐρανοῦ. ὅτι δὲ διὰ φιληδονίαν καὶ τὴν μυσα-
ρὰν ἐκείνην μῖξιν, ὧν ἕνεκεν ἀσεβεῖς ἐκάλει τοὺς γίγαντας ὁ
κορυφαῖος Πέτρος, ἐπήγαγε τὸν κατακλυσμὸν ὁ θεός, καὶ οὐ
C δι' ἀθεΐαν ἢ ἄλλην κακίαν τινά, ὁ θειότατος Κύριλλος ἐν τῇ
κατὰ Ἰουλιανοῦ βίβλῳ παρίστησι τοῦτο σαφέστατα λέγων „οἱ
ἐξ Ἀδὰμ καὶ μέχρι τοῦ Νῶε γεγονότες ἄνθρωποι θεὸν ἕνα
τὸν ἀληθινὸν τετιμήκασι, μετὰ δὲ τὴν τοῦ πύργου κατασκευὴν
καὶ τὴν τῶν γλωσσῶν διαφορὰν ἀσύμβατον καὶ αὐτὴν ἐσχή-
κασι τὴν περὶ θεοῦ δόξαν· πανταχοῦ γὰρ διασκεδασθέντες
καὶ τὴν πολύθεον πλάνην ἐσχήκασιν." ὅτι δὲ δι' ἀσωτίαν ἀμ-
φοτέρων τῶν μερῶν ὁ παγκόσμιος ἐκεῖνος γέγονε κατακλυ-
D σμός, αὐτὸς ὁ θεὸς ἐδήλωσεν οὕτως εἰπών „οὐ μὴ καταμείνῃ
τὸ πνεῦμά μου ἐν τοῖς ἀνθρώποις τούτοις διὰ τὸ εἶναι αὐτοὺς
σάρκας," ἤγουν διὰ τὸ ζῆν αὐτοὺς ἐμπαθῶς τε καὶ σαρκικῶς.
οὕτω μὲν οὖν ὁ μέγας Παῦλος τοὺς ἐγκρατῶς ζῶντας ἀσάρκους
καλεῖ, λέγων „ὑμεῖς δὲ οὐκ ἐστὲ ἐν σαρκί." σάρκας μὲν οὖν,
ὥσπερ δὴ καὶ ἀσεβεῖς, εἴωθε καλεῖν ἡ γραφὴ τοὺς βίον
ἔχοντας ἄσωτον· ἀσέβεια γὰρ οὐ μόνον ἡ τῶν εἰδώλων
προσκύνησις, ἀλλὰ καὶ αὐτὸς ὁ ἀσελγὴς βίος καὶ ἄσωτος. καὶ

vocatur filius primogenitus. tradit haec divinus ille vir Ephraemus. et Chrysostomus adfirmat alia nulla de causa quam ob hanc utriusque generis commistionem coeli meatus reclusos fuisse. itidem non impietatis deum negantis vel alia quapiam causa diluvium fuisse invectum, extra solam hanc voluptariae vitae libidinem et commistionem exsecrandam, quo nomine gigantes impios summus ille Petrus appellavit, praeclarissimus ille Cyrillus in scripto adversus Iulianum libro perspicue verbis hisce demonstrat „homines ab Adamo ad Noam usque prognati deum unum et verum coluere. post extructionem vero turris illius linguarumque divisionem coeperunt etiam opinionibus de deo dissidere mortales. nam in omnes dispersi partes deum quoque multitudinis errorem imbuerunt." denique propter utriusque partis luxuriam diluvium illud orbem universum invasisse deus ipse denotat, cum ait (Gen. 6 3) „non permanebit spiritus meus in hisce mortalibus, cum caro sint;" hoc est pro adfectionum et carnis libidine vivant. sic enim et Paulus (Rom. 8 9) homines temperanter viventes carnis expertes in his verbis vocat „vos in carne non estis." nimirum litterae sacrae carnem et impios appellare consueverunt eos quorum vita luxuriae dedita est. nam impietas non deastrorum modo cultus est, sed significat etiam lasciviae luxuriaeque vitam obnoxiam. patet

τοῦτο δηλοῖ ὁ μακάριος Δαβὶδ λέγων „ἐγὼ εἶπα, ἐξαγορεύ-
σω κατ' ἐμοῦ τὴν ἀνομίαν μου τῷ κυρίῳ καὶ σὺ ἀφῆκας τὴν
ἀσέβειαν τῆς καρδίας μου." μὴ γὰρ ἀλλόπιστος ἦν ὁ Δα-
βίδ; μὴ τὸν θεὸν ἐξωμόσατο πάντως; οὐχί, ἀλλὰ τὴν ἐπι- V. 97
θυμίαν ἥτις ἔτεκε τὴν μοιχείαν, ἀσέβειαν ἐκεῖνος ἐκάλεσε. P. 125
παγκόσμιον δὲ τὸν κατακλυσμὸν ἐκεῖνον ἐπήνεγκεν ὁ θεός,
ὅτι καὶ πάντες ἐκεῖνοι καθάρσεως ἔχρῃζον. καὶ τοῦτο πα-
ρίστησιν ἡ γραφὴ λέγουσα „καὶ εἶδε κύριος ὁ θεὸς τὴν γῆν,
καὶ ἦν κατεφθαρμένη, ὅτι κατέφθειρε πᾶσα σὰρξ τὴν ὁδὸν
αὐτῆς ἐπὶ τῆς γῆς."

Πρόσεχε δέ, ἀγαπητέ. εἰ γὰρ οὐκ ἐφείσατο τότε τινὸς
ὁ θεός, ἀλλὰ πάντας ἄρδην κατέκλυσε, μηδὲν ὠφεληθέντας
ἐκ τοῦ λόγῳ μόνῳ σέβεσθαι τὸν θεόν, εὔδηλον πάντως ὡς
οὐδὲ ἡμῶν ἐν ἐκείνῃ φείσεται τῇ ἡμέρᾳ, εἰ καὶ τὸ τῶν Χρι-
στιανῶν ἐπιφερόμεθα ὄνομα. ἐρεῖ γὰρ ἀληθῶς ὁ δεσπότης B
πάντων Χριστὸς καὶ ἡμῖν, ὅπερ εἶπε τοῖς Ἰουδαίοις, ἡνίκα
καυχώμενοι ἔλεγον „ἡμεῖς ἐκ τοῦ πατρὸς ἡμῶν τοῦ Ἀβραάμ
ἐσμεν." καθάπερ γὰρ ἐκείνοις ἔλεγεν „εἰ ἐκ τοῦ Ἀβραὰμ
ἦτε, τὰ ἔργα ἂν ἐποιεῖτε τοῦ Ἀβραάμ," οὕτως ἐρεῖ καὶ
ἡμῖν „εἰ Χριστιανοὺς ἑαυτοὺς εἴχετε, τὰ ἔργα ἂν ἐποιεῖτε
τὰ τοῖς Χριστιανοῖς ἁρμόζοντα." μὴ οὖν ἐπὶ τούτοις ἀμφί-
βαλλε· διὰ γὰρ τοῦ παγκοσμίου ἐκείνου κατακλυσμοῦ καὶ

hoc ex beati viri Davidis hac oratione (Psalm. 31 51) „dixi apud me, improbitatem meam adversus me ipsum domino fatebor; et tu mei cordis impietatem mihi condonasti." quaeso te, num fidem quandam extraneam Davides sectabatur? num deum abiuraverat? nequaquam certe. nimirum impietatis vocabulo cupiditatem illam, quae adulterium pepererat, innuit. et universale diluvium invexit propterea deus quod omnes illi homines repurgationis egerent. significatur hoc sacris in litteris (Gen. 6 12) per haec verba „vidit deus orbem terrarum esse corruptissimum et omnium mortalium mores depravatos."

Heic animum mihi, dilecte fili, advertito. nam si deus id temporis nemini pepercit, sed diluvio funditus omnes obruit, nihil adiutos ex eo quod verbis deum religiose venerarentur, intelligi perspicue potest futurum ut ne nobis quidem in illo die parcat, tametsi nomen Christianorum habeamus. revera enim Christus ille dominus omnium verbo nos illo compellabit, quo Iudaeos adfatus est (Ioh. 8 33), cum iactabundi dicerent „nos ex Abrahamo patre nostro sumus orti." nimirum ut illis respondit „si Abrahami nati essetis, Abrahamo digna faceretis," ita nobis etiam dicturus est „si pro Christianis vos gerere volebatis, ea praestare conveniebat quae Christianos omnino decerent." atque hac in parte minime tibi est ambigendum. nam per

τοῦ ἐν Σοδόμοις ἐμπρησμοῦ σαφῶς ἔδειξεν ὁ θεὸς ὁποῖον
ἀπαντᾷ τέλος τοῖς ἐν ἀσωτίᾳ τὸν βίον καταλύουσιν.
C Ὁ μέντοι Νῶε πεντακοσίων ἐτῶν γεγονὼς γεννᾷ τὸν
Σήμ, τὸν Χάμ, τὸν Ἰάφεθ. ἐφ' ᾧ καὶ ἄξιος θαυμασμῶν ὁ
ἀνήρ, ὅτι τοσοῦτος παρίππευσε χρόνος, καὶ μίξεσι νομίμοις
ὑποκύπτειν οὐκ ἤθελε. καὶ ὡς ὁ χρυσορρήμων φησίν, εἰ μὴ
θεία τις ἦν οἰκονομία, ὥστε δι' αὐτὸν αὖθις τὸ τῶν ἀνθρώ-
πων συστῆσαι γένος, οὐκ ἂν οὐδ' ὅλως σαρκικαῖς ἐπιθυμίαις
ὑπέκυψε· κατὰ γὰρ τοῦτο καὶ τέλειον αὐτὸν ἐν τῇ γενεᾷ
αὐτοῦ καλεῖ ὁ θεός, τῇ διεστραμμένῃ δηλαδή. ἀλλ' ὅρα μα-
D κροθυμίαν τοῦ θεοῦ. οὐκ εὐθέως ἐπάγει τὸν κατακλυσμόν,
ἀλλ' ἔτη μὲν ἑκατὸν ἑτοιμάζει τὴν κιβωτόν, κἂν οἱ ἄφρονες
τὸν Νῶε θελήματι θείῳ ὑπηρετούμενον ἐξεμυκτήριζον. ἀλ-
λὰ καὶ συναγόμενα ὁρῶντες τὰ θηρία πάντα, καθά φησιν ὁ
θεῖος Ἐφραΐμ, ἐλέφαντας μὲν ἀπὸ Ἰνδικῆς καὶ Περσίδος
ἐρχόμενα, λέοντας καὶ παρδάλεις μετὰ προβάτων καὶ αἰ-
γῶν μιγάδας, ἑρπετὰ καὶ πετεινὰ ἄνευ τινὸς διώκοντος ἐρχό-
μενα καὶ κύκλῳ τῆς κιβωτοῦ αὐλιζόμενα, οὐδαμῶς κατε-
νύγησαν. ἀλλὰ μὴ καὶ ἡμεῖς τοῦτο πάθοιμεν, γρηγοροῦν-
τες ἀεί.
P. 126 Πόθεν δὲ οἶδεν ὁ Νῶε τὰ καθαρὰ καὶ ἀκάθαρτα, μή-
πω τῆς αὐτῶν διαιρέσεως παρὰ Μωσέως γεγονυίας, ὡς ὁ

orbis universi diluvium et Sodomorum incendium deus manifesto declaravit qualis immineat iis exitus qui vitam in luxuria prodigunt.

Quum Noa quingentos esset annos natus, Semum genuit, indeque Chamum et Iaphetum (Gen. 5 31). meretur in illo viro magnam hoc admirationem, quod cum tot annos vivendo explesset, ne legitimos quidem amplexus desideraverit. Chrysostomus certe ait, ni divino decretum fuisset consilio per ipsum genus humanum instaurandum esse, nunquam omnino carnalibus eum cupiditatibus se summissurum fuisse. propter hanc causam deus eum vocat hominem aetatis suae integrum, quae plane perversa erat. heic dei tolerantiam mihi considerato. diluvium subito non invehit, sed totis centum annis arca construitur. interim homines stolidi Noam voluntati divinae obsequentem irridebant. immo tametsi cernerent universas belluas coire, quemadmodum divinus ille vir Ephraemus ait, elephantos ab India Persideque adventare, leones ac pardalides inter oves atque capras promiscue accedere, reptiles bestias cum avibus eodem se persequente nemine conferre ac circum arcam commorari, nihilo tamen magis poenitentiae stimulos sentiebant. idem ne nobis incidat, nunquam non vigilemus.

Sed enim unde Noa didicerat quae animalia munda, quae immunda essent, cum nondum id temporis ea Moses segregasset? hanc

χρυσορρήμων φησίν; ἐκ τῆς ἐναποκειμένης αὐτῷ φυσικῆς
γνώσεως, ἢ ἐκ τῆς δοθείσης αὐτῷ παρὰ θεοῦ σοφίας. ὡς
καλὸν ἡ ἀρετή. αὕτη τὸν Ἐνὼχ μετέθηκεν, αὕτη τὸν Νῶε
διεσώσατο. ὅρα γὰρ ὅτι πάντας ἐκείνους ἀπωλείᾳ παραδι-
δοὺς ὁ θεὸς πρὸς τὸν Νῶε ἔλεγεν „εἴσελθε σὺ καὶ πᾶς ὁ οἶ-
κός σου εἰς τὴν κιβωτόν, ὅτι σε εἶδον δίκαιον ἐναντίον ἐμοῦ
ἐν τῇ γενεᾷ ταύτῃ τῇ πονηρᾷ καὶ διεστραμμένῃ." ἀλλὰ και-
ρὸν διδοὺς αὐτοῖς ἐμπρόθεσμον εἰς μετάνοιαν φησίν „ἔσονται
δὲ αἱ ἡμέραι αὐτῶν ἔτη ρκ'," εἰ καὶ ταῦτα πάντα οὐκ ἔζησαν V. 98
διὰ τὴν κακίαν αὐτῶν· οἱ γὰρ μὴ φθάσαντες διὰ μέσου τῶν B
ἑκατὸν μετανοῆσαι οὐδὲ ἐν τοῖς εἴκοσι μετενόησαν ἄν. πρόσ-
εχε δὲ ὅτι ποτὲ μὲν ἣν ὑπισχνεῖται δοῦναι ζωὴν ὑποτέμνει,
ὡς ἐνταῦθα, ἐὰν μὴ μετανοήσωμεν, ποτὲ δὲ ἀπειλῶν ἀπολέ-
σαι τοῦτο οὐ ποιεῖ μετανοησάντων ἡμῶν, ὡς ἐπὶ τῶν Νι-
νευιτῶν ἔστιν ἰδεῖν.

Τὸ δὲ ὕδωρ ὑψώθη ἐπάνω τῶν ὀρέων ἐπὶ πήχεσι πεντε-
καίδεκα, ἵνα τὰ τῆς θείας πληρωθῇ ἀποφάσεως. „ἐξαλείψω" γάρ
φησι „πᾶσαν τὴν ἐξανάστασιν ἣν ἐποίησα, ἀπὸ ἀνθρώπου ἕως
κτήνους καὶ ἀπὸ ἑρπετῶν ἕως πετεινῶν ὑποκάτω τοῦ οὐρανοῦ."
εἰ μὴ γὰρ ὑψώθη τοσοῦτον, οὐκ ἂν τὸ τῶν πετεινῶν ἀπώλετο C
γένος. ὅτι δὲ ὑπεράνω τῶν ὑψηλοτέρων ὀρέων ἐπήρθη τὸ ὕδωρ

enim quaestionem Chrysostomus movet. num proficiscebatur hoc a naturali quadam cognitione, quam habebat, an a sapientia divinitus ei concessa? praeclara profecto res virtus est. haec Enochum transtulit, haec Noam conservavit. nam vide mihi, quaeso, quid fiat. omnes id temporis homines deus exitio destinans solum ad Noam inquit (Gen. 7 1) „ingredere tu una cum omni familia tua in arcam, quoniam quidem te animadverti esse omnium huius perversi pravique saeculi meo in conspectu facile iustissimum." simul tempus caeteris definitum ad resipiscendum tribuens inquit „reliquos eis faciam annos 120." quanquam ne hos quidem universos vixerunt propter insignem perversitatem. nam qui prius durante 100 annorum intervallo non resipuerant, intra viginti annos poenitentiam acturi non erant. atque hoc loco mihi observa deum nonnunquam nobis resipiscentibus eam vitam praecidere quam prius pollicebatur, ut heic fieri videmus, nonnunquam minatum se perditurum reapse minas non exsequi, nobis resipiscentibus; id quod Ninevitis videmus usuvenisse.

Caeterum aqua supra ipsos montes excrevit ad 15 usque cubitos, ut eveniret quod futurum deus minatus fuerat (Gen. 6 7) „quicquid ortum est delebo, non homines solum, sed etiam pecora et reptilia, et volucres, quae sub coelo sunt." quippe si tantam ad altitudinem non excrevisset, volucres haud quaquam periissent. et quidem aquam

ἐπὶ τοῦ κατακλυσμοῦ, κἀντεῦθεν πιστοῦται. λίθους γάρ τινες ἐκ τῶν τοῦ Λιβάνου ἀκρωρειῶν εἰς οἰκοδομὰς μετακομίζοντες διεβεβαιοῦντο ὡς εὗρον ἐν τοῖς κοιλώμασι τοῦ Λιβάνου ἰχθύας τεταριχευμένους καὶ τῇ ἰλύϊ πεπηγότας, καθά φησι καὶ Ἰώσηπος.

Μετὰ δὲ τὴν τοῦ κατακλυσμοῦ παῦλαν θυσίαν ὁ Νῶε τῷ θεῷ ἀνήνεγκε. τίνος ἕνεκεν; ἵνα τοῖς ἐσομένοις ἐν ἀσθενείᾳ συγγνώμονά τε καὶ γαληνὸν προσαπεργάσηται τὸν θεόν, D ὡς ὁ μέγας διέξεισι Κύριλλος, ἵνα μὴ πάλιν μία κατὰ πάντων ἐλεύσεται ψῆφος, δευτέρῳ κατακλυσμῷ τὸ ἀνθρώπινον ὑποτιθεῖσα γένος. ἐφ' ᾧ καὶ εἶπε πρὸς αὐτὸν ὁ θεός „διανοηθεὶς οὐκέτι προσθήσω τοῦ καταράσασθαι τὴν γῆν διὰ τὰ ἔργα τῶν ἀνθρώπων, ὅτι ἔγκειται ἡ διάνοια τοῦ ἀνθρώπου ἐπὶ πονηρὰ ἐκ νεότητος." τούτου χάριν, ὡς εἴρηται, θυσίαν ἀνήνεγκε τῷ θεῷ. κατὰ γὰρ τοῦτο καὶ ἑπτὰ ἑπτὰ ἐκέλευσεν ὁ θεὸς ἀπὸ τῶν καθαρῶν εἰσαχθῆναι ἐν τῇ κιβωτῷ, δύο δύο δὲ ἀπὸ τῶν ἀκαθάρτων. ἐπειδὴ γὰρ ἔμελλε συγχωρεῖν τοῖς
P. 127 ἀνθρώποις μεταλαβεῖν κρεῶν, ἔμελλον δὲ καὶ θυσίας προσφέρειν αὐτῷ τῆς εὐσεβείας οἱ τρόφιμοι, πλείονα τὰ καθαρὰ φυλαχθῆναι προσέταξε, τὰς μὲν τρεῖς συζυγίας εἰς τὴν αὔξησιν τοῦ γένους, τὸ δὲ περιττὸν ἓν εἰς θυσίαν. ὃ δὴ καὶ πεποίηκε μετὰ τὸν κατακλυσμόν, ἀπὸ πάντων τῶν καθαρῶν

huiusce diluvii montes etiam sublimissimos operuisse, vel hinc colligere licet. quidam cum e Libani cacuminibus ad structuras aedificiorum saxa congererent, adseruerunt se intra Libani concavitates reperisse pisces induratos in limo defixos, uti Iosephus etiam memoriae prodidit.

Cum diluvium desiisset, Noa deo sacrificium obtulit. quamobrem istuc? ut iis qui aliquando futuri essent infirmiores, deum benignum ac propitium redderet, sicut eximius ille Cyrillus ait, ne rursum aliquando unus adversus omnes ferretur calculus, quo genus mortalium alteri diluvio subiiceretur. iccirco deus his eum verbis compellat (Gen. 8 21) „statui cum animo meo nunquam deinceps terram tanta diritate prosequi propter hominum facinora, quorum cogitationes et studia inde usque a pueris ad prava quaeque proclivia sunt." hanc igitur ob causam sacrificium illud obtulit, cuius etiam respectu mandaverat deus ut ex mundis animalibus in arcam septena, ex immundis bina reciperentur. nam quia carnibus vescendi potestatem mortalibus facturus erat, atque etiam litaturos sibi religiosos homines sciebat, iccirco mundorum animalium maior numerus servatus est, quorum tria paria generis incremento, reliquum sacrificio destinatum esset; id quod a diluvio Noa non neglexit, de omni

προσαγαγὼν τῷ θεῷ, ὡς εἶναι δῆλον ὅτι γε τούτου χάριν
ἀνὰ ἑπτὰ προσέταξεν ἐξ ἑκάστου γένους τῶν καθαρῶν ἐν τῇ
κιβωτῷ εἰσαχθῆναι, ἵνα τὸ ἓν ζῶον ἐξ ἑκάστου γένους ὁ
Νῶε προσφέρων μὴ διαφθείρῃ τὰς συζυγίας. τοσοῦτον δὲ
τὴν τοῦ Νῶε προαίρεσιν ἐπὶ τῇ προσαγωγῇ τῆς θυσίας ἀπε-
δέξατο ὁ θεὸς ὡς καὶ τὴν γραφὴν οὕτως εἰπεῖν „καὶ ὠσφράν-
θη κύριος ὀσμὴν εὐωδίας.“ μετὰ γνώμης λοιπὸν ὑγιοῦς καὶ
ἡμᾶς τὸ πᾶν ἐργάζεσθαι χρή. εἰ δὲ μή, κἂν ὁτιοῦν προσά- B
ξωμεν, ἀποστραφήσεται αὐτὸ ὁ θεός. ὅρα γὰρ ὅτι καὶ ἐν-
ταῦθα ἡ τοῦ δικαίου ἀρετὴ τὸν καπνὸν καὶ τὴν κνίσσαν
ὀσμὴν εὐωδίας εἰργάσατο. ἀλλ᾽ ἐπὶ τῶν Ἰουδαίων ἡ τῶν προσ-
αγόντων πονηρία τὸ θυμίαμα τὸ εὐῶδες βδέλυγμα ὀφθῆναι
παρεσκεύασεν.

Ὁ μὲν οὖν Ἰώσηπος καὶ κατ᾽ αὐτὸν τὸν κόρακα τὸν ἀπο-
λυθέντα παρὰ τοῦ Νῶε τοῦ ἰδεῖν εἰ τὸ ὕδωρ ἐκόπασεν,
ἐναντιούμενος φαίνεται τῇ τοῦ Μωσέως ἱστορίᾳ. ὑποστρέψαι
καὶ γὰρ πρὸς τὴν κιβωτὸν λέγει τὸν κόρακα, ὡς ἐπὶ πάσῃ
τῇ γῇ τοῦ ὕδατος ἔτι λιμνάζοντος. ὁ δὲ Μωσῆς περὶ τού- C
των οὕτω φησίν „καὶ οὐχ ὑπέστρεψεν ὁ κόραξ ἕως οὗ ἐξη-
ράνθη ἡ γῆ.“ κατὰ γὰρ τοῦτο καὶ περιστερὰν ἀπέστειλεν
ὕστερον, ἅτε δὴ παλινοστῆσαι τοῦ κόρακος πρὸς αὐτὸν μὴ θε-
λήσαντος. ἀλλὰ καὶ ἱστορικοὺς εἰσάγει τινὰς ὁ Ἰώσηπος, περί V. 99
τι λέγοντας ὄρος τῆς Ἀρμενίας ὑψηλότατον ἐν τῷ τοῦ κατα-

mundorum pecorum genere deo victimas offerens. ex quo perspicue licet intelligere propterea fuisse praeceptum ut septena in arcam animalia sumerentur, ne Noa unum animal ex quovis genere deo mactans ipsa paria distraheret atque corrumperet. caeterum usque adeo deus in oblatione huius sacrificii Noae studium ac voluntatem probavit, ut his uti verbis litterae sacrae non dubitaverint (Gen. 8 21) „delectatus est deus odoris illius suavitate.“ quapropter nos quoque nihil non animo sano et puro faciamus, absque quo fuerit, omnino deus aversabitur quodcunque tandem a nobis offeratur. nam vides heic virtutem iusti hominis de ipso fumo ac nidore suavissimum odorem effecisse, cum apud Iudaeos pravitas offerentium faceret ut suffitus etiam fragrantissimus a deo piaculi loco duceretur.

Caeterum in narratione de corvo, qui a Noa dimissus fuit ut exploraret an aqua defecisset, Iosephus historiae Mosis aperte refragatur. commemorat enim corvum illum ad arcam revertisse, quasi aqua per omnem terrarum orbem adhuc restagnaret. at Moses haec in hunc modum narrat „non revertit corvus, donec ab aquis exsiccata terra foret. nam illa ipsa de causa columbam deinceps emisit, quod corvus redire noluisset. idem Iosephus probat auctoritate quorundam

κλυσμοῦ πεφευγέναι καιρῷ τῶν ἀνθρώπων τινάς, κἀκεῖσε σωτηρίας διὰ τὸ ὕψος τυχεῖν. ἀλλ' ἔξω βάλλουσιν ἐκεῖνοι τοῦ σκοποῦ, καὶ τῆς εὐθείας πόρρω που φέρονται. εἰ γὰρ ὑψώθη τότε τὸ ὕδωρ ἐπάνω τῶν ὑψηλοτάτων ὀρέων ἐπὶ πήχεσι πεντεκαίδεκα, καθὰ Μωσῆς ἱστορεῖ, οὐκ ἂν ὁτιοῦν ὑπελεί-
D φθη τηνικαῦτα ὄρος, ὡς οἶμαι, τοὺς ἐν αὐτῷ πεφευγότας ἰσχῦον ἀβλαβεῖς διασώσασθαι.

Ἡ μέντοι κιβωτὸς τριακοσίων μὲν πηχέων τὸ μῆκος ἦν, πεντήκοντα δὲ τὸ πλάτος, τὸ ὕψος τριάκοντα. πῆχυν δὲ ἀκούων μὴ τοιαύτην εἶναι νόμιζε ὁποία τίς ἐστι παρ' ἡμῖν, ἀλλὰ γεωμετρικήν. ὁ γὰρ Μωσῆς γεωμέτρης ἐξ Αἰγύπτου ὢν τοιαύτην ἔφη πῆχυν ἐπὶ τῆς κιβωτοῦ, ἥτις ὀργυιὰν μεγίστην ποιεῖ. πρῶτοι γὰρ Αἰγύπτιοι, καθά φησι Κύριλλος, τὴν γνωμετρίαν εὗρον ἐκ τοῦ ἀπλέτου τῆς γῆς καὶ τῆς διαιρέσεως. ἡ δὲ τῶν φαινομένων θεωρία παρ' Ἕλλησιν ἐτελειώ-
P. 128 θη, τῶν πρώτων τηρήσεων ἐν Βαβυλῶνι γενομένων. τὸ δὲ περὶ τοὺς ἀριθμοὺς ἀπὸ τῶν ἐμπόρων Φοινίκων ἦρξατο. καὶ περὶ μὲν τούτων οὕτως.

Μετὰ δὲ πεντακόσια τριάκοντα καὶ ἓξ ἔτη τοῦ κατακλυσμοῦ ἡ τοῦ πύργου γέγονεν οἰκοδόμησις, ματαιοπονησάντων ἐπὶ ταύτῃ τῶν ἀνθρώπων ἐκείνων ἐν ἔτεσι τεσσαράκοντα.

historicorum, quos citat, diluvii tempore quosdam homines in altissimum Armeniae montem confugisse, atque ibi saluti suae per ipsius montis sublimitatem consuluisse. verum hi a scopo, quod dicitur, aberrarunt et a semita recta longe deflexerunt. nam si aqua id temporis supra montes quosque sublimissimos ad 15 usque cubitos excrevit, quemadmodum Moses memoriae prodidit, nullus mea quidem sententia mons reliquus esse potuit, qui a periculo servaret immunes quotquot in eum confugissent.

Arcae ipsius longitudo 300 cubitos habebat, latitudo quinquaginta, altitudo triginta. cum autem cubiti vocabulum audis, non talem intelligi putato qualis apud nos est in usu, sed geometricum. Moses enim, qui apud Aegyptios artem geometriae didicisset, in hac de arca narratione cubitum eiusmodi intelligit qui maximam ulnam efficeret. nam Aegyptii primi, referente Cyrillo, geometriam propter amplitudinem terrae suae eiusque divisionem repererunt, cum motus siderum consideratio sit a Graecis perfecta, quorum observationes primae apud Babylonios exstiterant. itidem doctrina numerorum a Phoenicum mercatoribus est profecta. de his hactenus.

Post annos a diluvio 536 turris est aedificata, hominibus in ea perficienda totis 40 annis incassum laborantibus. cohortabantur enim, ceu Moses (Gen. 11 3) narrat, invicem ut lateres facerent coquerentque, quibus urbem turrimque sibi exstruerent, quae fastigio

„καὶ εἶπε" γάρ φησιν „ἄνθρωπος τῷ πλησίον αὐτοῦ δεῦτε καὶ πλινθεύσωμεν πλίνθους, καὶ ὀπτήσωμεν αὐτὰς πυρί, καὶ B οἰκοδομήσωμεν ἑαυτοῖς πόλιν καὶ πύργον, οὗ ἔσται ἡ κεφαλὴ ἕως τοῦ οὐρανοῦ." διὰ τί δὲ καὶ τίνος ἕνεκεν τοῦτο; ἵνα κατακλυσμὸς εἰ γένηται δεύτερος, ἐπὶ τὴν αὐτοῦ κορυφὴν ἀναδράμωσι, κἀντεῦθεν τὸν ἐξ ὕδατος ὄλεθρον φεύξωνται. ταύτῃ τοι καὶ τὴν ματαιοπονίαν αὐτῶν ἐκώλυσεν ὁ θεὸς διὰ τῆς συγχύσεως τῶν γλωσσῶν. καὶ ἄκουε τῆς γραφῆς οὕτω λεγούσης „καὶ εἶπε κύριος 'ἰδοὺ γένος ἓν καὶ χεῖλος ἓν πάντων. δεῦτε καὶ καταβάντες συγχέωμεν ἐκεῖ τὴν γλῶσσαν, ἵνα μὴ ἀκούσωσιν ἕκαστος τῆς φωνῆς τοῦ πλησίον.' καὶ διέσπειρεν αὐτοὺς κύριος C ὁ θεὸς ἐκεῖθεν ἐπὶ πρόσωπον πάσης τῆς γῆς." τηνικαῦτα καὶ μέροπες καλοῦνται ἀπὸ τοῦ μερισμοῦ τῆς φωνῆς καὶ τῆς γῆς. ὁ δὲ παράφρων Ἰουλιανὸς καὶ τοῦτο πρὸς τοῖς ἄλλοις ἔλεγεν, ὅτι θεωρῶν αὐτοὺς ὑψουμένους διὰ τοῦ πύργου, καὶ οὐ μικρῶς ἐπὶ τούτῳ πτοηθείς, εὐμεθόδως αὐτοῖς κωλύει τὴν ἄνοδον διὰ τῆς συγχύσεως τῶν γλωσσῶν.

Ὁ μέντοι πύργος ἐκτίζετο ο' καὶ β' τοῦ κτίσματος ἀρχηγῶν ὄντων. κατὰ τούτους λοιπὸν καὶ ἡ διαίρεσις τῶν γλωσσῶν γέγονε, χείλους ὄντος ἑνὸς καὶ φωνῆς ἐπὶ πᾶσι μιᾶς, ὡς ἄνωθεν εἴρηται. μόνος δὲ ὁ Ἔβερ μὴ συγκατατεθεὶς τῇ ματαιοπονίᾳ τῶν λοιπῶν ἐν τῇ ἰδίᾳ γλώσσῃ ἔμεινεν. ἀρχῆθεν D λοιπὸν ἡ Ἑβραῒς φωνή. ὅτι δὲ τῇ Ἑβραίων γλώσσῃ ἐχρῶν-

22. ἐν deerat. 23. τῇ] τῶν P.

coelum attingeret. quamobrem? ut si alterum diluvium ingrueret, ad eius se verticem conferrent eoque pacto imminens ab aquis exitium effugerent. vanum hunc laborem et conatum eorum deus per confusionem linguarum inhibuit. verba quidem sacris in litteris (Gen. 11 6) haec leguntur „en una est mortalium natio, qui cuncti eodem sermone utuntur. age descendamus, et ibi eorum sermonem ita confundamus ut alii aliorum orationem non intelligant. itaque illinc eos per omnes terras dominus, qui deus est, dissipavit." et appellari coeperunt homines ab eo tempore Meropes a sermonis linguarum terraeque divisione. furiosus ille Iulianus hoc etiam inter alia scripsit, deum conspicientem homines in altum ope turris sublatos, eaque de causa non mediocriter perturbatum, commoda quadam ratione ac via, linguis inter se confusis ulteriorem adscensum prohibuisse.

Caeterum turris ipsa 72 praefectorum opera fuit exstructa, quorum ad numerum linguae quoque divisae sunt, cum antea sermone linguaque una, ceu dictum est, omnes uterentur. solus Heberus reliquorum stulto conatui non adsensus linguam suam retinuit; de quo colligitur ab initio mortales usos Hebraica lingua fuisse. Adami cer-

το οἱ ἀπὸ τοῦ Ἀδάμ, δῆλον μὲν καὶ ἀπὸ τοῦ καὶ τοὺς ἀμ-
φὶ τὸν Ἀβραὰμ τῇ τοιαύτῃ χρᾶσθαι διαλέκτῳ, δῆλον δὲ καὶ
ἀπὸ τοῦ τὸν δεύτερον Ἀδὰμ Χριστὸν τὸν θεὸν ἡμῶν τῇ
Ἑβραίων χρᾶσθαι φωνῇ. καὶ δηλοῦσι μὲν τοῦτο καὶ τὰ ἐν
τῷ σταυρῷ, οὐχ ἧττον δὲ κἀκεῖνα ἐν οἷς ἔλεγεν „ἐφαθά,"
V. 100 τουτέστι διανοίχθητι, καὶ πάλιν ἀλλαχοῦ „ταλιθὰ κοῦμι,"
τουτέστι σοὶ λέγω τῷ κορασίῳ. πρὸς τούτοις δὲ καὶ ὁ μέ-
γας Ἐπιφάνιος περὶ τούτων οὕτω φησί „μετὰ τὸν κατακλυ-
σμὸν ὁ πύργος, εἶτα ὁ Ἔβερ ὁ τῶν Ἑβραίων πρόγονος, ὃν
λέγουσι μὴ βουληθέντα κοινωνῆσαι τοῖς τὸν πύργον οἰκοδο-
μοῦσι μεῖναι ἐν τῇ ἰδίᾳ γλώττῃ. τούτου ἔκγονος ὁ Ἀβραάμ,
P. 129 ὅθεν καὶ ἡ Ἑβραία γλῶττα." τὰ αὐτὰ δὲ τούτοις καὶ Ἰώ-
σηπός φησι. καὶ οὗτοι μὲν οὕτως, ὁ δὲ Θεοδώρητος τῇ Σύ-
ρᾳ γλώττῃ τοὺς ἐξ Ἀδὰμ χρᾶσθαι φησίν.

Ἰστέον δὲ ὅτι ὁ τοῦ Χὰμ υἱὸς Χαναὰν ἰδὼν τὴν πρὸς τὸν Λίβανον γῆν ὅτι ἀγαθή ἐστι, μετὰ τὴν πρὸς αὐτοὺς κληροδοσίαν, καὶ κρείττων τῆς ἑαυτοῦ γῆς, τυραννικῶς καθήρπαξεν αὐτήν, καὶ τοὺς ἐκ τοῦ Σὴμ κληρονόμους ἐκεῖθεν ἐξήλασε. καὶ οὕτω πᾶσα ἡ γῆ τῆς ἐπαγγελίας τοῦ Χαναὰν προσηγορεύθη. καὶ Ἰώσηπος δέ φησιν ὅτε Χαναὰν τέταρτος ὢν τοῦ Χὰμ παῖς, τὴν Ἰουδαίαν καλουμένην οἰκήσας Χαναὰν ἀφ' ἑαυτοῦ προσηγόρευσεν.

B Ὁ δὲ Σὴμ γεννᾷ τὸν Ἀρφαξᾶ, Ἀρφαξᾶ δὲ τὸν Καϊνᾶν.

te posteros hac esse locutos, inde quoque colligitur, quod et Abrahami familia eandem usurparit et Adamus ille secundus, qui Christus est, deus ille noster. idem animadvertitur ex inscriptione crucis, et hisce Christi verbis cum ait ephata, hoc est aperitor. idem quod alibi ait talita cumi, hoc est puella surge. eadem de re magnus Epiphanius ille sic disserit: post diluvium aedificata turris est. vixit id temporis Heberus, auctor et propagator Hebraicae gentis, quem perhibent propterea quod cum turrim exstruentibus commercii nihil habuisset, linguam suam retinuisse. fuit eius ex posteris Abrahamus, et Hebraea lingua nomen ab eodem accepit. adsentitur huic et Iosephus. Theodoritus vero posteros Adami lingua Syriaca vult usos fuisse.

Sciri autem debet Chanaanem Chami F. animadverso terram Libano vicinam fertilem esse suaque meliorem, post divisionem inter Noae liberos factam per vim hanc ipsam rapuisse, ac posteros ex ea Semi eiecisse. quo factum ut universa terra illa promissionis Chanaanis regio vocaretur. Iosephus quoque commemorat a Chanaane Chananaeam fuisse appellatam.

Semus autem Arphaxam procreavit, Arphaxas Cainanem, qui

οὗτος δὲ ὁ Καϊνᾶς, ὥς φησι Γεώργιος, συνεγράψατο τὴν ἀστρονομίαν, εὑρηκὼς τὴν παρὰ τοῦ Σὴθ καὶ τῶν αὐτοῦ τέκνων ἐκτεθεῖσαν ὀνομασίαν τῶν ἀστέρων ἐν πλακὶ λιθίνῃ γεγραμμένην. οἱ γὰρ τοῦ Σὴθ ἔγγονοι προμυηθέντες ἄνωθεν τὴν μέλλουσαν γενέσθαι φθορὰν τῶν ἀνθρώπων διά τε πυρὸς καὶ ὕδατος καὶ ποιήσαντες δύο στήλας, μίαν μὲν λιθίνην ἑτέραν δὲ πλινθίνην, ἔγραψαν τὰ ἐκ τοῦ πάππου αὐτῶν Σὴθ ἐκτεθέντα οὐράνια πάντα, λογισάμενοι ὅτι εἰ μὲν δι' ὕδατος ὁ κόσμος φθαρῇ, ἡ λιθίνη στήλη μενεῖ καὶ τὰ ἐν αὐτῇ γεγραμμένα (ἥτις στήλη μετὰ τὸν κατακλυσμὸν εἰς τὸ Σίδιρον ὄρος ἔμεινε, καὶ ἔστιν ἕως ἄρτι, ὥς φησιν Ἰώσηπος), εἰ δὲ διὰ C
πυρὸς γένηται ἡ φθορά, μενεῖ ἂν ἡ πλινθίνη.

Ἀνεφάνη δὲ ἐκ τῆς τοῦ Σὴμ φυλῆς ἕτερος γιγαντογενὴς τοὔνομα Κρόνος. οὗτος πάνυ γενόμενος δυνατὸς καὶ πολλοὺς ὑποτάξας, πρῶτος κατέδειξε τὸ βασιλεύειν καὶ τῶν ἄλλων κρατεῖν, καὶ βασιλεύσας πρῶτος Ἀσσυρίων ἔτη νς' ὑπέταξε πᾶσαν τὴν γῆν Περσίδος. μετὰ δὲ Κρόνον ἐβασίλευσε Νῖνος ἔτη νβ', ὅς γε τὴν οἰκείαν μητέρα Σεμίραμιν λαβὼν εἰς γυναῖκα, νόμος ἐγένετο Πέρσαις λαμβάνειν τὰς ἑαυτῶν μητέρας καὶ ἀδελφάς. ἐξ οὗ γένους ἐγένετο καὶ Ζωρόαστρος ὁ περιβόητος Περσῶν ἀστρονόμος, ὅς εἶπε τοῖς Πέρσαις, „ἐὰν D

10. σίριδος F. 13. τῆς deerat.

auctore Georgio libris astronomiam complexus est, cum appellationes siderum a Setho eiusque posteris indicatas et lapidea in tabula perscriptas reperisset. nam cum ii multo ante fuissent edocti futurum ut homines tam per ignem quam aquam interirent, erectis duabus columnis, quarum una lapidea foret altera latericia, coelestium rerum descriptiones ab avo expositas iis ipsis insculpserant, cum secum rationes has inivissent, siquidem usuveniret ut per aquam mundus interiret, lapideam columnam cum inscriptis litteris superfuturam, quae sane post diluvium in monte Sidiro salva reperta est hodieque restat Iosepho teste; sin per ignem mundus corrumperetur, omnino superaturam columnam latericiam.

Caeterum ex stirpe Semi quidam exstitit, Gigantum origine satus, cui nomen esset Cronus. hic cum magnam ad potentiam esset evectus imperioque suo multos mortales subiecisset, primus regnandi modum et alios sub iugum mittendi ostendit. cumque princeps Assyriorum regno totos 56 annos potiretur, universam sibi Persidem dicto audientem reddidit. post Cronum 52 annos Ninus regnavit, qui cum matrem germanam Semiramidem matrimonio sibi iunxisset, lex apud Persas inolevit, qua fas esset matres ac sorores in uxores ducere. prodiit ex hac familia et Zoroaster, insignis ac celeberrimus ille Persarum astronomus; qui Persis praecepit ut si ab igne coele-

καύσῃ με τὸ οὐράνιον πῦρ," (τοῦτο γὰρ καὶ ηὔχετο) „λάβετε ἐκ τῶν ὀστέων μου, καὶ φυλάσσετε εἰς σύστασιν τῆς βασιλείας ὑμῶν." ὃ δὴ καὶ γέγονεν. ἐν δὲ ταῖς ἱστορίαις αἷς ἐχρήσατο κατὰ Ἰουλιανοῦ ὁ θεολόγος μέγας Γρηγόριος καὶ τάδε φησί. τὴν ἀστρονομίαν λέγονται πρῶτον εὑρηκέναι Βαβυλώνιοι διὰ Ζωροάστρου, δεύτερον δὲ ἐδέξαντο οἱ Αἰγύπτιοι. τὴν δὲ μαγείαν εὗρον Μῆδοι, εἶτα Πέρσαι. διαφέρει δὲ μαγεία γοητείας. καὶ ἡ μὲν μαγεία ἐπίκλησίς ἐστιν, ὥς φασι, δαιμόνων ἀγαθοποιῶν πρὸς ἀγαθοῦ τινὸς σύστασιν· γοητεία δέ ἐστι δαιμόνων κακοποιῶν περὶ τοὺς τάφους εἰλουμέ-
P. 130 νων ἐπὶ κακοῦ τινὸς σύστασιν. γοητεία δὲ ἤκουσεν ἀπὸ τῶν γοῶν καὶ τῶν θρήνων τῶν ἐν τοῖς τάφοις γινομένων, μαγεία δὲ ἀπὸ Μαγουσαίων ἤτοι Περσῶν, ὅθεν ἔσχε καὶ τὴν ἀρχήν· Μαγὼς ἐγχωρίως οἱ Πέρσαι λέγονται. ὁ μέντοι μέγας Κύριλλος ἐν τοῖς κατὰ Ἰουλιανοῦ καὶ τάδε γράφων εὕρηται, ὅτι μετὰ ἐνναχόσια ἔτη τοῦ κατακλυσμοῦ τῶν Ἀσσυρίων ἐβασίλευσεν Ἄρβυλος πρῶτος ἐν ἀνθρώποις. οὗτος ἔσχε πρῶτος εἰς ἑαυτὸν τὸ τῆς θεότητος ὄνομα. ἀλλὰ καὶ Νῖνος ὁ ἐκείνου παῖς πρῶτος Ἀσσυρίων ἐπιφανῶς βασιλεῦσαι λέγεται, οὗ ἐπώνυμος ἡ Νινευή, ἧς τὰ τείχη Σεμίραμις μεγαλοφυῶς ἐσκευάσατο.

V. 101 Μετὰ δὲ τὴν πυργοποιίαν, ὡς εἴρηται, διασκεδασθέντες

sti exureretur, id quod votis expetebat ut fieret, ossium suorum reliquias sumerent, easque ad regni excitationem conservarent; cui praedictioni eventus deinde respondit. in historiis illis quibus adversus Iulianum Gregorius ille theologus usus est, haec etiam verba reperiuntur: astronomiam primi Babylonii per Zoroastrum invenisse perhibentur, a quibus eam deinceps Aegyptii acceperint. magia Medorum inventum est, a quibus ad Persas manavit. differt haec a goetia, quod magia sit imploratio, sicut aiunt, beneficorum geniorum ad boni alicuius effectionem, goetia vero maleficorum compellatio geniorum, qui circum sepulcra volutantur, ad mali alicuius effectionem. et goetiae nomen factum est a ploratibus et lamentis, quae consueverunt in sepulcris existere, cum magia dicatur a Magusaeis, hoc est Persis, eiusdem auctoribus. nam Persas Magos appellari lingua ipsis vernacula constat. Cyrillus autem in libris adversus Iulianum scriptis refert post annos a diluvio nongentos Arbylum regem Assyriis imperitasse, qui primus hominum sibi divinitatis appellationem arrogarit. eiusdem filius Ninus primus apud Assyrios regnum illustri ratione administrasse perhibetur, a quo nomen inditum urbi Ninevae, quam Semiramis magnifice moenibus cinxit.

Post turris aedificationem, de qua locuti sumus, homines hinc

ἔνθεν κἀκεῖθεν οἱ ἄνθρωποι πρὸς ἀτόπους πράξεις ἐξεκυλί- B σθησαν, καὶ τελευταῖον πρὸς εἰδωλομανίαν ἀπεπλανήθησαν, ὑπὸ τῶν δαιμόνων αὐτῶν ἀπατηθέντες τουτονὶ τὸν τρόπον οἱ δείλαιοι. ὁ γὰρ ἀπὸ τοῦ Νῶε ὄγδοος Σερούχ τὰ τῶν ἀγαλμάτων ἀρχῆθεν εὕρατο· λέγεται γὰρ οὗτος τοὺς ἔργον οἷον δήποτε λαμπρὸν ἐπιδειξαμένους ἀνδριᾶσι καὶ στήλαις τιμῆσαι. οἱ δὲ μετὰ ταῦτα τὴν τῶν προγόνων ἀγνοήσαντες γνώμην, καὶ ὅτι μνήμης ἕνεκα τοὺς ἀνδριάντας ἔστησαν, κατὰ μικρὸν πλανώμενοι τῇ τοῦ ἀρχεκάκου συνεργείᾳ, ὡς ἀθανάτοις θεοῖς τοῖς ὁμοιοπαθέσι καὶ φθαρτοῖς ἀνθρώποις προσετέθησαν καὶ θυσίας αὐτοῖς ἐπενόησαν, τῶν δαιμόνων τοῖς C ξοάνοις ἐνοικησάντων. ἐντεῦθεν ἄλλοις καὶ ἄλλοις θεοῖς τὸ τῶν ἀνθρώπων γένος ἐλάτρευσεν. Αἰγύπτιοι δὲ μᾶλλον τῶν ἄλλων εἰς ἀθεΐαν ἐξώκειλαν· αἰλούρους γὰρ καὶ πιθήκους ἐσεβάσθησαν, τράγους τε ὁμοίως καὶ βόας καὶ κροκοδείλους. πλέον δὲ τῶν ἄλλων τὸν Ἆπιν ἐσεβάζοντο, βοῦν ὄντα πολύχρουν αὐτόν. ἡνίκα γὰρ ἐγεννήθη τοιοῦτος βοῦς παρ' αὐτοῖς παρὰ τῇ γλώττῃ φέρων καὶ τῇ κέρκῳ σήμαντρα, ὡσαύτως παρὰ τῷ μετώπῳ σελήνης ὥσπερ διχότομον μίμημα, ἐχόρευον φαι- D δρῶς καὶ ἐπανηγύριζον ἅτε θεοῦ καινοπρεποῦς αὐτοῖς ἐνδημήσαντος. καὶ περὶ μὲν τούτων οὕτως.

Ὄγδοος δὲ ἀπὸ τοῦ Νῶε λέγεται εἶναι ὁ Σερούχ· ἃ γὰρ

5. ἀρχῆθεν] ἐκεῖθεν F.

inde dispersi ad facta quaedam absurda exorbitarunt, ac tandem miseri deastrorum cultus errorem amplexi sunt, a malis geniis hoc quodam modo decepti. octavus a Noa Seruchus simulacrorum formandorum rationem invenit. fertur enim homines qui praeclarum aliquod facinus edidissent, statuarum et columnarum honoribus ornasse. verum posteri cum maiorum mentem et consilium ignorarent, neque scirent statuas illas memoriae causa collocatas esse, paulatim principis omnium malorum auctoris impulsu sic colere consimiliter secum adfectos et interitui obnoxios homines coeperunt ac si dii forent immortales; adeoque sacra quaedam eis excogitarunt, ipsis malis geniis intra statuas domicilium collocantibus. hinc factum ut deinceps genus humanum aliis atque aliis diis religiose serviret. ac Aegyptii quidem supra caeteros ad impietatem maximam prolapsi sunt: nam feles simios hircos boves crocodilos coluerunt; atque imprimis bovem illum variis coloribus praeditum, quem Apim vocabant. cum enim bos apud ipsos nascebatur, qui in lingua et cauda notas quasdam referret et in fronte similitudinem lunae dimidiatae imitaretur, perhilariter choreas ductitabant et conventus publicos celebrabant, quasi novus quispiam deus ad ipsos se contulisset. ac de his quidem hactenus.

Recte autem octavus a Noa Seruchus fuisse dicitur. quippe Cai-

Καϊνᾶν γεννᾷ τὸν Σαλᾶ, ὁ Σαλᾶ τὸν Ἔβερ, ὁ Ἔβερ τὸν Φαλέκ, ὁ Φαλὲκ τὸν Ῥαγαῦ, ὁ Ῥαγαῦ τὸν Σερούχ. οὗτος δὲ ὁ Σεροὺχ γεννᾷ τὸν Ναχώρ, ὁ Ναχὼρ τὸν Θάρα, καὶ ὁ Θάρα τὸν θεσπέσιον Ἀβραάμ. ὁ Ἀβραὰμ γεννᾷ τὸν Ἰσαάκ, ὁ Ἰσαὰκ τὸν Ἰακώβ, καὶ ὁ Ἰακὼβ τοὺς δώδεκα πατριάρχας, Ῥουβεὶμ Συμεὼν Λευὶ Ἰούδαν καὶ τοὺς λοιπούς, ἀφ' ὧν αἱ δώδεκα φυλαὶ τοῦ Ἰσραήλ. καὶ τηνικαῦτα μὲν περὶ τοῦ Ἀβραὰμ οὕτως φησὶν Ἰώσηπος, ὅτι κατελθὼν εἰς Αἴγυπτον ἀριθμητικὴν αὐτοῖς ἐχαρίσατο καὶ τὰ περὶ ἀστρονομίας αὐτοῖς παρέδωκε· πρὸ γὰρ τοῦ Ἀβραὰμ τῆς ἐκεῖσε παρουσίας τῶν τοι-
P. 131 ούτων ἀμαθῶς εἶχον Αἰγύπτιοι. ἀπὸ Χαλδαίων οὖν ταῦτα καταπεφοίτηκεν εἰς Αἴγυπτον, κἀκεῖθεν εἰς Ἕλληνας. ὁ δὲ Γεώργιος περὶ τούτου καὶ τάδε. ὁ Ἀβραὰμ ἐτῶν ιδ' ὢν θεογνωσίας ἤρξατο, καὶ πρῶτος τὸν θεὸν δημιουργὸν ἀνεκήρυξεν. ὁρῶν γὰρ οὐρανὸν ποτὲ μὲν λαμπρὸν ποτὲ δὲ ζοφώδη, καθ' ἑαυτὸν ἔλεγεν „εἰ καὶ τιμῶσιν αὐτὸν ἕτεροι, ἀλλ' οὐκ ἔστι θεός." ὁμοίως ἔλεγε τοῦτο κἀπὶ τῷ ἡλίῳ, τῇ σελήνῃ καὶ τοῖς λοιποῖς ἀστράσι· καὶ γὰρ ἀστρονόμος ἄκρος ἦν. ἐφ' ᾧ τοιοῦτον ἰδὼν ὁ θεὸς ἐκάλεσεν. ἀλλὰ καὶ ἐπὶ
B Ἀβιμέλεχ φησὶ κατελθεῖν αὐτὸν εἰς Αἴγυπτον διὰ τὸν λιμόν, καὶ τοὺς ἐκεῖσε τότε καταισχῦναι σοφοὺς καὶ εἱμαρμένην δοξάζοντας. μετὰ γὰρ τὴν θεογνωσίαν οὐκέτι προσέχειν ἀστράσιν ἤθελε, καὶ ἦν ἰδεῖν ἐπ' αὐτῷ πεπληρωμένον τὸ τοῦ ἀπο-

21. καὶ εἰ.] γένεσιν καί?

nanis filius fuit Sala, qui Heberum procreavit, Heberus Phalecum, Phalecus Ragauum, Ragauus Seruchum, Seruchus Nachorem, Nachor Tharam, Thara divinum hominem Abrahamum, Abrahamus Isaacum, Isaacus Iacobum, Iacobus duodecim familiarum principes, Rubenum, Symeonem, Levium, Iudam, caeteros, a quibus ortae sunt duodecim tribus Israelicae. de Abrahamo Iosephus memoriae prodidit eum in Aegyptum itinere suscepto numerorum sidereorumque motuum doctrinam cum Aegyptiis communicasse, qui ante Abrahami adventum nihil horum cognitum habuerint. ab Aegyptiis deinceps ad Graecos manasse. Georgius autem haec de Abrahamo tradit, natum scilicet annos 14 agnoscere deum coepisse, ac primum omnium clara voce deum rerum opificem praedicasse. cum enim coelum modo serenum modo nubilum cerneret, secum ipse ratiocinabatur, etiamsi ab aliis pro deo coleretur, esse tamen deum haudquaquam posse. idem de sole, de luna, de sideribus reliquis statuebat, ut qui esset insignis astronomus; cumque talis foret, a deo vocabatur. addit eum Abimelecho imperante famis causa in Aegyptum descendisse, ac sapientes Aegyptios, qui opiniones de natalitio sidere ac fato amplecterentur, pu-

στόλου ῥητὸν τὸ λέγον „τὰ γὰρ ἀόρατα αὐτοῦ ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα καθορᾶται·" τὸν γὰρ ποιητὴν θεὸν ἐκ τῶν ποιημάτων ὁ θειότατος κατέλαβεν Ἀβραάμ. κατὰ τοῦτο καὶ ὁ Πλούταρχος ἔλεγεν „ἔλαβον δὲ ἔννοιαν θεοῦ· ἀεί τε γὰρ ἥλιος καὶ σελήνη καὶ τὰ λοιπὰ τῶν ἄστρων τὴν ὑπόγειον ἐνεχθέντα ὅμοια μὲν ἀνατέλλει τοῖς χρώμασιν ἴσα δὲ τοῖς μεγέθεσι, καὶ κατὰ τόπους τοὺς αὐτούς."

Μέγας ὄντως ὁ Ἀβραάμ. τοῦ γὰρ θεοῦ ἀκούσας λέγοντος C „ἔξελθε ἐκ τῆς γῆς σου καὶ ἐκ τῆς γῆς συγγενείας σου, V. 102 καὶ δεῦρο εἰς γῆν ἣν ἂν δείξω σοι" εὐθέως ἠκολούθει, τῶν ἐν μέσῳ δυσχερῶν καταφρονῶν, καὶ μηδὲ εἰδὼς ὅπου πορεύεται. ἡμεῖς δὲ καλοῦντος καθ' ἑκάστην ἀκούοντες τοῦ κυρίου οὔτε τῶν γηΐνων ἐκστῆναι θέλομεν, οὔτε πρὸς τὴν γῆν ἐκείνην τὴν ἐπηγγελμένην ἔρχεσθαι. ἀλλὰ καὶ τὴν ταπείνωσιν θαυμάζων ὁ χρυσορρήμων Ἰωάννης καὶ τάδε φησίν „ἀληθὴς ταπείνωσις, ὅτε τις ἑτέρῳ παραχωρεῖ τῶν πρωτείων, καθὰ δὴ καὶ Ἀβραὰμ ποιεῖ, ἵνα δὲ μὴ διαδικάζηται μετὰ τοῦ Λὼτ καὶ τῶν ποιμένων αὐτοῦ· ἐφ' ᾧ καὶ ὁ μὲν Λὼτ τὴν κρείττονα γῆν ἔλαβε, τὰ Σόδομα δηλαδή, ὁ δὲ D Ἀβραὰμ κατῴκησε παρὰ τὴν δρῦν τὴν Μαμβρῆν. ὅρα δὲ καὶ τὰς θείας ἀμοιβάς. εἶπε γὰρ πρὸς Ἀβραὰμ ὁ θεὸς ὅτι

dore adfectos vicisse: nam posteaquam ad agnitionem dei pervenerat, non iam astris amplius intentus erat. nimirum habebat in eo locum illud apostoli verbum (Rom. 1 20) „quae dei sunt inadspectabilia, ea ex mundi creatione, dum considerantur per opera, perspiciuntur." ex ipsis operibus deum auctorem vir hic divinus percepit. in eandem sententiam et Plutarchus inquit „dei notionem quandam sum consecutus. nam semper sol et luna reliquaque sidera sub terram delata consimilibus vicissim coloribus praedita exoriuntur, et magnitudines easdem eademque loca retinent."

Magnus reapse vir fuit Abrahamus. cum enim deum (Gen. 12 1) dicentem audivisset „emigrato ex tua terra tuaque cognatione, ac illam in terram proficiscitor quam tibi monstravero," mox obtemperabat, difficultatibus omnibus quae interiicere se poterant neglectis, cum ne sciret quidem quonam abeundum foret. nos autem deum cottidie vocantem audientes nec terrena deserere volumus, nec ad terram illam promissam contendere. quinetiam ipsius humilitatem Chrysostomus admirans his verbis utitur: vera istaec est humilitas, cum quis alteri partes priores cedit, quemadmodum fecit Abrahamus, ne cum Loto eiusque pastoribus litigaret. quo factum ut Lotus fertiliori terra Sodomorum potiretur, cum Abrahamus ad quercum Mambrae migraret. atque heic vide quas ei vices deus referat. quamcunque,

πᾶσαν τὴν γῆν ἣν σὺ ὁρᾷς ἀπὸ τοῦ τόπου τούτου, σοὶ δώσω αὐτὴν καὶ τῷ σπέρματί σου ἕως αἰῶνος. ἡ δὲ κρείττων ἐκείνη γῆ ἣν ἔλαβε Λώτ, ἡ παραδείσου μηδὲν διαφέρουσα, οὐκ εἰς καλὸν ἀπέβη τῷ λαβόντι αὐτήν· αἰχμάλωτος γὰρ μετὰ μικρὸν ἀπήγετο ὑπὸ τῶν κατ' αὐτοῦ στρατευσάντων πέντε βασιλέων. ἀλλ' ὁ θεῖος αὐτὸν ῥύεται Ἀβραὰμ μετὰ τῶν τριακοσίων δέκα καὶ ὀκτὼ οἰκογενῶν αὐτοῦ ἐπελθὼν καὶ κα-
P. 132 τακόψας αὐτούς. καὶ τοῦτό ἐστιν ὅπερ ὁ Παῦλός φησιν, ὅτι ὑποστρέφοντα τὸν Ἀβραὰμ ἐκ τῆς κοπῆς τῶν βασιλέων ἄρτῳ καὶ οἴνῳ δεξιοῦται ὁ Μελχισεδέκ, κἀκεῖνος ἀφ' ὧν ἐπεφέρετο λαφύρων δέδωκε δεκάτας αὐτῷ. πρόσεχε λοιπόν. καὶ ἡμᾶς γὰρ ὑποστρέφοντας ἀπὸ τοῦ νοητοῦ πολέμου ἄρτῳ καὶ οἴνῳ δεξιοῦται ὁ Μελχισεδὲκ ὄντως, τῷ σώματι καὶ αἵματι δηλονότι αὐτοῦ. εἰ δὲ τοῦτο, κατὰ τὸν Ἀβραὰμ πάντως ὀφείλομεν καὶ ἡμεῖς τὰς δέκα ἡμῶν αἰσθήσεις ἀντὶ δεκατῶν προσάγειν αὐτῷ, τῆς ψυχῆς δηλαδὴ καὶ τοῦ σώματος.

B Ὁ μὲν οὖν Ἀβραὰμ καθήμενος παρὰ τῇ δρυῒ τῇ Μαμβρῇ πάντας ἐφιλοξένει τοὺς παροδεύοντας, πιστοὺς ὁμοῦ καὶ ἀπίστους, κατὰ μηδὲν ἐπὶ τούτοις διακρινόμενος· καὶ τοσοῦτον ἁπλῶς φιλόξενος ἦν ὡς καὶ αὐτὴν τὴν ἁγίαν τριάδα κατελθεῖν ἐπὶ τῆς σκηνῆς αὐτοῦ καὶ τῶν παρατεθέντων αὐτῇ περιχαρῶς ἐμφορηθῆναι. οὐ χρὴ θαυμάζειν. ἀγγέλους ἐσθίοντας ἀκούεις παρὰ τῇ γραφῇ· ἐνεργείᾳ καὶ γὰρ ἀοράτῳ

ait, terram ex hoc loco conspicis, omnem tibi ego dabo et tuo semini in sempiternum. e diverso fertilior illa terra quam Lotus accepit, paradiso non cedentem, parum ei profuit. nam haud longo post intervallo a quinque regibus, qui expeditionem in haec loca susceperant, captivus abducitur. quanquam divinus vir Abrahamus cum 318 domi suae natis hostes adortus iisdem caesis Lotum liberat. atque hoc illud est, quod Paulus ait (Hebr. 7 10), Abrahamum revertentem a caede regum pane ac vino exceptum a Melchisedeco fuisse, cui spoliorum secum allatorum decumas vicissim obtulerit. haec mihi verba diligenter considerato. etenim nos etiam revertentes ab intellectili bello verus ille Melchisedecus pane ac vino excipit, nimirum corpore sanguineque suo. quod cum ita sit, omnino Abrahami nos etiam exemplo decem nostros sensus, animi nimirum et corporis loco decumarum offerre debemus.

Idem Abrahamus ad quercum Mambrae considens hospitio cunctos iter istac facientes, fideles pariter ac infideles, citra discrimen excipere solebat; et usque adeo erat hospitalis, ut ipsa etiam sacrosancta trinitas eius tabernaculum sit ingressa hilariterque cibis appositis satiata. quod quidem minime tibi mirum videri debet. nam et

κατηνάλωσαν τὰ παρακείμενα, προσποιήσει τοῦ φαγεῖν. ἀλλὰ καὶ Θεοδώρητος οὕτω φησίν „οὔτε τῇ φύσει ἄνδρες ἦσαν, ἀλλ' ἐδόκουν εἶναι, οὔτε ἔφαγον ὡς ἄνθρωποι, ἀλλ' ἐδόκουν C ἐσθίειν τῇ ὄψει τῶν ὁρώντων, ἀναλισκομένων τῶν προτιθεμένων κατὰ θείαν ἐνέργειαν." εἰ δὲ καὶ λέγει ἡ γραφὴ ὅτι παρέθηκεν αὐτοῖς καὶ ἔφαγον, καινὸν οὐδέν· ἴσως γὰρ τὸ ἀνηλῶσθαι αὐτοὺς φαγεῖν εἶπεν ἡ γραφή. καὶ τρεῖς μὲν ἐν τῇ σκηνῇ φαίνονται ἄνδρες, καθάπερ ὁ χρυσοῦς τὴν γλῶτταν φησί, δύο δὲ ἐπὶ Σόδομα παραγίνονται. ἐκεῖ μὲν γὰρ καὶ οἱ ἄγγελοι καὶ ὁ τούτων δεσπότης κατὰ ταὐτὸν ὤφθησαν. ἀλλ' οἱ μὲν ὡς ὑπηρέται ἀπεστέλλοντο, ὁ δὲ ἔμεινε καθάπερ φίλος φίλῳ μονονουχὶ κοινολογούμενος τῷ δικαίῳ ἅπερ ἔμελλε ποιεῖν· „οὐ μὴ" γάρ φησι „κρύψω ἀπὸ Ἀβραὰμ τοῦ παιδός μου ἃ μέλλω ποιῆσαι." Κύριλλος δὲ ὁ μέγας περὶ D τούτων οὕτω. „καὶ τρεῖς μὲν ἐν ἀρχῇ τῷ Ἀβραὰμ προσέβαλον ἐν τῇ δρυῒ τῇ Μαμβρῇ, δύο δὲ τοῖς Σοδόμοις ἐπεφοίτησαν. οὐδὲ γὰρ ὁ πατὴρ κρινεῖ οὐδένα, πᾶσαν δὲ τὴν κρί- V. 103 σιν δέδωκε τῷ υἱῷ, κατὰ τὴν φωνὴν αὐτοῦ τοῦ κυρίου, συνόντος φυσικῶς καὶ τοῦ ἁγίου πνεύματος." ὅτι δὲ ὁ υἱὸς καὶ τὸ πνεῦμα ἐπὶ Σόδομα ἐπορεύοντο, καὶ ἡ τοῦ Ἀβραὰμ ξενία σαφῶς παριστᾷ, καθάπερ ὁ μέγας φησὶν Ἀθανάσιος. εἰ μὴ γὰρ ὁ υἱὸς καὶ τὸ πνεῦμα ἦσαν, οὐκ ἂν τῷ θεῷ καὶ

angelos sacris in litteris comedisse audis. etenim vi quadam inadspectabili apposita sub eo praetextu absumebant, quasi eis vescerentur. et Theodoritus ait hos neque natura fuisse homines, sed hanc prae se tulisse speciem; nec ut homines comedisse, quippe qui oculis intuentum comedere viderentur, cum interim divina quadam vi appositos cibos absumerent. iam quod ita litterae sacrae loquantur quasi apposita comederint, nihil est novum. nam par est credere vocari manducationem ipsam ciborum absumptionem. tres quoque viri conspecti sunt in tabernaculo, ut Chrysostomi verbis utamur, cum duo tantum Sodoma venerint. nam istic quidem conspecti sunt et angeli simul et eorum dominus: heic vero illi tanquam ministri ablegantur, manente apud Abrahamum domino, et tantum non in morem amici cum amico, viro iustissimo, de iis quae facturus erat disserente. egone, inquit (Gen. 18 17), ut Abrahamum famulum meum celem de iis quae sum facturus? aliter hac de re Cyrillus loquitur. tres, ait, apud quercum Mambrae Abrahamum convenerunt, cum Sodoma duo tantum pervenerint. pater enim non iudicat quenquam, ceu dominus ipse loquitur (Ioh. 5 22), sed omne iudicium filio concessit, cui spiritus etiam sanctus naturaliter adest. et filium cum spiritu Sodoma se recepisse, satis intelligi de hospitali exceptione Abra-

πατρὶ συνεκάθηντο. ὅτι δὲ συνεκάθηντο, δῆλον ἐκ τοῦ περὶ τούτων οὕτω λέγειν „οἳ ἐξανέστησαν ἐπιβλέψαντες ἐπὶ P. 133 *πρόσωπον Σοδόμων." εἰ οὖν ἐξανέστησαν, πάντως καὶ συνεκάθηντο. εἰ δὲ ὁ υἱὸς ἐκ δεξιῶν κάθηται, λείπεται πάντως ἐξ εὐωνύμων τὸ πνεῦμα καθῆσθαι. ναί, εἴγε περιγραπτὸς ἦν ὁ πατήρ· ἄλλως γὰρ παρ' αὐτῷ οὐκ ἔστιν ἀριστερὰ καὶ δεξιά. τοῦ υἱοῦ τοίνυν συγκαθημένου συγκάθηται καὶ τὸ πνεῦμα, ἐπεὶ ἐν αὐτῷ μένει, τῷ υἱῷ δηλαδή. τοιούτου δὲ κατηξίωσεν ἀγαθοῦ τῷ Ἀβραὰμ ἡ φιλοξενία, ὥς καὶ τὴν ἁγίαν τριάδα κατελθεῖν ἐπ' αὐτὸν καὶ καρπὸν αὐτῷ κοιλίας χαρίσασθαι κατά γε τὸν τοῦ γήρους καιρόν· τοσοῦτον γὰρ ἦν ἡ Σάρρα προβεβηκυῖα ὥστε καὶ γελάσαι αὐτὴν περὶ τούτου ἀκούσασαν.*

B *Μετὰ δὲ ταῦτα προφάσει τῇ τοῦ λιμοῦ μετανάστης ὁ Ἀβραὰμ γίνεται, κἀκεῖθεν ἐν Γεράροις ἔρχεται, πρὸς Αἴγυπτον ἀφικνεῖται, καὶ αὖθις ἀφαιρεῖται τὴν Σάρραν καὶ παρὰ τοῦ Ἀβιμέλεχ· ἤθελε γὰρ αὐτὴν εὐπρεπεστάτην οὖσαν πρὸς γάμου κοινωνίαν λαβεῖν, εἴγε καὶ μᾶλλον ἀδελφὴ τοῦ Ἀβραὰμ ἐλέγετο εἶναι. εἰ γὰρ ἀνεψιάν φησι τὴν Σάρραν ὁ Ἰώσηπος τοῦ Ἀβραάμ, ἀλλὰ κατὰ τὴν Μωσαϊκὴν ἱστορίαν ἐκ μητρὸς μὲν τῆς αὐτῆς, ἐξ ἄλλου δὲ καὶ ἄλλου πατρός.*

8. τοσούτου? 9. τῷ] τόν?

hami posse magnus etiam Athanasius ille tradit. nam nisi filius atque spiritus fuissent, deo non adsedissent. consedisse autem cum deo perspicuum ex hisce verbis est „tum illi consurrexerunt et ad Sodoma se converterunt." quodsi una consurrexerunt, etiam una sederunt; et si filius a dextris sedet, restat omnino spiritum a sinistris considere. quod quidem valet, si loco pater circumscribatur. nam caeteroqui apud ipsum nec dextra est nec sinistra. igitur adsidente filio spiritus etiam una sedet, cum in filio maneat. haec autem hospitalitas Abrahamo tantum boni peperit, ceu diximus, ut ipsa etiam sacrosancta trinitas eum inviserit et in senecta sobolem ei sit largita. Sarra quidem aetate tam provecta erat ut hanc promitti audiens rideret.

Secundum haec Abrahamus ob causam famis solum vertit ac Gerara proficiscitur. hinc denuo se in Aegyptum confert, ubi Sarram ei coniugem Abimelechus adimit. cupiebat enim illam forma venustissima praeditam sibi matrimonio iungere, praesertim quod esse soror Abrahami perhiberetur. quanquam enim Iosephus adserit Sarram fuisse consobrinam Abrahami, sciendum tamen est ex narratione Mosaica fuisse tum coniugem ipsius tum sororem, ut quae matre quidem eadem, diverso vero patre nata esset. itaque occultato uno, ne tanquam vir mulieris e medio tolleretur, alterum fatetur, sororem vide-

κρύπτων οὖν τὸ ἕν, ἵνα μὴ φονευθῇ δῆθεν ὡς ἀνὴρ αὐτῆς, τὸ ἕτερον ἔλεγεν, ὅτι ἀδελφή μου ἐστίν. μεγαλόψυχος ὄντως ὁ Ἀβραάμ. δὶς γὰρ εἰς Αἴγυπτον προφάσει τοῦ λιμοῦ C κατελθὼν καὶ δὶς τὴν Σάρραν ἀφαιρεθείς, παρά τε τοῦ Φαραὼ καὶ παρ' αὐτοῦ ὕστερον τοῦ Ἀβιμέλεχ, γενναίως ἔφερε τὴν ἀφαίρεσιν· ἀκολουθεῖν γὰρ καθάπαξ κρίνας θεῷ, πολυπραγμονεῖν οὐκ ἤθελε τὰς ἀρρήτους οἰκονομίας αὐτοῦ. ἐφ' ᾧ καὶ κατόπιν αἱ θεῖαι ἠκολούθησαν αὐτῷ ἀμοιβαί.

Τοὺς μέντοι Σοδομίτας ἡ κακίστη ἐκείνη συνήθεια ἐν ἀγγέλοις αὐτοῖς ἔπεισε τὴν ἀσέλγειαν ἐπιδεῖξασθαι, ὅθεν καὶ ἀσβέστου πυρὸς ἔργον γεγόνασι. τὰ γὰρ Σόδομα ἐκεῖνα περικαλλῆ μὲν ἑστῶτα, τέφρα δὲ τῇ ἀληθείᾳ ὄντα (καὶ αὐτὸς γὰρ ὁ ἀὴρ σὺν τοῖς ὕδασιν ἐκπυροῦται) τεκμήριον ὅτι σαφὲς D τοῦ διαιωνίζειν ἐκεῖσε τὴν κόλασιν. ταῦτα δὲ περὶ Παλαιστίνην, Ἀσκάλωνος καὶ Γάζης ἄνωθεν, περὶ τὸ τοῦ Ἰορδάνου τέλος, οὐδὲν ἀπεοικότα τότε τοῦ παραδείσου. ὁ γοῦν ἀπιστῶν τῇ γεέννῃ ἀναλογιζέσθω τὰ Σόδομα, καὶ οὕτω τὴν ἀδδηφαγίαν φευγέτω· τοιαῦτα γὰρ εἴωθεν αὕτη πάθη γεννᾶν. κατὰ τοῦτο καὶ ὁ Μωσῆς ἔλεγεν τῷ Ἰσραὴλ „φαγὼν καὶ πιὼν πρόσεχε σεαυτῷ, μήποτε ἐπιλήσῃ κυρίου τοῦ θεοῦ σου." ἀλλὰ καὶ ὁ τὴν ἰατρικὴν τέχνην ἄριστος Γαληνὸς τῶν τοιούτων παθῶν αἰτίαν αὐτὴν δείκνυσι τὴν τρυφήν, 'κατὰ

licet suam esse. magno certe praeditus animo fuit Abrahamus. nam ob famem bis in Aegyptum profectus, uxore bis spoliatus, semel a Pharaone, iterum ab Abimelecho, generoso nihilominus animo hanc ademptionem pertulit. quippe cum semel obtemperandum esse deo decrevisset, in consiliis administrationis eius ineffabilibus perquirendis curiosus esse noluit. propterea vicissim suis eum beneficiis deus ornavit.

Caeterum Sodomitis consuetudo vivendi flagitiosissima persuasit ut etiam in angelos ipsos exercere protervíam suam vellent; quamobrem inextincto igne sunt puniti. nam Sodoma illa quondam pulcerrima, cum adhuc starent, nunc reapse nihil sunt aliud quam cinis. aër enim ipse cum aquis inflammatur, argumentum illustre de perpetuis eorum suppliciis. sita sunt autem in Palaestina, haud procul a Gaza et Ascalone, ad amnis Iordanis ostia. tum quidem temporis ab ipso paradiso non differebant. quodsi quis gehennae parum adhibet fidei, secum ipse de Sodomis cogitet, atque hoc modo luxum omnem fugiat: nam is huiusmodi flagitia gignere consuevit. iccirco Moses Israelitis praecipit (Deuter. 6 13) „ubi comederis ac biberis, caveto ne forte domini dei tui obliviscaris." etiam praestantissimus ille medicorum Galenus voluptatem ac delicias ostendit esse huiusmo-

τὴν ἡμετέραν λέγων Μυσίαν τὴν ὅμορον Περγάμου σπανίως ἄν τις εὕρῃ γυναῖκα μοιχευομένην, ἔτι δὲ ἄνδρας ἀσελγεῖς P. 134 ἀπορρήτοις ἀφροδισίοις ᾠκειωμένους, ἀλλ' ἐν Ῥώμῃ διὰ τὴν ἐπιπολάζουσάν τε καὶ συνήθη τρυφὴν καὶ ῥᾴδια ταῦτα. εἰ δέ, καθά φησι Πτολεμαῖος ὅτι διὰ τὸ οἰκειοῦσθαί τινας πρὸς V. 104 τὸ τοῦ ζωδιακοῦ πρῶτον τρίγωνον, τὸν κριὸν δηλαδή, τὸν λέοντα καὶ τὸν τοξότην, διὰ τοῦτο ἄδεσμά τινα πράττουσι, καὶ νομίζουσι μηδέν τι ποιεῖν ἀποτρόπαιον ἅτε ὑπὸ ζώδια ὄντες τὰ μὲν ἔμπροσθεν ἀρρενούμενα τὰ δὲ ὄπισθεν θηλυνόμενα, ἆρα μὴ ἄδικος ὁ θεὸς ὁ διὰ πυρὸς ἐκτεφρώσας τὰ Σόδομα; ἀλλ' οὐκ ἄν ποτε ὁ δίκαιος ἄδικος. ἐν πλησμονῇ B γὰρ ἄρτων οἱ τοιοῦτοι κατὰ τὴν γραφὴν σπαταλῶντες, οὐ μὴν ὑπὸ τρίγωνον τοιοῦτον ὄντες, κἀντεῦθεν εἰς ἀθέσμους κοίτας ἐγκυλισθέντες, πυρὸς εἰκότως γεγόνασι παρανάλωμα. οὐκοῦν ἐντεῦθεν μανθάνομεν ὅτι κατ' ἐκείνην τὴν ἡμέραν οἱ δίκαιοι, καθάπερ ἐνταῦθα Νῶέ τε καὶ Λώτ, τῶν βασάνων ἀνώτεροι εὑρεθήσονται, οἱ δὲ ἁμαρτωλοὶ κἂν ἅπας εἶεν ὁ κόσμος, σχεδὸν αἰωνίοις ὑποπεσοῦνται κολάσεσι, καθάπερ ἐνταῦθα κατακλυσμῷ καὶ πυρὶ παρεδόθησαν ἅπαντες οἱ τὰ χείριστα πράττοντες.

Ὁ μέντοι Ἀβραὰμ Ἀβρὰμ ἐκαλεῖτο τὸ πρότερον, ὃ λέγεται περάτης· θείᾳ γάρ, ὡς ἔοικεν, ἡ μήτηρ αὐτοῦ προμη-

di scelerum causam, cum ait, in Mysia nostra, quae Pergamo finitima est, raro quis feminam adulterii facinore se obstringentem reperiat, et rarius etiam protervos homines, qui dediti sint iis amoribus, quorum ne nomen quidem aperiendum est. at Romae propter abundantiam deliciarum, quae istic minime sunt insolentes, proclive est huiusmodi patrare. quodsi de sententia Ptolemaei quidam propterea quod eorum natura primo Zodiaci trigono cognata sit, quo aries leo sagittarius continentur, nefanda quaedam committunt, et abominabile tamen omnino nihil designare se putant, ut qui signis subiecti sint ab antica parte masculis a postica femineis, iniustus est deus, qui Sodoma per ignem in cineres redegit. at fieri nequit unquam ut iustus ille sit iniustus. nimirum eiusmodi homines in saturitate panum, quemadmodum litterae sacrae loquuntur, salaciter luxuriando, non quod tali vel trigono subiecti essent, ad concubitus nefandos devoluti et ab igne sunt absumpti. atque hinc discimus etiam in illa iudicii die futurum ut iusti poenas et tormenta effugiant, Noae ac Loti exemplo, cum peccatores, etiamsi totus propemodum mundus eiusmodi fuerit, aeternis suppliciis sint mancipandi, quemadmodum heic omnes facinorosi diluvio et igni puniti sunt.

Caeterum Abrahamus initio nomen Abrami habebat, ut sacris est in litteris, inditum sibi matris quadam praesagitione, ceu credi par

θεία οὕτως αὐτὸν ἐπωνόμασεν, ἐπεὶ περᾶσαι τὸν Εὐφράτην C
ἔμελλε καὶ εἰς Παλαιστίνην οἰκῆσαι. ἐτῶν δὲ ἦν ἑβδομή-
κοντα πέντε ὁ Ἀβραάμ, ὅτε τὰς ἐπαγγελίας ἐδέχετο. γεννᾷ
δὲ τὸν Ἰσμαὴλ ἐτῶν ὢν πς΄. ἡνίκα δὲ γέγονεν ἐτῶν ϟθ΄,
ὤφθη αὐτῷ ὁ θεὸς λέγων „ἐγώ εἰμι ὁ θεός." τότε λοιπὸν
περιτέμνεται καὶ ὁ δίκαιος, κανὼν ὥσπερ τοῖς πᾶσι προκεί-
μενος. ὅτι δὲ ἡ τῶν κατὰ πόλιν δικαίων παρρησία τῆς τοῦ
θεοῦ μακροθυμίας πρόξενος ἡμῖν ἐστίν, ἐξ αὐτῆς μάνθανε
τῆς περὶ τὰ Σόδομα ἱστορίας· „ἐὰν δέκα" γάρ φησι „δικαί-
ους εὕρω, οὐ μὴ ἀπολέσω τὰς πόλεις." πολλάκις δὲ καὶ διὰ D
τὴν τῶν τετελευτηκότων ἀρετὴν ἢ καὶ αὐτὴν τὴν οἰκείαν μα-
κροθυμίαν κήδεται τῶν ζώντων, καὶ βοᾷ λέγων „ὑπερα-
σπιῶ τῆς πόλεως ταύτης δι' ἐμὲ καὶ διὰ Δαβὶδ τὸν παῖδά
μου."

Πῶς δὲ πιστὸς ὀνομάζεται ὁ Ἀβραὰμ εἰρηκὼς τῷ θεῷ
„κατὰ τί γνώσομαι τοῦτο, ὅτι κληρονομήσω αὐτήν;" τὴν
Παλαιστίνην δηλαδή. τὸ κατὰ τί οὐκ ἀπιστοῦντός ἐστιν,
ἀλλὰ μαθεῖν ποθοῦντος τῆς κληρονομίας τὸν τρόπον. ἔθνη
καὶ γὰρ μυρία τῷ τότε τὴν Παλαιστίνην κατῴκουν. καὶ τού-
του χάριν ἔφη ὁ θεὸς μετὰ τὴν θυσίαν „γινώσκων γνώσῃ ὅτι
πάροικον ἔσται τὸ σπέρμα σου ἐν γῇ οὐκ ἰδίᾳ, καὶ κακώ-
σουσιν αὐτοὺς ἔτη υ΄, τετάρτῃ δὲ γενεᾷ ἀποστραφήσονται P. 135

est, quod Euphratem traiecturus ac in Palaestinam migraturus esset. cum acciperet divina promissa, natus erat annos 75. Ismaelum anno aetatis 86 procreavit. cum annum 99 ageret, apparuit ei deus, et his verbis usus est (Gen. 17 1) „ego sum deus ille tuus." quo facto iustus hic vir et omnibus instar regulae cuiusdam propositus circumciditur. ac iustorum quidem hominum, qui alicubi sunt per urbes, libertatem nobis dei prolixam mansuetudinem parere, licet ex hac ipsa de Sodomis historia cognoscas. si decem, inquit deus (Gen. 18 32), iustos homines reperero, haec oppida non evertam. saepenumero etiam propter illorum virtutem, qui iam vita functi sunt, vel ex mera sua tolerantia vivos cura sua complectitur, ut cum ait „propugnabo hanc urbem propter me ac propter ministrum meum Davidem."

Quo autem pacto fidelis appellatur Abrahamus, qui tamen deo dixit (4 Reg. 20) „unde cognoscam futurum ut terram hanc possideam?" nimirum Palaestinam. vox istaec „unde" non diffidentis est, sed modum quo possessionem aditurus esset cognoscere gestientis. nam id temporis vel sexcentae nationes Palaestinam inhabitabant. propterea post sacrificium deus inquit „omnino scito posteros tuos futuros esse peregrinos in terra extraneorum, qui eos annis 400 graviter

ὧδε· οὔπω γὰρ ἀναπεπλήρωνται αἱ ἁμαρτίαι τῶν Ἀμορραίων ἕως τοῦ νῦν." οὐδέπω, φησίν, ἄξια πανωλεθρίας δεδράκασιν. ἄλλως τε καί τινες ἦσαν ἐκεῖσε εὐσεβεῖς· καὶ δῆλον ἔκ τε τοῦ Μελχισεδὲκ καὶ τοῦ Ἀβιμέλεχ. καὶ περὶ μὲν τούτων οὕτως.

5. post οὕτως codex Claromontanus: ὁ δὲ Ἀβραὰμ μετὰ τῆς Σάρρας ἐγέννησε τὸν Ἰσαὰκ καὶ μετὰ τῆς Ἄγαρ τὸν Ἰσμαήλ, ὁ δὲ Ἰσαὰκ μετὰ τῆς Ῥεβέκας τὸν Ἡσαῦ καὶ τὸν Ἰακώβ, ὃς διὰ τοῦ Ἡσαῦ τὴν ἀπειλὴν μετῴκησε πρὸς τὸν Λάβαν τὸν πρὸς μητρὸς αὐτοῦ θεῖον, οὗ καὶ τὰς θυγατέρας τὴν Λείαν καὶ τὴν Ῥαχὴλ ἔλαβεν εἰς γυναῖκας. οὗτος οὖν ὁ Ἰακὼβ ἐγέννησε τοὺς δώδεκα πατριάρχας ἤτοι τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ.

Ἰστέον ὅτι μετὰ τὸ ξενισθῆναι τοὺς τρεῖς ἄνδρας παρὰ τοῦ Ἀβραὰμ κατέλαβον οἱ δύο εἰς τὴν τῶν Σοδόμων κατάπρησιν, οἳ καὶ πρὸς τὴν τοῦ Λὼτ κατοικίαν κατήντησαν. ὅπερ οἱ ἀσελγεῖς Σοδομῖται μαθόντες ἐκεῖσε κατέλαβον ἐκζητοῦντες τοὺς ξένους πρὸς τὸ τὴν ἀθεμιτοπραξίαν πληρῶσαι αὐτῶν. ὁ δὲ Λὼτ τούτοις εἰς ἄκρον ἀπήντα· βιαζόμενος δὲ πολλὰ παρ' αὐτῶν ἐξέδοτο τὴν θυγατέρα αὐτοῦ πρὸς τὴν μιαρὰν ἐκείνην παράχρησιν, μόνον μὴ εἰς τοὺς ξένους τοιοῦτον αἰσχρόν τι γενήσεται. οἱ δὲ ἀσελγεῖς οὐκ ἐπείθοντο, ζητοῦντες δὲ τοὺς ξένους ἆραι βιαίως μετὰ τοῦ Λὼτ κατεμάχοντο. οἱ δὲ ξένοι τὰς θύρας τοῦ πυλῶνος ἀνοίξαντες καὶ φανέντες τούτοις μόνον πυρὶ τοὺς πάντας ἐνέπρησαν. ἐκπλαγεὶς δὲ ὁ Λὼτ ἐπὶ τὸ γεγονός, καὶ πεσὼν ἐπὶ πρόσωπον, παρεκάλει αὐτοὺς μαθεῖν τίνες εἰσίν. οἱ δὲ πρὸς αὐτόν „ἔπαρον τοὺς μετὰ σὲ ἅπαντας, καὶ ἔξελθε ἐκ τοῦ τόπου τούτου· αὔριον γὰρ οἱ πάντες κατακαυθήσονται, καὶ ὁ τόπος ἐκλικμισθήσεται καὶ ἀφανισθήσεται διὰ τὰς τῶν κατοίκων μιαρὰς ἀσελγείας." ὃ καὶ ταχέως ποιήσας ὁ Λὼτ πρὸς τὸ Σιγὼρ ὄρος ἐξέφυγε. κατόπισθεν δὲ βρέξας τὸ πῦρ ὁ κύριος, κατεκαύθησαν ἅπαντες κατὰ τὴν τῶν ἀγγέλων πρόρρησιν. ἡ δὲ γυνὴ τοῦ Λώτ, οἷα γυνὴ οὖσα καὶ πρὸς τὴν πρόσταξιν τῶν ἀγγέλων μὴ δειλιάσασα, καὶ στραφεῖσα τὸ γεγονὸς ἰδεῖν, εὐθὺς ἀπελιθώθη καὶ ὡς στήλη ἐγεγόνει ἁλός. αἱ δὲ θυγατέρες τοῦ Λὼτ νομίσασαι ὅτι ὁ κόσμος ἅπας ἤδη ἀπώλετο καὶ σπέρμα ταύταις οὐκέτι γενήσεται, ἐμέθυσαν τὸν πατέρα αὐτῶν οἴνῳ, καὶ συνουσιάσθη αὐταῖς, μὴ εἰδὼς ἐκ τῆς μέθης τὸ γεγονὸς παρ' αὐτοῦ. τοῦτο γοῦν γνωρίσας ἐξ αὐτοῦ ὁ θεῖος αὐτοῦ Ἀβραὰμ καὶ λυπηθεὶς ἐξαπέστειλεν αὐτὸν εἰς τὰ μέρη τοῦ ποταμοῦ Νείλου, ἐπαίρειν ἐξ αὐτοῦ ὡς δῆθεν δαλοὺς τρεῖς, τῇ δ' ἀληθείᾳ ἵνα θηριόβρωτος γένηται, καὶ ἐξιλεώσας τὸ ἁμάρτημα. ὁ δὲ Λὼτ ταχυδρομήσας οἰκονομίᾳ θεοῦ προσήνεγκε τῷ Ἀβραὰμ δαλοὺς τρεῖς, ἤγουν ἐκ κυπαρίσσου, ἐκ πεύκης καὶ ἐκ κέδρου. καὶ θαυμάσας ὁ Ἀβραὰμ ὅτι διεσώθη ἐκ τῶν θηρίων

adflicturi sint. quarto autem saeculo huc redibunt: nondum enim ad summum pervenit Amorrhaeorum improbitas."nondum, inquit, extremum interitum flagitiis suis promeruerunt, et erant praeterea quidam inter ipsos religiosi, quemadmodum colligi de Melchisedeci et Abimelechi exemplis potest. ac de his quidem in hunc modum dictum esto.

Ὁ δὲ Μελχισεδὲκ εἰ καὶ ἀπάτωρ παρὰ τῇ γραφῇ καὶ
ἀμήτωρ λέγεται, ἀλλὰ κατάγει τὸ γένος ἀπὸ Σίδου υἱοῦ Αἰ-
γύπτου τοῦ καὶ τὴν Σίδωνα κτίσαντος. ἐν τῷ ὄρει δὲ Σιὼν
πόλιν ἐκεῖνος κτίσας Σαλήμ, καὶ βασιλεύσας ἐν αὐτῇ ἔτη ιγ΄,
τελευτᾷ δίκαιος καὶ παρθένος. αὕτη δέ ἐστι μετὰ τῆς ἱεροῦ B
προσθήκης ἡ περίφημος Ἱερουσαλήμ. ἐκ γένους δὲ τοιούτου
μιαροῦ καταγόμενον ἀφῆκεν ἡ γραφὴ ἀγενεαλόγητον, εἰ καί
τινες θεὸν αὐτὸν ἐνόμισαν ὡς ἄναρχον τάχα καὶ ἀτελεύτητον,
τοῦ ῥητοῦ καὶ μᾶλλον τοῦ ἀποστολικοῦ δραξάμενοι τοῦ λέγον-
τος „ἀπάτωρ, ἀμήτωρ, ἀγενεαλόγητος, μήτε ἀρχὴν ἡμερῶν
ἔχων μήτε τέλος ζωῆς." κατὰ τοῦτο καὶ ἀφομοίωμα λέγε- V. 105
ται τοῦ Χριστοῦ τοῦ ἀμήτορος μὲν τὸ πρότερον ἀπάτορος δὲ
τὸ δεύτερον, καὶ ὅτι τὴν ἀναίμακτον θυσίαν ἣν αὐτὸς ὁ

ἀλώβητος, ἐδόξασε τὸν θεόν. ἀνελθόντες δὲ ἀμφότεροι μετὰ τῶν δαλῶν εἰς τὸ ὄρος, ἔπηξεν αὐτοὺς ἐπὶ πέτραν ὁ Ἀβραὰμ χωρὶς ἀπ' ἀλλήλων, πλησίον δέ, ὡς φέροντας σχῆμα τρίγωνον. προσέταξε δὲ τῷ Λὼτ ἀπέρχεσθαι, καὶ ἀντλεῖν ὕδωρ ἐκ τοῦ Ἰορδάνου, καὶ ποτίζειν αὐτὰ καθ' ἡμέραν· ὃ δὴ καὶ ἐποίει. ἀπεῖχε δὲ τὸ ὄρος ἐκ τοῦ Ἰορδάνου ὡσεὶ μίλια κδ΄. ἐντὸς δὲ μηνῶν τριῶν ἐβλάστησαν οἱ δαλοί. καὶ κατελθὼν ὁ Λὼτ ἐξεῖπε τοῦτο τῷ Ἀβραάμ. καὶ ἀνελθόντες ἰδεῖν τὸ γεγονός, εὗροσαν ὅτι ἡνώθησαν οἱ τρεῖς δαλοὶ καὶ εἰς ἓν ἐγεγόνεισαν, αἱ ῥίζαι δὲ μόνον ἐναπελείφθησαν, ὡς καὶ ἐφυτεύθησαν, κεχωρισμέναι. ἰδὼν δὲ Ἀβραὰμ τὸ γεγονὸς ἐν τοῖς ξηροῖς ξύλοις, πεσὼν προσεκύνησε τῷ κυρίῳ, καὶ εἶπε „τοῦτο τὸ ξύλον ἔσται ἁμαρτίας ἀπόφασις." τὸ δὲ ξύλον εἰς μέγα δένδρον ἐγένετο, διαρκέσαν αὐτὸ μέχρι καὶ τῆς βασιλείας Σολομῶντος. ἔλαβε δὲ πληροφορίαν ὁ Ἀβραὰμ περὶ τῆς ἀφέσεως τῆς ἁμαρτίας τοῦ Λώτ. ὅτε δὲ ὁ ναὸς τῶν Ἱεροσολύμων ἐκτίζετο, μετὰ τῶν ἄλλων ἐξεκόπη καὶ αὐτὸ τὸ δένδρον, καὶ πελεκηθὲν ἔκειτο ἀργὸν ἐν τῷ ἱερῷ, οἰκονομίᾳ καὶ τοῦτο θεοῦ. ὅτε δὲ ἔμελλε παθεῖν τὸ ὑπὲρ τοῦ κόσμου σωτήριον πάθος ὁ Χριστὸς καὶ θεὸς ἡμῶν, ἐσταυρώθη ἐν αὐτῷ παρὰ τῶν Ἰουδαίων. 1. καὶ] γὰρ P.

Melchisedecus autem, licet in sacris litteris patre matreque carere dicatur, generis tamen ortum habuit a Sido Aegypti F. qui Sidonem condidit. cumque oppidum in monte Sione Salemam exstruxisset ac 13 ibidem annis regnum tenuisset, et iustus et virgo decessit. Salema vero est celebris illa Hierusalema, quadam adiectione litterarum facta. et quia Melchisedecus ex familia tam impura natus erat, iccirco litterae sacrae generis ipsius seriem non recensuerunt. fuere tamen nonnulli qui deum fuisse censuerunt tanquam principii ac finis expertem, plus aequo verbis his apostolicis (Hebr. 7 1) inhaerentes „sine patre, sine matre, sine maioribus, nec aevi principium nec vitae finem habens." quo etiam nomine imago et similitudo Christi dicitur, ut qui prius quidem erat absque matre, deinceps vero absque patre. idem et incruentum illud sacrificium, quod Chri-

Χριστὸς τοῖς μαθηταῖς παραδέδωκεν, αὐτὸς ἀνέκαθεν προει-
C κόνιζε. καὶ ἄκουσον τί περὶ τούτου φησὶν ὁ τὴν γλῶτταν χρυσοῦς. „προμηνύων ὁ θεὸς τὴν κατάλυσιν τῆς νομικῆς ἱερωσύνης εἴρηκε διὰ τοῦ Δαβὶδ ʽσὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ,ʼ ὃς οὐ θυσίας νομικὰς ἱέρευεν ἀλλʼ εὐχὰς καὶ ἄρτους καὶ οἶνον, ὡς ἱστορία διδάσκει." κατὰ τοῦτο καὶ ἱερεὺς τοῦ θεοῦ τοῦ ὑψίστου παρὰ τῇ γραφῇ λέγεται, ἱερεὺς αὐτοχειροτόνητος, ὡς ὁ χρυσορρήμων φησί· τοιοῦτοι καὶ γὰρ τῷ τότε οἱ ἱερεῖς. ἢ καθὸ θύων ἦν ὡς Ἄβελ, ὡς Νῶε καὶ οἱ λοιποί.

Εἰ δὲ καὶ ἄνθρωπος ἦν ὁ Μελχισεδέκ, πῶς λέγεται μήτε ἀρχὴν μήτε τέλος ἔχειν; καὶ ἔστιν εἰπεῖν ὅτι τοὺς ἀπὸ
D Σὴθ καταγομένους γενεαλογοῦσα ἡ γραφὴ οὕτως ποιεῖ. ὁ Ἀδὰμ τόσων γενόμενος ἐνιαυτῶν γεννᾷ τὸν Σήθ, ὁ δὲ Σὴθ πάλιν τόσων χρόνων γενόμενος τῶν ὧδε ἀφίσταται. δήλη οὖν ἐντεῦθεν καὶ ἡ ἀρχὴ τῶν ἡμερῶν τοῦ Σὴθ καὶ τὸ τέλος τῆς ζωῆς αὐτοῦ. ἐπὶ δὲ τοῦ Μελχισεδὲκ μηδὲν τοιοῦτον ποιήσασα παρέπεισέ τινας ἄναρχον αὐτὸν λέγειν καὶ ἀτελεύτητον, κἀντεῦθεν δύναμιν μεγάλην αὐτὸν οἴεσθαι τοῦ θεοῦ.

Βασιλεὺς μὲν οὖν καὶ ἱερεὺς ὁ Μελχισεδέκ, ὡς ἄνωθεν εἴρηται, ὅτι καὶ τύπος ἦν καὶ ἀφομοίωμα τοῦ Χριστοῦ. ὅθεν

10. ὡς] ὁ P.

stus ipse discipulis tradidit, longe ante repraesentavit. audi quid hac in parte Chrysostomus tradat. cum vellet, inquit, deus multo ante sacerdotii legalis abolitionem ostendere, per Davidem inquit (Psalm. 109 4) „tu sacerdos es in aeternum, secundum ordinem Melchisedeci." qui videlicet non legales hostias sacrificavit, sed vota panem vinum obtulit, quemadmodum ipsa docet historia. iccirco sacris in litteris (Gen. 14 18) supremi dei sacerdos appellatur, sacerdos ab semetipso constitutus, ut Chrysostomus loquitur: erant enim sacerdotes id temporis tales. vel quatenus sacrificium offerebat, ut Abelus, Noa, caeteri.

At vero si Melchisedecus erat homo, quonam pacto dicitur eum nec principium nec finem habuisse? respondendum litteras sacras seriem generis posterorum Sethi recensentes hac forma orationis uti: Adamus cum tot ac tot natus esset annos, Sethum genuit; Sethus rursum cum tot ac tot annos vivendo explesset, e terris sublatus est. hinc et principium vitae Sethi et finis cognosci potest. cum autem in Melchisedeco nihil tale factum sit, in eam persuasionem nonnulli venerunt ut Melchisedecum principii ac finis expertem statuerent, eundemque magnam esse dei potestatem putarent.

Rex quidem ille, ceu supra diximus, et sacerdos erat, figura et

εἰ θέλεις, ἀγαπητέ, μαθεῖν ὅση τῆς καθ' ἡμᾶς ἱερωσύνης ἡ ὑπεροχή, τῷ χρυσορρήμονι πρόσχες Ἰωάννῃ. ἐν γὰρ τῷ κα- P. 136 τὰ Ἰουδαίων πέμπτῳ λόγῳ φησὶν ὅτι καὶ ἐν τοῖς τύποις ἡ καθ' ἡμᾶς ὑπεροχὴ τῆς ἱερωσύνης δείκνυται. ὁ γὰρ Ἀβραὰμ τοῦ Ἰσαὰκ πατὴρ ἦν καὶ τοῦ Ἰακὼβ πάππος καὶ τοῦ Λευὶ πρόγονος· τοῦ γὰρ Ἰακὼβ υἱὸς ὁ Λευί, ἀπὸ δὲ τοῦ Λευὶ ἡ ἱερωσύνη παρὰ Ἰουδαίοις τὴν ἀρχὴν ἔλαβεν. ἀλλ' οὗτος ὁ Ἀβραὰμ ὁ πρόγονος τῶν Λευιτῶν, τῶν Ἰουδαϊκῶν δηλαδὴ ἱερέων, ἐπὶ τοῦ Μελχισεδέκ, ὃς ἦν τύπος τῆς καθ' ἡμᾶς ἱερωσύνης, λαϊκοῦ τάξιν ἐπεῖχε. καὶ τοῦτο δι' ἀμφοτέρων ἐδήλωσε, καὶ διὰ τοῦ δοῦναι δεκάτας, καὶ ὅτι ηὐλογήθη παρ' αὐτοῦ· οἱ γὰρ λαϊκοὶ καὶ δεκάτας διδόασι τοῖς ἱερεῦ- B σι καὶ παρ' αὐτῶν εὐλογοῦνται. ἀλλὰ καὶ τοῦ Μελχισεδὲκ ἐλάσσων ὁ Ἀβραὰμ ὁ τὰς ἐπαγγελίας δεξάμενος. καὶ πῶς; ὅτι τὸ ἔλασσον ὑπὸ τοῦ κρείττονος εὐλογεῖται. ἀλλὰ καὶ ὁ δεκάτας λαμβάνων Λευὶ δεδεκάτωται, ὡς ὁ Παῦλός φησι „δεκάτας γὰρ ἔδωκε καὶ αὐτὸς τῷ Μελχισεδὲκ δι' Ἀβραὰμ τοῦ πατρὸς αὐτοῦ, καὶ μήπω γεννηθείς·" ἔτι γὰρ ἐν τῇ ὀσφύϊ τοῦ Ἀβραὰμ ἦν, ὅτε συνήντησεν ὁ Μελχισεδέκ. προσεχε οὖν ὅτι σκιὰ καὶ τύπος ἦσαν τὰ Ἰουδαϊκά. εἰ γὰρ διὰ τῆς Ἰουδαϊκῆς ἱστορίας καὶ ἱερωσύνης τελείωσις ἦν, τίς ἔτι

similitudo Christi. quamobrem si cognoscere voles, dilecte fili, quanta sit nostri sacerdotii praestantia, Iohannis Chrysostomi verbis animum advertito, qui in oratione adversus Iudaeos quinta inquit etiam in ipsis figuris ostendi quantum a nostro sacerdotium illud vetus superetur. Abrahamus enim pater Isaaci et Iacobi avus erat, Levii proavus, ut qui Iacobi filius existeret. at enim sacerdotium illud Iudaicum in Levio principium habuit. nihilominus Abrahamus generis Levitarum auctor, hoc est Iudaicorum sacerdotum, sub Melchisedeco, qui nostri sacerdotii figuram repraesentabat, pro laico sese gerebat. atque hoc ipsum duabus rebus significabat, tum quod decumas daret, tum quod ominationem ab eo faustam acciperet. nam laici decumas sacerdotibus pendunt, et eorundem precibus felicitantur. quinetiam Abrahamus, quanquam promissis divinis beatus esset, nihilominus Melchisedeco minor erat. quinam istuc? quia minori maior benedicit. praeterea Levius ipse, cui decumarum ius concessum est, heic decumatus fuit, quemadmodum Paulus (Hebr. 7 9) loquitur. nam et ipse Melchisedeco per Abrahamum patrem decumas solvit, tametsi necdum editus in lucem foret: quippe adhuc in Abrahami lumbis erat, cum Melchisedeco is occurreret. de quo licet intelligas hasce Iudaicas res non nisi umbram et figuram quandam fuisse. nam si per Iudaicum sacerdotium perfectionem licuisset adsequi, ecquid causae foret quamobrem constitui sacerdos alius secundum ordinem Melchi-

C χρεία κατὰ τὴν τάξιν Μελχισεδὲκ ἀνίστασθαι ἕτερον ἱερέα καὶ οὐ κατὰ τὴν τάξιν Ἀαρὼν λέγεσθαι; ἐπεὶ οὖν ἑτέρα ἱερωσύνη ἐλθεῖν ἔμελλεν, ἀνάγκη πᾶσα καὶ πολιτείαν ἑτέραν συνεισελθεῖν. καὶ τοῦτο δηλῶν ὁ Παῦλος ἔλεγεν ὅτι τῆς ἱερωσύνης μετατιθεμένης ἐξ ἀνάγκης καὶ νόμου μετάθεσις γίνεται. καὶ ταῦτα μὲν ὁ τὴν γλῶτταν χρυσοῦς.

Προσευχομένους δὲ ἡμᾶς καὶ μὴ εὐθέως εἰσακουομένους
V. 106 οὐ δέον ἐκκακεῖν, ἐπεὶ καὶ ὁ Ἰσαὰκ ἔτη εἴκοσι τοῦ θεοῦ ἐδέετο διὰ τὴν ἀπαιδίαν αὐτῶν. ἐδέετο γάρ, φησί, τοῦ θε-
D οῦ περὶ Ῥεβέκας τῆς γυναικὸς αὐτοῦ, ὅτι στεῖρα ἦν. δυσχεραινούσῃ δὲ τῇ Ῥεβέκᾳ ἡνίκα ἐγκυμονοῦσα ἦν τόν τε Ἠσαῦ καὶ τὸν Ἰακὼβ (οὐ μικρῶς γὰρ ἐσκίρτων ἐν τῇ κοιλίᾳ αὐτῆς, μηνύοντε, ὡς ἔοικε, τὴν ἐσομένην ὕστερον μέσον αὐτῶν διαμάχην) ἔφη ὁ κύριος „δύο λαοὶ ἐκ τῆς κοιλίας σου διασταλήσονται, καὶ λαὸς λαοῦ ὑπερέξει, καὶ ὁ μείζων δουλεύσει τῷ ἐλάσσονι." πρόσεχε οὖν· σαφῶς γὰρ ἐδήλωσεν ὁ θεὸς τὰ κατὰ τῶν Ἰουδαϊκῶν λαῶν καὶ τῶν ἐθνικῶν.

Λιμὸς δεύτερος ἐπὶ τοῦ Ἰσαὰκ γίνεται, ἐφ' ᾧ ἐν Γεράροις κατέρχεται· εἰς Αἴγυπτον μέντοι ἀπελθεῖν οὐ συγχω-
P. 137 ρεῖται παρὰ θεοῦ. εἰ γὰρ καὶ συνεχωρήθη κατελθεῖν ὁ Ἀβραάμ, ἀλλὰ χάριν καὶ τοῦ γνωσθῆναι καὶ τοῖς ἐκεῖσε τὴν

17. τοῦ Ἰουδαϊκοῦ λαοῦ?

sedeci, non Aaronis, diceretur? cum ergo sacerdotium aliud subsecuturum esset, omnino necessarium erat alium quoque rerum statum subsequi. quod quidem Paulus indicare volens ait (Hebr. 7 12) „translato sacerdotio necessario quoque legis fit translatio." haec ita sunt a Chrysostomo tradita.

Caeterum cum precamur nec continuo exaudimur, haudquaquam despondere animum debemus. nam et Isaacus ob suam coniugisque sterilitatem deum totos 20 annos precibus urgebat. sunt enim haec sacrarum litterarum verba (Gen. 25 21) „obsecrabat deum Rebeccae uxoris nomine, quae sterilis erat." postea cum Rebeccae, quae Esaum et Iacobum utero gestabat, aegre esset, quod fetus in utero non mediocriter subsultarent, indicantes, uti quidem credi par est, dissidium illud quod deinceps inter ipsos exstiturum erat, his verbis deus utitur (Gen. 25 23) „duae gentes ex utero tuo dividentur, quarum altera plus altera poterit, maiorque minori serviet." quibus in verbis animadverte deum perspicue rationem populi Iudaici et gentilis indicasse.

Huius Isaaci tempore fames alia fuit, cuius causa Isaacus se Gerara contulit, quominus in Aegyptum proficisceretur, ab ipso deo prohibitus. quanquam enim is Abrahamo concesserat ut eo se conferret, tamen id alia nulla de causa factum fuit quam ut istis etiam

αὐτοῦ ἀρετήν. σπείρει δὲ κριθὴν ὁ Ἰσαάκ, καὶ παραδόξως ἑκατοστεύει. εἰ δὲ τὸ καταβληθὲν εἰς ἑκατὸν παρέδωκεν ἡ γῆ, πῶς ὁ ποιῶν ἐλεημοσύνην καὶ ταῖς τοῦ θεοῦ χερσὶ παρατιθεὶς τὸ διδόμενον ἑκατονταπλασίονα τὸν μισθὸν οὐ λήψεται; εἰ γὰρ ἐνταῦθα τὸ ἓν ἑκατοστεύει, πολλῷ μᾶλλον ἐκεῖσε.

Ὁ δὲ Ἰσαὰκ ὅτε τὸν Ἰακὼβ ηὐλόγησεν, ὡσεὶ ἑκατὸν χρόνων ἦν· διὰ γὰρ τοῦτο καὶ τοὺς ὀφθαλμοὺς ἐπεπήρωτο. ἡ μέντοι Ῥεβέκα μετὰ τὴν ἐπαινετὴν τῆς εὐλογίας κλοπὴν συνεβούλευσε τῷ Ἰακὼβ πρὸς Λάβαν ἀπελθεῖν, ὅπως τὸ ἀκμαῖ- B ον τῆς τοῦ Ἠσαῦ ἐκφύγῃ μανίας. ἀποδιδράσκων οὖν τὸν Ἠσαῦ ὁ Ἰακὼβ ἐκοιμήθη καθ' ὁδὸν καὶ ἐνυπνιάσθη. καὶ ἰδοὺ κλῖμαξ ἐστηριγμένη ἐν τῇ γῇ, ἧς ἡ κεφαλὴ ἀφικνεῖτο εἰς τὸν οὐρανόν. καὶ οἱ ἄγγελοι τοῦ θεοῦ ἀνέβαινον καὶ κατέβαινον ἐπ' αὐτήν, ὁ δὲ κύριος ἐπεστήρικτο αὐτῆς, καὶ εἶπεν „ἐγώ εἰμι μετὰ σοῦ, καὶ μὴ φοβοῦ." οἱ δὲ ἀνιόντες καὶ κατιόντες τὴν κλίμακα, καθὰ καὶ ὁ μέγας φησὶ Κύριλλος, τὴν θείαν ἐδήλουν διακονίαν· περὶ τούτων γὰρ καὶ ὁ Παῦλος ἔφη „οὐχὶ πάντες εἰσὶ λειτουργικὰ πνεύματα, εἰς διακονίαν ἀποστελλόμενα διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν;" C ἔδειξεν οὖν διὰ τούτων σαφῶς ὅτι δυνάμεσιν ἀγγελικαῖς τὰ πάν-

hominibus virtus ipsius innotesceret. Isaacus autem hordei sementem fecit, quod inaudito quodam modo fructum centuplum edidit. quodsi deiectum illud semen in se terra ratione centupla reddidit, quonam fieri pacto potest ut qui benignitatem in egentes ex commiseratione animi exercet ac munus ipsum in manus dei deponit, mercedem centuplo maiorem non accipiat? nam si unum heic fructum fert centuplum, multo magis et istic idem usuveniet.

Caeterum cum Isaacus Iacobo felicissima quaeque precaretur, annos 100 plus minus natus erat, ob quam ipsam aetatis provectionem eius oculi caligaverant. Rebecca post laudabilem hanc felicitationis interversionem id consilii Iacobo dedit ut flagrantis adhuc Esai furoris gratia semet ad Labanem reciperet. quamobrem Iacobus arrepta fuga, vitandi Esai causa, sopitus in itinere somnium vidit. nam scala quaedam terrae innixa erat, cuius vertex coelum attingeret, ac divini angeli per eam adscendebant ac vicissim descendebant. eidem imminens deus sic loquebatur (Gen. 28 13) „ego tecum sum: non est quod formides." atque hi tam adscendentes quam descendentes angeli, quemadmodum et magnus ille Cyrillus ait, ministerium divinum significabant. nam de angelis et Paulus inquit (Hebr. 1 14) „nonne sunt omnes administri spiritus, qui ad ministerium ablegantur propter eos qui salutem adepturi sunt?" quamobrem deus per haec nobis clare ostendit omnia se per potestates angelicas

τα οἰκονομεῖ καὶ ὡς οὐδὲν ἀπρονόητον τῶν τῇδε καὶ ὡς ἔτυχε
φέρεται. καὶ μή μοι λέγε, τίνος ἕνεκεν ἡ ἁγία γραφὴ πρῶ-
τον ἀνέρχεσθαι τοὺς ἀγγέλους εἶπεν, εἶθ' οὕτως κατέρχε-
σθαι; ἔχεις γὰρ αὐτὴν τὴν ἁγίαν γραφὴν καὶ τὸν περὶ τού-
του λόγον διευκρινοῦσάν σοι. τῶν ἀνθρώπων ἕκαστος φύλα-
κα τῆς ἑαυτοῦ ζωῆς θεῖον ἄγγελον κέκτηται, ὡς ἐντεῦθεν καὶ
τὴν καθ' ἡμῶν ὁρμὴν τῶν δαιμόνων ἀναχαιτίζεσθαι („πα-
D ρεμβαλεῖ" γάρ φησιν „ἄγγελος κύριου κύκλῳ τῶν φοβουμένων
αὐτόν") καὶ τὰς αἰτήσεις ἡμῶν ἀνάγεσθαι πρὸς τὸν θεὸν δι'
αὐτῶν. καὶ πειθέτω ἡμᾶς αὐτὸς ὁ κύριος ἐν εὐαγγελίοις λέ-
πόλιν προδιδοῦσα. γίνεται ταῦτα, τελεῖται τὰ τοῦ γάμου. τοὺς Αἰθίοπας ἀναιρεῖ, καὶ τοὺς Αἰγυπτίους εἰς τὴν ἑαυτῶν ἀπάγει γῆν. ἔκτοτε οὖν φθόνος κατὰ Μωσέως· ἐπτοοῦντο γὰρ μήποτε κατ' Αἰγυπτίων νεωτερίσῃ. μανθάνει ταῦτα, καὶ λαθὼν ἔξεισιν ἐκεῖθεν, καὶ τῶν ὁδῶν φυλασσομένων διὰ τῆς ἐρήμου ποιεῖται τὸν δρασμόν. ἐφίσταται τῷ φρέατι ἔνθα τοῦ Ῥαγουὴλ αἱ θυγατέρες τὰ θρέμματα ἐπότιζον. ἀνήνεκται τῷ Ῥαγουὴλ τὰ περὶ τοῦ Μωσέως, τίς τε ἦν καὶ ὅπως ταῖς
P. 150 αὐτοῦ θυγατράσιν ἐπαμῦναι οὐκ ὤκνησεν· ἐφ' ᾧ καὶ γαμβρὸν τὸν Μωσέα ποιεῖ. ὁ μέντοι Μωσῆς τοιούτων τυχὼν τῶν παρὰ τοῦ Ἰοθόρου (τοῦτο γὰρ ἦν ἐπίκλημα τῷ Ῥαγουήλῳ) διῆγεν αὐτόθι ποιμαίνων τὰ βοσκήματα. τηνικαῦτα καὶ κατ' αὐτὸ τὸ Σίναιον περιάγει αὐτά, ἔνθα καὶ τὸν θεὸν ὁρᾷ ἐκ τῆς βάτου καλοῦντα αὐτόν. ὁ θεὸς ἀποστέλλων πρὸς Φαραὼ τὸν Μωσέα, καὶ ὑπισχνούμενος συμπαρεῖναι αὐτῷ, πρὸς πίστιν τοῦ λόγου εἰς δράκοντα μεταβάλλει τὴν ῥάβδον αὐτοῦ. ὁ μέντοι Μωσῆς παρρησιασάμενος πρὸς Φαραώ, τὴν ῥάβδον
B αὐτοῦ κατὰ γῆς τε ῥίπτει καὶ εἰς ὄφιν μεταβάλλει. οὐκοῦν περιιοῦσα τὰς τῶν Αἰγυπτίων ῥάβδους, αἳ δράκοντες ἐδόκουν, κατήσθιε. καὶ οὕτω μὲν ὁ Ἰώσηπος, ὁ δὲ Νυσσαεὺς θεῖος Γρηγόριός φησιν ὅτι διὰ τοῦτο ἐπὶ μὲν τῆς βάτου καὶ τοῦ

tione facta urbis proditionem esse pollicitam. his eius postulatis Mosem annuisse; nuptias fuisse celebratas, Aethiopes interfectos, Aegyptios in solum patrium reductos. ab eo tempore fuisse Mosem expositum invidiae, formidantibus Aegyptiis ne aliquando etiam adversus se novas res moliretur. iis animadversis subtraxisse se Mosem, et cognito vias itineraque passim obsideri a custodibus, per solitudinem instituta fuga saluti suae consuluisse. hinc ad puteum pervenisse, ubi filiae Ragueli paternum pecus adaquabant. mox relata Raguelo fuisse quae Moses fecisset, quis esset, quo pacto filiabus ipsius sine cunctatione succurrisset. his illum rebus permotum Mosem sibi generum adscivisse. talibus adfectum Mosem beneficiis ab Iothoro (id enim Raguelo cognomentum fuisse) cum eo victitasse ac soceri pecus pavisse. cumque illud iuxta Sinaeum montem circumduceret, deum ab eo conspectum fuisse, qui eum ex medio rubo arcesseret. secundum haec Mosem ablegatum ad Pharaonem a deo, qui ei polliceretur se semper ipsi adfuturum; utque promisso fides fieret, baculum eius in draconem commutatum fuisse. tum Mosem intrepide semet apud Pharaonem gerentem virgam suam humi proiecisse ac in serpentem convertisse. illam vero virgas Aegyptiorum, quae esse dracones viderentur, obeuntem devorasse. huiusmodi sane Iosephi de his rebus gestis exstat narratio. caeterum divinus ille vir Gregorius Nyssensis ait propterea

Ἰσραὴλ ὁ θεὸς τὴν ῥάβδον εἰς ὄφιν μεταβάλλει, ἐπὶ δὲ τοῦ Φαραὼ εἰς δράκοντα, ἵνα τῷ μεγέθει καταπλήξῃ αὐτούς. δῆλον δὲ ὅτι ἀληθὲς τοῦτο τὸ σημεῖον ἦν, τὸ δὲ τῶν μάγων φαντασία· διὸ καὶ κατεπόθη ὑπὸ τῆς ἀληθείας ἡ φαντασία. ἀλλ' οὐκ ἐντεῦθεν ὁ Φαραὼ πείθεται, μαίνεται δὲ μᾶλλον, καὶ τοῖς Ἰουδαίοις ἐπὶ πλέον ἐπιτίθεται. ὅθεν καὶ μαστίζει C
αὐτὸν ὁ θεός. ταῖς ἐπενεχθείσαις δὲ κατ' αὐτοῦ μάστιξι καὶ τοιαύτην λέγει προσεῖναι μάστιγα· φθειρῶν γὰρ τοῖς Αἰγυπτίοις ἐξήνθησεν ἄπειρόν τι πλῆθος ἔνδοθεν ἀναδιδομένων, ὑφ' ὧν ἐκεῖνοι κακῶς ἀπώλοντο, μήτε λουτροῖς μήτε χρίσεσι φαρμάκων διαφθεῖραι τὸ γένος αὐτῶν δυνάμενοι. καὶ οὕτω μὲν ὁ Ἰώσηπος.

Αἱ πληγαὶ δέ, ἀγαπητέ, ἃς ὁ θεὸς ἐπήνεγκε τῷ Φαραὼ μὴ πειθομένῳ τὸν λαὸν ἀπολῦσαι, δέκα τὸν ἀριθμὸν κατὰ τὸ ἐν ἐξόδῳ γεγραμμένον εἰσί· δέκα καὶ γὰρ κολάζει πλη- D
γαῖς διά γε τὸν τέλειον ἀριθμὸν τοὺς ἡμαρτηκότας τὰ τέλεια.
καὶ πρώτη μὲν ἡ τῶν ἐν Αἰγύπτῳ πάντων ὑδάτων εἰς αἷμα P. 151
μεταβολή. διὰ τί δὲ καὶ τίνος ἕνεκεν ἐξ ὑδάτων αὐτοὺς τὰ V. 117
πρῶτα κολάζει ὁ θεός; διότι τὸ ὕδωρ διαφερόντως ἐτίμων, ἀρχὴν τοῦτο τῆς τῶν ὅλων γενέσεως εἶναι οἰόμενοι. ἔνθεν τοι καὶ πολλοὶ τηνικαῦτα τῶν ἀνθρώπων ἐφθάρησαν· ἐπὶ

deum in rubo quidem conspectum virgam in serpentem mutasse, coram Pharaone vero in draconem, ut ipsa magnitudine formidinem hominibus incuteret. est autem perspicuum prodigium istuc reapse factum esse, cum magorum prodigia nil nisi merae forent praestigiae, quae oculos praestringerent. iccirco imaginaria isthaec species a veritate in nihilum redigebatur. neque tamen hoc modo parere Pharao voluit, sed magis etiam furens Hebraeos gravius urget. quapropter subsecuta flagella poenaeque dei sunt, et inter alias quibus est adfectus, etiam huiusmodi quandam exstitisse Iosephus tradit. infinita pediculorum multitudo apud Aegyptios proveniebat, ex interioribus eorum partibus scaturiens, a quibus excarnificati misere peribant, nec vel lavacris vel pharmacorum inunctionibus pediculos perdere poterant. hoc modo rem Iosephus narrat.

Te autem, dilecte fili, scire volo plagas illas, quibus Pharaonem adflixit deus, persuaderi sibi non ferentem ut populum Israeliticum dimitteret, numero decem fuisse, quemadmodum in libro qui est de Israelitarum ex Aegypto profectione perscriptum legimus. nimirum decem plagae propter huiusce numeri perfectionem, eos divexarunt qui perfecte deliquerant. princeps omnium erat aquarum in sanguinem per Aegyptum universam commutatio. quamobrem istuc factum? cur per aquas deus eos primo loco punit? quod aquam eximie colerent, quam esse principium ortus rerum universarum existimabant.

γὰρ ἑπτὰ ἡμέρας ἡ πάντων τῶν ὑδάτων ἐξαιμάτωσις ἐπεκρά-
B τησε, τοῦ Ἀαρὼν διὰ τῆς βακτηρίας, καθὼς ἐλάλησε Κύριος, τὸ τέρας τοῦτο τελέσαντος. ὅτι δὲ οὐ κατὰ φαντασίαν ἐρυθρὰ τὰ ὕδατα γέγονεν, ἀλλὰ καὶ ἡ γεῦσις αὐτῶν μετεβλήθη καὶ ἄλλη ἐξ ἄλλης ἐγένετο, ἡ τῶν ἰχθύων τελευτὴ τοῦτο δεδήλωκε· „καὶ οἱ ἰχθύες" γάρ φησιν „οἱ ἐν τῷ ποταμῷ ἐτελεύτησαν, καὶ ἐπώζεσεν ὁ ποταμός, καὶ οὐκ ἠδύναντο οἱ Αἰγύπτιοι πιεῖν ὕδωρ ἐκ τοῦ ποταμοῦ, καὶ ἦν τὸ αἷμα ἐν πάσῃ γῇ Αἰγύπτου."

Δευτέρα πληγὴ ἡ ἐξ ὑδάτων τῶν βατράχων ἀνάδοσις. „καὶ ἐξέτεινε" γάρ φησιν „ὁ Ἀαρὼν τὴν χεῖρα αὐτοῦ ἐπὶ τὰ
C ὕδατα Αἰγύπτου, καὶ ἀνήγαγε τοὺς βατράχους, καὶ ἐκάλυψε τὴν γῆν Αἰγύπτου, καὶ εἰσήρχοντο εἰς τοὺς οἴκους αὐτῶν καὶ εἰς τὰ ταμεῖα αὐτῶν." ὡσαύτως καὶ οἱ ἐπαοιδοὶ τῶν Αἰγυπτίων ἐποίησαν ταῖς φαρμακείαις αὐτῶν, καθὰ δὴ καὶ ἐπὶ τῇ ἐξαιματώσει τοῦ ὕδατος. ἀλλ' ἱκέτευε Φαραὼ τὸν Μωσέα δεηθῆναι τοῦ θεοῦ περὶ τοῦ δοῦναι αὐτῷ τῶν βατράχων ἀπαλλαγήν· οἷον γὰρ κακὸν οἱ βάτραχοι τῶν ὑδάτων ἀποξενωθέντες καὶ ἐπὶ πλεῖστον ἀποχερσωθέντες, ἑρπετῶν ἰοβόλων κατ' οὐδὲν διαφέρουσι. γίνεται ταῦτα, δέεται τοῦ θεοῦ ὁ Μωϋσῆς, καὶ τελευτῶσιν αὐτίκα οἱ βάτραχοι, κἂν ὁ Φαραὼ

propterea tum magna hominum multitudo periit. quippe totos septem dies haec omnium aquarum in sanguinem commutatio duravit, Aarone per baculum suum, ut praeceptum ei divinitus fuerat, hoc prodigium efficiente. neque vero specie tenus aquas tum rubuisse, sed gustum quoque illarum prorsus immutatum esse, aquis ipsis in rem aliam conversis, colligi vel inde perspicue potest quod pisces extinguebantur. sic enim perscriptum sacris in litteris legimus (Exod. 7 21) „et emortuis fluminis piscibus tantus exstitit foetor fluminis, ut Aegyptii de eius aqua bibere non possent, totaque adeo Aegyptus hoc ipso sanguine redundabat."

Altera plaga fuit ranarum ex aquis scaturientum illuvies. sic enim est sacris in litteris (Exod. 8 6) „Aaro manum suam protendit in aquas Aegypti, quo facto tot exstitere ranae ut eis Aegypti solum copertum sit. simul Aegyptiorum domos illae ingrediebantur." idem veneficiis suis imitati sunt excantores Aegyptiorum, quemadmodum et antea fecerant, aquam in sanguinem mutando. sed tamen necesse habuit Pharao, supplex ut Mosem oraret, quo ranarum a se depellendarum causa deum deprecaretur. quantum enim mali esse putas aquis effusas ranas ac passim per terram sparsas? nihil profecto venenosis a reptilibus differunt. impetrat postulata Pharao; deum obsecrante Mose continuo ranae exspirant. nihilominus Pharao, cum

θεασάμενος ὅτι γέγονεν ἀνάψυξις, ἀπειθείᾳ τῇ προτέρᾳ ἐνέμεινε. D

Τρίτη πληγὴ ἡ ἀπὸ τοῦ χοὸς τῶν σκνιπῶν ἀνάδοσις. „ἐξέτεινε" γάρ φησιν „Ἀαρὼν τῇ χειρὶ τὴν ῥάβδον, καθὼς ἐλάλησε κύριος, καὶ ἐπάταξε τὸ χῶμα τῆς γῆς, καὶ ἐγένοντο οἱ σκνῖπες ἔν τε τοῖς ἀνθρώποις καὶ τοῖς τετράποσι." γίνωσκε δὲ ὅτι τὸ ζῶον οἱ σκνῖπες, εἰ καὶ βραχύτατόν ἐστιν, ἀλλ' ὅμως ἀργαλεώτατον· οὐ μόνον γὰρ λυμαίνεται τὴν ἐπιφάνειαν τοῦ δέρματος τοῖς ἀφανέσι δήγμασι κνησμοὺς ἐμποιοῦν ἀηδεῖς, ἀλλὰ καὶ εἰς τὸ ἐντὸς βιάζεται διά γε μυκτήρων καὶ ὤτων. πρὸς τούτοις δὲ καὶ κόρας βλάπτει ὀφθαλμῶν εἰσπετόμενον. P. 152 ὡσαύτως δὲ καὶ οἱ ἐπαοιδοὶ τῶν Αἰγυπτίων ἐποίησαν τοῦ ἐξαγαγεῖν τὸν σκνῖπα, καὶ οὐκ ἠδύναντο. εἶπον οὖν τῷ Φαραὼ ὅτι δάκτυλος θεοῦ ἐστὶ τοῦτο.

Τετάρτη πληγὴ ἡ διὰ τῆς κυνομυίας. „καθὼς" γάρ φησιν „ἐποίησε κύριος, παρεγένετο ἡ κυνόμυια πλῆθος εἰς τοὺς οἴκους Φαραὼ καὶ εἰς πᾶσαν τὴν γῆν Αἰγύπτου. καὶ ἐξωλοθρεύθη ἡ γῆ ἀπὸ τῆς κυνομυίας ὀδυνηρῶς." καὶ γὰρ ἐμφύεται διὰ τοῦ δήγματος τουτὶ τὸ ζῶον τοῖς σώμασι. κυνόμυιαν δὲ ἀκούων τὸ αὔθαδες νόει τοῦ ζώου· καθάπερ γὰρ B βέλος εἰσπετομένη, τῶν Αἰγυπτίων καὶ μόνων κατεπεμβαίνου-

tanto e malo se respirasse cerneret, in obfirmatione animi pristina perstitit.

Tertia plaga fuit culicum e pulvere natorum productio. sic enim perscriptum legimus (Exod. 8 16) „Aaro manu virgam suam de mandato domini protendit, ac terrae pulverem percussit, qua percussione culices tum in hominibus tum quadrupedibus exstiterunt." atque heic discito animalculum illud, quod culices appellamus, tametsi vel minimum sit, nihilo tamen minus longe nobis esse molestissimum. non enim tantum cutis superficiem stringit atque laedit, obscuris morsibus graves molestosque pruritus efficiens: verumetiam per nares et aures ad interiora vi penetrare nititur, ac praeterea pupulis oculorum, in eos involando, detrimentum adfert. deinde heic etiam Aegyptiorum excantores consimile quiddam moliri nitebantur, ut culices producerent, sed irrito conatu. quamobrem Pharaoni confessi sunt haec dei digito effecta esse.

Quarta plaga deus Aegyptios per muscas, quas caninas appellant, vexavit. nam, ut sacris est in litteris, efficiente deo tanta muscarum vis atque multitudo in Pharaonis aedes et totam Aegyptum est immissa, ut ab eis universa regio devastaretur. nimirum non sine dolore animal hoc in corpora morsu penetrat. cumque caninas appellari muscas audis, hoc ipsum ad impudentiam et ferocitatem animalis referto, quod involans in morem teli solos in Aegyptios irruebat. hoc

V. 118 σα ἦν. καὶ τοῦτο δηλοῦσα ἡ γραφὴ κατὰ λέξιν οὕτω φησί
„καὶ παραδοξάσομαι τὴν γῆν Γεσέμ, ἐφ' ἧς ὁ λαός μου ἐπ'
αὐτῆς, ἐφ' ἧ οὐκ ἔστιν ἐκεῖ ἡ κυνόμυια, ἵνα ἴδῃς ὅτι ἐγὼ
κύριος ὁ θεός σου πάσης τῆς γῆς. καὶ διαστελῶ ἀναμέσον
τοῦ ἐμοῦ λαοῦ καὶ ἀναμέσον τοῦ σοῦ λαοῦ." δέεται οὖν
ἐπὶ τούτοις ὁ Μωσῆς τοῦ θεοῦ, καὶ περιεῖλε τὴν κυνόμυιαν
ἀπὸ τοῦ Φαραώ, καὶ οὐκ ἠθέλησεν ἐξαποστεῖλαι αὐτούς.

C Πέμπτη πληγὴ ἡ τῶν τετραπόδων φθορά. „ἰδού" γάρ
φησι πρὸς Φαραὼ ὁ Μωσῆς, „ὅτι χεὶρ κυρίου ἔσται ἐν πᾶ-
σι τοῖς κτήνεσί σου, καὶ θάνατος μέγας σφόδρα. καὶ ἐποίη-
σε κύριος τὸ ῥῆμα τοῦτο, καὶ ἐτελεύτησαν πάντα τὰ κτήνη
τῶν Αἰγυπτίων, ἀπὸ δὲ τῶν κτηνῶν τῶν υἱῶν Ἰσραὴλ ἐτε-
λεύτησεν οὐδὲ ἕν. ἐβαρύνθη οὖν ἡ καρδία Φαραώ, καὶ οὐκ
ἀπέστειλε τὸν λαόν.

Ἕκτη πληγὴ ἡ τῶν φλυκτίδων ἐπίθεσις, καθά φησιν
„ἐλάλησε κύριος καὶ ἔλαβε Μωσῆς τὴν αἰθάλην τῆς καμίνου
D ἐναντίον Φαραώ, καὶ ἔπασεν αὐτὴν εἰς τὸν οὐρανόν. καὶ
ἐγένετο ἕλκη, φλυκτίδες ἀναζέουσαι ἔν τε τοῖς ἀνθρώποις καὶ
ἐν τοῖς τετράποσι, καὶ οὐκ ἠδύναντο οἱ φαρμακοὶ στῆναι
ἐναντίον Μωσεῖ διὰ τὰ ἕλκη. εἶπε δὲ κύριος πρὸς Μωσῆν

indicare litterae sacrae volentes his ipsis verbis usae sunt (Exod. 8 22) „Gesemam vero, qua in terra populus meus degit, praeter opinionem hominum immunem faciam, ut in ea nullae sint muscae; quo scilicet intelligas me dominum deum esse in terris, qui discrimen inter meum tuumque populum ponam." secundum haec iterum Moses deum deprecatur, qui muscas illas caninas a Pharaone populoque ipsius abegit ita ut ne una quidem reliqua foret. sed Pharao tum quoque suum pertinaciter obduravit animum, nec populum dimittere voluit.

Itaque secuta est plaga quinta, videlicet iumentorum et pecorum omnium lues. sic enim sacrae litterae narrant (Exod. 9 3) „dixit Pharaoni Moses, en manum suam dominus in omnia tua iumenta sic immittet, ut ingens subsecutura sit lues. fecitque dominus, quod minatus erat, et omnis generis Aegyptiorum pecoribus mortuis, ne unum quidem iumentum ex iis quae Israelici possidebant interiit." nihilominus obfirmatus est Pharaonis animus, nec abeundi potestatem populo fecit.

Quamobrem plagam deus sextam immisit, quae pustularum erat exulceratio, sicut auctor historiae sacrae narrat. quemadmodum, inquit (Exod. 9 11), dominus praeceperat, sumpsit Moses favillam de calcaria, spectante Pharaone, atque illam in aëra sparsit. tum ulcera pustulaeque ferventes exstitere tam in hominibus quam caeteris quadrupedibus, adeo ut ipsi etiam venefici amplius propter ulcera con-

ὄρθρισον τὸ πρωΐ, καὶ εἰπὲ πρὸς Φαραώ. εἰ μὴ ἐξαποστείλῃς τὸν λαόν μου, ἀποστείλας τὴν χεῖρά μου πατάξω σε καὶ τὸν λαόν σου θανατώσω. καὶ ἕνεκεν τούτου διετηρήθης, ἵνα ἐνδείξωμαι ἐν σοὶ τὴν δύναμίν μου, καὶ ὅπως διαγγελθῇ τὸ ὄνομά μου ἐν πάσῃ τῇ γῇ."

Ἑβδόμη πληγὴ ἡ διὰ χαλάζης καὶ πυρός. „ἔβρεξε γὰρ P. 153 ὁ κύριος χάλαζαν ἐπὶ πᾶσαν γῆν Αἰγύπτου, καὶ διέτρεχε τὸ πῦρ ἐπὶ τῆς γῆς. ἐπάταξε δὲ ἡ χάλαζα πάντα ὅσα ἦν ἐν τῷ πεδίῳ, ἀπὸ ἀνθρώπου ἕως κτήνους. πλὴν ἐν γῇ Γεσέμ, οὗ ἦσαν οἱ υἱοὶ Ἰσραήλ, οὐκ ἐγένετο ἡ χάλαζα." δέεται οὖν καὶ αὖθις ὁ Μωσῆς τοῦ θεοῦ κατὰ τὸν λόγον Φαραώ, καὶ ἐπαύσαντο αἱ φωναὶ καὶ ἡ χάλαζα. γίνωσκε δὲ ὅτι τοὺς Αἰγυπτίους οὐ μόνον ἡ ἐξαίσιος φορὰ χαλάζης τε ἅμα καὶ πυρός, ἀλλὰ καὶ τὸ τοῦ πράγματος κατέπληττεν ἀηθες· οὐδὲ γὰρ τὴν χειμερινὴν ὥραν ἡ Αἴγυπτος παραδέχεται διά γε τὸ μὴ πόρρω τῆς κεκαυμένης εἶναι ζώνης· τοῦ γὰρ πυρώ- B δους ἐκεῖθεν ῥέοντος ἀφανῶς τὰ κύκλῳ πάντα λεαίνεσθαι πέφυκεν.

Ὀγδόη πληγὴ ἡ διὰ τῶν ἀκρίδων. ἐπῆρε γὰρ ὁ Μωσῆς τὴν ῥάβδον εἰς τὸν οὐρανόν· καὶ κύριος ἐπήγαγεν ἄνεμον νότον ὅλην τὴν ἡμέραν καὶ ὅλην τὴν νύκτα, καὶ ἀνέλαβε τὴν

sistere coram Mose non possent. secundum haec deus hoc modo Mosem compellavit: cras summo mane sic Pharaonem alloquere. ni populum meum dimiseris, exserta manu mea te percutiam populumque tuum morte multabo. scitoque adeo te illa de causa incolumen relinqui, ut potestatem in te meam declarem meumque nomen per universum terrarum orbem celebretur.

Septima plaga fuit immissio grandinis et ignis. nam grandine prius per universum Aegypti solum delapsa etiam ignis undique discurrit. grando ipsa nihil non eorum prostravit quae in terra erant, tum homines tum iumenta. non tamen in Gesemae solo, quod incolebant Israelici, grando quicquam detrimenti dedit. rursum vero Moses obsecrante Pharaone deum exorat, quo facto tonitrua et grandines cessarunt. atque heic notato non solum grandinis et ignis inusitatam ex aëre delationem Aegyptiis terrori fuisse, sed etiam ipsius insolentiam rei. nam hiemem Aegyptus nullam experitur, idque propterea quod a zona quam torridam vocant prope adsit. nimirum ardore illinc occulte promanante, vicinae in orbem regiones universae leniori coelo fruuntur.

Octava deinceps plaga vexavit Aegyptios, quae locustarum erat immissio (Exod. 10 12). nam Mose baculum in aëra protendente, dominus australem ventum adduxit die toto totaque nocte, qui locu-

ἀκρίδα, καὶ ἀνήγαγεν αὐτὴν ἐπὶ πᾶσαν τὴν γῆν Αἰγύπτου. ἐφ' ᾧ καὶ ἡμάρτηκα ἔλεγε τῷ θεῷ ὁ Φαραώ. δέεται οὖν αὖθις ὁ Μωσῆς τοῦ θεοῦ, καὶ ἐξάγει ἄνεμον ἀπὸ τῆς θαλάσσης, καὶ πᾶσαν τὴν ἀκρίδα εἰς τὴν ἐρυθρὰν ἐνέβαλε θάλασσαν. περὶ δὲ αὐτῆς καὶ Δαβὶδ οὕτω φησὶν „εἶπε, καὶ ἦλ-
C θεν ἀκρὶς καὶ βροῦχος οὗ οὐκ ἦν ἀριθμός." βροῦχος δέ ἐστιν ἡ νεογενὴς καὶ ἄπτερος ἀκρίς.

Ἐννάτη πληγὴ ἡ διὰ τοῦ ψηλαφητοῦ σκότους. „ἐξέτει-
V. 119 νε γὰρ Μωσῆς τὴν χεῖρα αὐτοῦ εἰς τὸν οὐρανόν, καὶ ἐγένετο σκότος καὶ γνόφος καὶ θύελλα ἐπὶ πᾶσαν τὴν γῆν Αἰγύπτου τρεῖς ἡμέρας. οὐκ εἶδεν οὐδεὶς τὸν ἀδελφὸν αὐτοῦ, καὶ οὐκ ἐξανέστη οὐδεὶς ἐκ τῆς κοίτης αὐτοῦ τρεῖς ἡμέρας· πᾶσι δὲ τοῖς υἱοῖς Ἰσραὴλ ἦν φῶς ἐν πᾶσιν οἷς κατεγίνοντο." ἐπειδὴ γὰρ ἀφέντες τὸν κτίστην τοῖς κτίσμασιν ἐλά-
D τρευον, διὰ τῶν κτισμάτων αὐτοὺς καὶ μάλα δικαίως ἐπαίδευε. διὰ γὰρ τοῦτο καὶ τῶν ἄλλων μερῶν καταλαμπομένων ἡ Αἴγυπτος μόνη τῷ ψηλαφητῷ περιεστοιχίζετο σκότει. καὶ γὰρ πρὸς ἀναγκαίαν ἔξοδον Αἰγύπτιος ἐβιάζετο, τὴν θύραν, καὶ πολλὰ ψηλαφῶν εὑρεῖν οὐκ ἐδύνατο.

Δεκάτη πληγὴ ὁ τῶν πρωτοτόκων θάνατος. τελευταία μὲν ἡ τοιαύτη πληγή, τῇ δυνάμει δὲ καὶ τῷ πόνῳ, καθά φησι καὶ Δαβίδ, ἀπαρχὴ καὶ πρώτη πασῶν. περὶ γὰρ μέ-

stas sublatas in universum Aegyptiorum solum dispersit. quo factum ut Pharao se in deum deliquisse fateretur. itaque Moses iterum deprecatur ad deum, ac ventum educit e mari, cunctasque locustas in mare rubrum abiectas demersit. de hisce locustis Davides in haec verba meminit (Psalm. 104 34) „ipso iubente locustae venerunt et bruchi exstiterunt innumerabiles." vocamus autem bruchos recens natas et alarum adhuc expertes locustas.

Nonam plagam deus per tenebras tactiles inflixit. quippe manum suam Mose coelum versus porrigente mox tenebrae caligo tempestasque tanta per Aegyptum universam exstitit, ac toto quidem triduo, ut neque fratrem suum quisquam illo triduo cerneret neque de lecto suo surgeret. interim omnes Israelici lucem suis in sedibus habebant. quia enim Aegyptii rerum opifice relicto creatis religiose serviebant, iccirco deus ipsos aequissimo iure per ipsa creata castigavit. nam propter eam ipsam causam caeteris mundi partibus luce fruentibus Aegyptus sola tactilibus erat involuta contectaque tenebris, et quidem tantis ut cum Aegyptius aliquis rei necessariae curandae causa exire conabatur, multum palpando ianuam reperire non posset.

Subsecuta demum est plaga decima, nimirum primigenorum caedes, postrema quidem omnium calamitas, quod temporis attinet seriem, verum declaratae in ea potestatis divinae miseriaeque respe-

σας νύκτας καὶ ἄνευ νόσου ἀνῃροῦντο τὰ τέκνα αὐτῶν. ἐγειρόμενοι δὲ τὸ πρωΐ, καὶ τὰ φίλτατα νεκρὰ ὁρῶντες, καὶ μηκέτι κατέχεσθαι δυνάμενοι, τῷ Φαραὼ κατεβόων, ἐφ' ᾧ P. 154 καὶ τὸν λαὸν ἄκων ἀπέλυσε.

Πλὴν ἐπὶ τούτοις, ἀγαπητέ, μὴ ἀνθίστασο, μηδὲ λέγε ὅτι εἰ ὁ θεὸς σκληρύνει τὴν καρδίαν Φαραώ, τίνος ἕνεκεν ἐπιμέμφεται αὐτῷ σκληρυνομένῳ; γίνωσκε γὰρ ὅτι ἡ ἀνοχὴ τῶν μαστίγων αἰτία τῆς πωρώσεως αὐτῷ γέγονεν, ὡς ὁ μέγας φησὶ Βασίλειος. οὐδὲ γὰρ εἴκουσαν τὴν ἐκείνου καρδίαν λαβὼν καὶ πειθομένην αὐτοῦ τοῖς προστάγμασι, πρὸς τὸ σκληρὸν καὶ ἀπειθὲς μετεπλάσατο. τῇ μακροθυμίᾳ λοιπὸν ἐπὶ πλέον ἐποίει ταύτην σκληρύνεσθαι. ὅρα γὰρ ὡς ἐπειδὰν ἐπῆγεν ἐπ' αὐτὸν τὰς πληγάς, ἀπολύειν τὸν λαὸν ἐπηγγέλλετο, B ἡνίκα δὲ ἠφίει τῶν βασάνων αὐτόν, ἐσκληρύνετο. ὃ δὴ καὶ ἡ γραφὴ σημαίνουσα ἔλεγεν „ἰδὼν δὲ Φαραὼ ὅτι γέγονεν ἀνάψυξις, ἐβάρυνε τὴν καρδίαν αὐτοῦ, καὶ οὐκ εἰσήκουσεν αὐτῶν. ἀλλὰ καὶ αὐτοῦ λέγοντος ἄκουσον τοῦ θεοῦ ὅτι εἰς αὐτὸ τοῦτο ἐξήγειρά σε, ὅπως ἐνδείξωμαι ἐν σοὶ τὴν δύναμίν μου, καὶ ὅπως διαγγελθῇ τὸ ὄνομά μου ἐν πάσῃ τῇ γῇ. μὴ

17. αὐτοῦ] αὐτοῦ τοῦ P.

tu, quemadmodum et Davides ait (Psalm. 104 36), facile princeps omnium ipsaeque veluti primitiae. nam nocte media, núllo urgente morbo, liberi Aegyptiorum interficiebantur. cum autem diluculo expergiscerentur et carissimos natos extinctos viderent, non iam amplius se continere valentes cum clamoribus Pharaonem adibant; quibus ille permotus populum tandem vel invitus dimisit.

Caeterum nolo te, dilecte fili, hac in narratione mihi refragrando adversari, nec huiusmodi quiddam obiicere: si deus animum Pharaonis obstinatum reddidit, quamobrem pertinaciter et obfirmato animo sibi reluctanti irascitur? nimirum scire debes adflictionum tolerantiam fuisse causam unicam, sicuti magnus ille Basilius loquitur, quamobrem Pharao tantopere suum animum obduraret. deus enim, qui animum eius haud cedentem suisque mandatis obtemperantem accepisset, nequaquam illum ad duritiem pertinaciamque finxit. de quo consequi necesse est dei tolerantia factum fuisse ut magis animus ipsius obfirmaretur. nam vide mihi obsecro, quo pacto res gesta fuerit. quoties hominem calamitatibus et plagis adficeret, dimissurum ille se populum pollicebatur. at ubi e diverso finem adfligendi faciebat, obstinatior evadebat. hoc indicare volentes litterae sacrae verbis huiusmodi sunt usae „cum Pharao se tanto e malo respirasse cerneret, in obfirmatione animi pristina perstitit, nec Aaroni Mosique paruit." quin etiam cum deum ipsum dicentem audis „excitavi te illam ipsam ob causam, ut potestatem in te meam declarem per universum orbem terrarum," noli animo ancipiti ac dubitante dicere: itane pro-

λέγε διαπορούμενος, ἵνα γνωρίζῃς τὴν δύναμίν σου, κολάζεις
C ἄνθρωπον; ἄφες αὐτά, καὶ πρόσχες τῷδε τῷ ὑποδείγματι.
ἡ ἰατρικὴ τέχνη ὠφέλιμόν τι ποιῆσαι τῇ ἀνθρωπίνῃ φύσει
σπουδάζουσα ζῶντας ἀνθρώπους ἀνέτεμεν. ἀλλ' ἦν μὲν καὶ
τοῦτο ἄδικον, τὸ διὰ τὴν ἑτέρων σωτηρίαν ζῶντας ἄλλους
θύεσθαι. τί οὖν ἐποίουν οἱ ἀρχαῖοι; τὸν κατακριθέντα θα-
νάτῳ ὑποπεσεῖν διὰ λῃστείαν ἢ φαρμακείαν, τοῦτον λαμβά-
νοντες ἀνέτεμνον ζῶντα, οὔτε ἀδικοῦντες τὸν κολαζόμενον
καὶ τῇ ἀνθρωπίνῃ φύσει βοήθειαν ἐφευρίσκοντες. ἀνέτεμνον
οὖν ἐκεῖνον ζῶντα, ἵνα ἔτι σπαιρόντων τῶν σπλάγχνων κα-
D ταμάθωσι τὴν ἐνέργειαν. οὕτω μὲν οὖν καὶ ὁ ἀριστοτέχνης
θεὸς διὰ τοῦ ἀνιάτως ἡμαρτηκότος Φαραὼ σημεῖα μεγάλα
δείκνυσι, τὸν μὲν ἄξιον τιμωρίας κολάζων, τοὺς δὲ μετὰ
V. 120 ταῦτα γενομένους ἄριστα θεραπεύων, σωτηρίας ὑπόθεσιν τὴν
ἐκείνου τιμωρίαν αὐτοῖς παρεχόμενος. καὶ περὶ μὲν τούτων
οὕτως.

Μετὰ δὲ τὴν δεκάτην πληγὴν θύουσι τὸ πρόβατον οἱ
Ἑβραῖοι καὶ οὕτω τῆς Αἰγύπτου ἐξίασι κατὰ τὴν τεσσαρεσκαι-
δεκάτην τῆς σελήνης. ἐφ' ᾧ καὶ νῦν ἔτι κατὰ τὸ ἔθος οὕτω
P. 155 θύουσι, τὴν ἑορτὴν τοῦ πάσχα καλοῦντες· σημαίνει δὲ ὑπερ-
βασίαν. ἀλλ' ὡς Ἰώσηπός φησι, διότι κατ' ἐκείνην τὴν ἑσπέ-
ραν ὁ θεὸς αὐτῶν ὑπερβὰς Αἰγυπτίοις ἐναπέσκηψε τὴν νό-

pterea punis hominem, ut potestatem tuam testatam facias? omitte istaec verba, et huic exemplo animum adverte. ars medica nonnihil hominum naturae utilitatis adferre magno studio volens vivos homines secare instituit. verum enimvero periniquum et inhumanum erat aliorum salutis causa vivos alios mactari. quid igitur homines ilii prisci tandem fecerunt, nimirum sumtis iis qui vel alios depraedati fuissent vel veneno sustulissent at propterea condemnati ad mortem essent, vivos secabant. hoc modo fiebat ut neque puniendo homini facerent iniuriam et naturae mortalium aliquid adiumenti reperirent. itaque vivum aliquem talem secabant, ut visceribus adhuc motum suum retinentibus eorum effectiones cognoscerent. eodem pacto deus artifex ille praestantissimus in Pharaone insanabiliter delinquente prodigia quaedam ingentia edit, tum ut ipsum poenas commeritum puniret, tum ut posteris optime consuleret, quibus Pharaonis supplicium origo salutis existeret. et haec quidem in hunc modum explicata sunto.

Post decimam hanc calamitatem Aegyptiorum Israelici agnum mactant, atque ita demum excedunt Aegypto, die mensis illis decimoquarto. unde mos inolevit ut etiam nunc agnum ita mactent, ac festum illud Pascha nuncupant, quae vox transitum significat, quod nimirum, Iosepho teste, deus illo vespere transiens Israelicos cae-

σιν. φεύγοντες δ' οὖν οἱ Ἑβραῖοι, καὶ μηδενὸς τῶν ἀπὸ τῆς γῆς εὐποροῦντες διὰ τὴν ἐρημίαν, πεφυραμένοις τοῖς ἀλεύροις καὶ πεπηγόσι μόνον ὑπὸ βραχείας θερμότητος τοῖς ἀπ' αὐτῶν ἄρτοις διετρέφοντο. καὶ τούτοις ἐπὶ τριάκοντα ἡμέραις ἐχρήσαντο· πρὸς πλείονα γὰρ οὐκ ἐξήρκεσαν χρόνον αὐτοῖς ὅσα ἐκ τῆς Αἰγύπτου ἐπεφέροντο. καὶ τὰ μὲν τοῦ Ἰωσήπου τοιαῦτα.

Ὁ δὲ μέγας Βασίλειος καὶ τάδε περὶ τοῦ Μωσέως φη- B
σίν, ὅτι οὗτός ἐστιν ὁ μαρτυρηθεὶς ἀστεῖος εἶναι παρὰ θεῷ ἔτι ὑπομάζιος ὤν· ὃν εἰσεποιήσατο μὲν ἡ θυγάτηρ Φαραώ, ἐξέθρεψε δὲ βασιλικῶς, τοὺς σοφοὺς τῶν Αἰγυπτίων διδασκάλους αὐτῷ τῆς παιδεύσεως ἐπιστήσασα· ὃς τὸν ὄγκον τῆς τυραννίδος μισήσας, καὶ πρὸς τὸ ταπεινὸν τῶν ὁμοφύλων ἀναδραμών, εἵλετο συγκακουχεῖσθαι τῷ λαῷ τοῦ θεοῦ· ὁ φυγαδευθεὶς παρὰ τῶν εὐεργετηθέντων, κἀντεῦθεν εἰς τὴν Αἰθιοπίαν καταλαβών, κἀκεῖ πᾶσαν σχολὴν ἀπὸ τῶν ἄλλων ἄγων καὶ ἐν τεσσαράκοντα ὅλοις ἔτεσι τῇ θεωρίᾳ τῶν ὄντων ἀποσχολάσας· ὃς ὀγδοηκοστὸν ἤδη γεγονὼς ἔτος εἶδε τὸν C
θεὸν ὡς ἀνθρώπῳ ἰδεῖν δυνατόν, μᾶλλον δὲ ὡς οὐδεὶς τῶν ἄλλων ὑπῆρξε κατὰ τὴν μαρτυρίαν αὐτοῦ τοῦ θεοῦ, „ὅτι ἐὰν γένηται προφήτης ὑμῶν τῷ κυρίῳ, ἐν ὁράματι αὐτῷ γνωσθήσομαι καὶ ἐν ὕπνῳ λαλήσω αὐτῷ, οὐχ οὕτως ὡς ὁ θε-

dem in Aegyptios immiserit. hinc fugam arripientes Hebraei, cum terrae fructuum copiam nullam haberent, quod essent illa loca deserta, saltem panibus victitabant, qui de farina leviter subacta et exiguo calore percocta facti essent. his ad trigesimum usque diem sunt usi, non sufficientibus ad longius temporis spatium farinis quas ex Aegypto secum attulerant. haec a Iosepho sic memoriae prodita sunt.

Magnus autem Basilius noster huiusmodi quaedam de Mose adiecit. hic ille fuit quem deus ipse scitum ac elegantem esse praedicavit, etiam tum quum adhuc mammam sugeret; quem filia Pharaonis adoptavit, quem regio more educavit, praefectis ei sapientibus Aegyptiorum magistris, a quibus erudiretur; qui tyrannidis regnique fastum aspernatus et ad humilitatem suae nationis hominum reversus una cum dei populo aerumnis vexari maluit; qui ab iis eiectus in exilium de quibus bene merebatur, in Aethiopiam pervenit, ibique a cunctis rebus aliis otiosus ac liber totis annis quadraginta contemplationi universi huius intentus vacavit; qui annum iam octogesimum agens deum conspexit, quatenus homini deum intueri fas est, vel potius eo pacto quo nemini hominum videre deum contigit, ipsius etiam dei testimonio, qui dixit (Num. 12 6) „si quis erit vestrum domini vates, illi ego per visa notus fiam et in somnis cum eo loquar. at

πόλιν προδιδοῦσα. γίνεται ταῦτα, τελεῖται τὰ τοῦ γάμου. τοὺς Αἰθίοπας ἀναιρεῖ, καὶ τοὺς Αἰγυπτίους εἰς τὴν ἑαυτῶν ἀπάγει γῆν. ἔκτοτε οὖν φθόνος κατὰ Μωσέως· ἐπτοοῦντο γὰρ μήποτε κατ' Αἰγυπτίων νεωτερίσῃ. μανθάνει ταῦτα, καὶ λαθὼν ἔξεισιν ἐκεῖθεν, καὶ τῶν ὁδῶν φυλασσομένων διὰ τῆς ἐρήμου ποιεῖται τὸν δρασμόν. ἐφίσταται τῷ φρέατι ἔνθα τοῦ Ῥαγουὴλ αἱ θυγατέρες τὰ θρέμματα ἐπότιζον. ἀνήνεκται τῷ Ῥαγουὴλ τὰ περὶ τοῦ Μωσέως, τίς τε ἦν καὶ ὅπως ταῖς
P. 150 αὐτοῦ θυγατράσιν ἐπαμῦναι οὐκ ὤκνησεν· ἐφ' ᾧ καὶ γαμβρὸν τὸν Μωσέα ποιεῖ. ὁ μέντοι Μωσῆς τοιούτων τυχὼν τῶν παρὰ τοῦ Ἰοθόρου (τοῦτο γὰρ ἦν ἐπίκλημα τῷ Ῥαγουήλῳ) διῆγεν αὐτόθι ποιμαίνων τὰ βοσκήματα. τηνικαῦτα καὶ κατ' αὐτὸ τὸ Σίναιον περιάγει αὐτά, ἔνθα καὶ τὸν θεὸν ὁρᾷ ἐκ τῆς βάτου καλοῦντα αὐτόν. ὁ θεὸς ἀποστέλλων πρὸς Φαραὼ τὸν Μωσέα, καὶ ὑπισχνούμενος συμπαρεῖναι αὐτῷ, πρὸς πίστιν τοῦ λόγου εἰς δράκοντα μεταβάλλει τὴν ῥάβδον αὐτοῦ. ὁ μέντοι Μωσῆς παρρησιασάμενος πρὸς Φαραώ, τὴν ῥάβδον
B αὐτοῦ κατὰ γῆς τε ῥίπτει καὶ εἰς ὄφιν μεταβάλλει. οὐκοῦν περιιοῦσα τὰς τῶν Αἰγυπτίων ῥάβδους, αἳ δράκοντες ἐδόκουν, κατήσθιε. καὶ οὕτω μὲν ὁ Ἰώσηπος, ὁ δὲ Νυσσαεὺς θεῖος Γρηγόριός φησιν ὅτι διὰ τοῦτο ἐπὶ μὲν τῆς βάτου καὶ τοῦ

tione facta urbis proditionem esse pollicitam. his eius postulatis Mosem annuisse; nuptias fuisse celebratas, Aethiopes interfectos, Aegyptios in solum patrium reductos. ab eo tempore fuisse Mosem expositum invidiae, formidantibus Aegyptiis ne aliquando etiam adversus se novas res moliretur. iis animadversis subtraxisse se Mosem, et cognito vias itineraque passim obsideri a custodibus, per solitudinem instituta fuga saluti suae consuluisse. hinc ad puteum pervenisse, ubi filiae Ragueli paternum pecus adaquabant. mox relata Raguelo fuisse quae Moses fecisset, quis esset, quo pacto filiabus ipsius sine cunctatione succurrisset. his illum rebus permotum Mosem sibi generum adscivisse. talibus adfectum Mosem beneficiis ab Iothoro (id enim Raguelo cognomentum fuisse) cum eo victitasse ac soceri pecus pavisse. cumque illud iuxta Sinaeum montem circumduceret, deum ab eo conspectum fuisse, qui eum ex medio rubo arcesseret. secundum haec Mosem ablegatum ad Pharaonem a deo, qui ei polliceretur se semper ipsi adfuturum; utque promisso fides fieret, baculum eius in draconem commutatum fuisse. tum Mosem intrepide semet apud Pharaonem gerentem virgam suam humi proiecisse ac in serpentem convertisse. illam vero virgas Aegyptiorum, quae esse dracones viderentur, obeuntem devorasse. huiusmodi sane Iosephi de his rebus gestis exstat narratio. caeterum divinus ille vir Gregorius Nyssensis ait propterea

Ἰσραὴλ ὁ θεὸς τὴν ῥάβδον εἰς ὄφιν μεταβάλλει, ἐπὶ δὲ τοῦ
Φαραὼ εἰς δράκοντα, ἵνα τῷ μεγέθει καταπλήξῃ αὐτούς. δῆ-
λον δὲ ὅτι ἀληθὲς τοῦτο τὸ σημεῖον ἦν, τὸ δὲ τῶν μάγων
φαντασία· διὸ καὶ κατεπόθη ὑπὸ τῆς ἀληθείας ἡ φαντασία.
ἀλλ' οὐκ ἐντεῦθεν ὁ Φαραὼ πείθεται, μαίνεται δὲ μᾶλλον,
καὶ τοῖς Ἰουδαίοις ἐπὶ πλέον ἐπιτίθεται. ὅθεν καὶ μαστίζει C
αὐτὸν ὁ θεός. ταῖς ἐπενεχθείσαις δὲ κατ' αὐτοῦ μάστιξι καὶ
τοιαύτην λέγει προσεῖναι μάστιγα· φθειρῶν γὰρ τοῖς Αἰγυ-
πτίοις ἐξήνθησεν ἄπειρόν τι πλῆθος ἔνδοθεν ἀναδιδομένων,
ὑφ' ὧν ἐκεῖνοι κακῶς ἀπώλοντο, μήτε λουτροῖς μήτε χρίσεσι
φαρμάκων διαφθεῖραι τὸ γένος αὐτῶν δυνάμενοι. καὶ οὕτω
μὲν ὁ Ἰώσηπος.

Αἱ πληγαὶ δέ, ἀγαπητέ, ἃς ὁ θεὸς ἐπήνεγκε τῷ Φαραὼ
μὴ πειθομένῳ τὸν λαὸν ἀπολῦσαι, δέκα τὸν ἀριθμὸν κατὰ
τὸ ἐν ἐξόδῳ γεγραμμένον εἰσί· δέκα καὶ γὰρ κολάζει πλη- D
γαῖς διά γε τὸν τέλειον ἀριθμὸν τοὺς ἡμαρτηκότας τὰ τέλεια.
καὶ πρώτη μὲν ἡ τῶν ἐν Αἰγύπτῳ πάντων ὑδάτων εἰς αἷμα P. 151
μεταβολή. διὰ τί δὲ καὶ τίνος ἕνεκεν ἐξ ὑδάτων αὐτοὺς τὰ V. 117
πρῶτα κολάζει ὁ θεός; διότι τὸ ὕδωρ διαφερόντως ἐτίμων,
ἀρχὴν τοῦτο τῆς τῶν ὅλων γενέσεως εἶναι οἰόμενοι. ἔνθεν
τοι καὶ πολλοὶ τηνικαῦτα τῶν ἀνθρώπων ἐφθάρησαν· ἐπὶ

deum in rubo quidem conspectum virgam in serpentem mutasse, coram Pharaone vero in draconem, ut ipsa magnitudine formidinem hominibus incuteret. est autem perspicuum prodigium istuc reapse factum esse, cum magorum prodigia nil nisi merae forent praestigiae, quae oculos praestringerent. iccirco imaginaria isthaec species a veritate in nihilum redigebatur. neque tamen hoc modo parere Pharao voluit, sed magis etiam furens Hebraeos gravius urget. quapropter subsecuta flagella poenaeque dei sunt, et inter alias quibus est adfectus, etiam huiusmodi quandam exstitisse Iosephus tradit. infinita pediculorum multitudo apud Aegyptios proveniebat, ex interioribus eorum partibus scaturiens, a quibus excarnificati misere peribant, nec vel lavacris vel pharmacorum inunctionibus pediculos perdere poterant. hoc modo rem Iosephus narrat.

Te autem, dilecte fili, scire volo plagas illas, quibus Pharaonem adflixit deus, persuaderi sibi non ferentem ut populum Israeliticum dimitteret, numero decem fuisse, quemadmodum in libro qui est de Israelitarum ex Aegypto profectione perscriptum legimus. nimirum decem plagae propter huiusce numeri perfectionem, eos divexarunt qui perfecte deliquerant. princeps omnium erat aquarum in sanguinem per Aegyptum universam commutatio. quamobrem istuc factum? cur per aquas deus eos primo loco punit? quod aquam eximie colerent, quam esse principium ortus rerum universarum existimabant.

γὰρ ἑπτὰ ἡμέρας ἡ πάντων τῶν ὑδάτων ἐξαιμάτωσις ἐπεκρά- B τησε, τοῦ Ἀαρὼν διὰ τῆς βακτηρίας, καθὼς ἐλάλησε Κύριος, τὸ τέρας τοῦτο τελέσαντος. ὅτι δὲ οὐ κατὰ φαντασίαν ἐρυθρὰ τὰ ὕδατα γέγονεν, ἀλλὰ καὶ ἡ γεῦσις αὐτῶν μετεβλήθη καὶ ἄλλη ἐξ ἄλλης ἐγένετο, ἡ τῶν ἰχθύων τελευτὴ τοῦτο δεδήλωκε· „καὶ οἱ ἰχθύες" γάρ φησιν „οἱ ἐν τῷ ποταμῷ ἐτελεύτησαν, καὶ ἐπώζεσεν ὁ ποταμός, καὶ οὐκ ἠδύναντο οἱ Αἰγύπτιοι πιεῖν ὕδωρ ἐκ τοῦ ποταμοῦ, καὶ ἦν τὸ αἷμα ἐν πάσῃ γῇ Αἰγύπτου."

Δευτέρα πληγὴ ἡ ἐξ ὑδάτων τῶν βατράχων ἀνάδοσις. „καὶ ἐξέτεινε" γάρ φησιν „ὁ Ἀαρὼν τὴν χεῖρα αὐτοῦ ἐπὶ τὰ C ὕδατα Αἰγύπτου, καὶ ἀνήγαγε τοὺς βατράχους, καὶ ἐκάλυψε τὴν γῆν Αἰγύπτου, καὶ εἰσήρχοντο εἰς τοὺς οἴκους αὐτῶν καὶ εἰς τὰ ταμεῖα αὐτῶν." ὡσαύτως καὶ οἱ ἐπαοιδοὶ τῶν Αἰγυπτίων ἐποίησαν ταῖς φαρμακείαις αὐτῶν, καθὰ δὴ καὶ ἐπὶ τῇ ἐξαιματώσει τοῦ ὕδατος. ἀλλ' ἱκέτευε Φαραὼ τὸν Μωσέα δεηθῆναι τοῦ θεοῦ περὶ τοῦ δοῦναι αὐτῷ τῶν βατράχων ἀπαλλαγήν· οἷον γὰρ κακὸν οἱ βάτραχοι τῶν ὑδάτων ἀποξενωθέντες καὶ ἐπὶ πλεῖστον ἀποχερσωθέντες, ἑρπετῶν ἰοβόλων κατ' οὐδὲν διαφέρουσι. γίνεται ταῦτα, δέεται τοῦ θεοῦ ὁ Μωϋσῆς, καὶ τελευτῶσιν αὐτίκα οἱ βάτραχοι, κἂν ὁ Φαραὼ

propterea tum magna hominum multitudo periit. quippe totos septem dies haec omnium aquarum in sanguinem commutatio duravit, Aarone per baculum suum, ut praeceptum ei divinitus fuerat, hoc prodigium efficiente. neque vero specie tenus aquas tum rubuisse, sed gustum quoque illarum prorsus immutatum esse, aquis ipsis in rem aliam conversis, colligi vel inde perspicue potest quod pisces extinguebantur. sic enim perscriptum sacris in litteris legimus (Exod. 7 21) „et emortuis fluminis piscibus tantus exstitit foetor fluminis, ut Aegyptii de eius aqua bibere non possent, totaque adeo Aegyptus hoc ipso sanguine redundabat."

Altera plaga fuit ranarum ex aquis scaturientum illuvies. sic enim est sacris in litteris (Exod. 8 6) „Aaro manum suam protendit in aquas Aegypti, quo facto tot exstitere ranae ut eis Aegypti solum coopertum sit. simul Aegyptiorum domos illae ingrediebantur." idem veneficiis suis imitati sunt excantores Aegyptiorum, quemadmodum et antea fecerant, aquam in sanguinem mutando. sed tamen necesse habuit Pharao, supplex ut Mosem oraret, quo ranarum a se depellendarum causa deum deprecaretur. quantum enim mali esse putas aquis effusas ranas ac passim per terram sparsas? nihil profecto venenosis a reptilibus differunt. impetrat postulata Pharao; deum obsecrante Mose continuo ranae exspirant. nihilominus Pharao, cum

θεασάμενος ὅτι γέγονεν ἀνάψυξις, ἀπειθείᾳ τῇ προτέρᾳ ἐνέ- D
μεινε.

Τρίτη πληγὴ ἡ ἀπὸ τοῦ χοὸς τῶν σκνιπῶν ἀνάδοσις. „ἐξέτεινε" γάρ φησιν „Ἀαρὼν τῇ χειρὶ τὴν ῥάβδον, καθὼς ἐλάλησε κύριος, καὶ ἐπάταξε τὸ χῶμα τῆς γῆς, καὶ ἐγένοντο οἱ σκνῖπες ἔν τε τοῖς ἀνθρώποις καὶ τοῖς τετράποσι." γίνωσκε δὲ ὅτι τὸ ζῶον οἱ σκνῖπες, εἰ καὶ βραχύτατόν ἐστιν, ἀλλ' ὅμως ἀργαλεώτατον· οὐ μόνον γὰρ λυμαίνεται τὴν ἐπιφάνειαν τοῦ δέρματος τοῖς ἀφανέσι δήγμασι κνησμοὺς ἐμποιοῦν ἀηδεῖς, ἀλλὰ καὶ εἰς τὸ ἐντὸς βιάζεται διά γε μυκτήρων καὶ
ὤτων. πρὸς τούτοις δὲ καὶ κόρας βλάπτει ὀφθαλμῶν εἰσπε- P. 152
τόμενον. ὡσαύτως δὲ καὶ οἱ ἐπαοιδοὶ τῶν Αἰγυπτίων ἐποίησαν τοῦ ἐξαγαγεῖν τὸν σκνῖπα, καὶ οὐκ ἠδύναντο. εἶπον οὖν τῷ Φαραὼ ὅτι δάκτυλος θεοῦ ἐστὶ τοῦτο.

Τετάρτη πληγὴ ἡ διὰ τῆς κυνομυίας. „καθὼς" γάρ φησιν „ἐποίησε κύριος, παρεγένετο ἡ κυνόμυια πλῆθος εἰς τοὺς οἴκους Φαραὼ καὶ εἰς πᾶσαν τὴν γῆν Αἰγύπτου. καὶ ἐξωλοθρεύθη ἡ γῆ ἀπὸ τῆς κυνομυίας ὀδυνηρῶς." καὶ γὰρ ἐμφύεται διὰ τοῦ δήγματος τουτὶ τὸ ζῶον τοῖς σώμασι. κυνόμυιαν δὲ ἀκούων τὸ αὔθαδες νόει τοῦ ζώου· καθάπερ γὰρ B
βέλος εἰσπετομένη, τῶν Αἰγυπτίων καὶ μόνων κατεπεμβαίνου-

tanto e malo se respirasse cerneret, in obfirmatione animi pristina perstitit.

Tertia plaga fuit culicum e pulvere natorum productio. sic enim perscriptum legimus (Exod. 8 16) „Aaro manu virgam suam de mandato domini protendit, ac terrae pulverem percussit, qua percussione culices tum in hominibus tum quadrupedibus exstiterunt." atque heic discito animalculum illud, quod culices appellamus, tametsi vel minimum sit, nihilo tamen minus longe nobis esse molestissimum. non enim tantum cutis superficiem stringit atque laedit, obscuris morsibus graves molestosque pruritus efficiens: verumetiam per nares et aures ad interiora vi penetrare nititur, ac praeterea pupulis oculorum, in eos involando, detrimentum adfert. deinde heic etiam Aegyptiorum excantores consimile quiddam moliri nitebantur, ut culices producerent, sed irrito conatu. quamobrem Pharaoni confessi sunt haec dei digito effecta esse.

Quarta plaga deus Aegyptios per muscas, quas caninas appellant, vexavit. nam, ut sacris est in litteris, efficiente deo tanta muscarum vis atque multitudo in Pharaonis aedes et totam Aegyptum est immissa, ut ab eis universa regio devastaretur. nimirum non sine dolore animal hoc in corpora morsu penetrat. cumque caninas appellari muscas audis, hoc ipsum ad impudentiam et ferocitatem animalis referto, quod involans in morem teli solos in Aegyptios irruebat. hoc

V. 118 σα ἦν. καὶ τοῦτο δηλοῦσα ἡ γραφὴ κατὰ λέξιν οὕτω φησί „καὶ παραδοξάσομαι τὴν γῆν Γεσέμ, ἐφ' ἧς ὁ λαός μου ἐπ' αὐτῆς, ἐφ' ἧ οὐκ ἔστιν ἐκεῖ ἡ κυνόμυια, ἵνα ἴδῃς ὅτι ἐγὼ κύριος ὁ θεός σου πάσης τῆς γῆς. καὶ διαστελῶ ἀναμέσον τοῦ ἐμοῦ λαοῦ καὶ ἀναμέσον τοῦ σοῦ λαοῦ." δέεται οὖν ἐπὶ τούτοις ὁ Μωσῆς τοῦ θεοῦ, καὶ περιεῖλε τὴν κυνόμυιαν ἀπὸ τοῦ Φαραώ, καὶ οὐκ ἠθέλησεν ἐξαποστεῖλαι αὐτούς.

C Πέμπτη πληγὴ ἡ τῶν τετραπόδων φθορά. „ἰδοὺ" γάρ φησι πρὸς Φαραὼ ὁ Μωσῆς, „ὅτι χεὶρ κυρίου ἔσται ἐν πᾶσι τοῖς κτήνεσί σου, καὶ θάνατος μέγας σφόδρα. καὶ ἐποίησε κύριος τὸ ῥῆμα τοῦτο, καὶ ἐτελεύτησαν πάντα τὰ κτήνη τῶν Αἰγυπτίων, ἀπὸ δὲ τῶν κτηνῶν τῶν υἱῶν Ἰσραὴλ ἐτελεύτησεν οὐδὲ ἕν. ἐβαρύνθη οὖν ἡ καρδία Φαραώ, καὶ οὐκ ἀπέστειλε τὸν λαόν.

Ἕκτη πληγὴ ἡ τῶν φλυκτίδων ἐπίθεσις, καθά φησιν „ἐλάλησε κύριος καὶ ἔλαβε Μωσῆς τὴν αἰθάλην τῆς καμίνου D ἐναντίον Φαραώ, καὶ ἔπασεν αὐτὴν εἰς τὸν οὐρανόν. καὶ ἐγένετο ἕλκη, φλυκτίδες ἀναζέουσαι ἔν τε τοῖς ἀνθρώποις καὶ ἐν τοῖς τετράποσι, καὶ οὐκ ἠδύναντο οἱ φαρμακοὶ στῆναι ἐναντίον Μωσεῖ διὰ τὰ ἕλκη. εἶπε δὲ κύριος πρὸς Μωσῆν

indicare litterae sacrae volentes his ipsis verbis usae sunt (Exod. 8 22) „Gesemam vero, qua in terra populus meus degit, praeter opinionem hominum immunem faciam, ut in ea nullae sint muscae; quo scilicet intelligas me dominum deum esse in terris, qui discrimen inter meum tuumque populum ponam." secundum haec iterum Moses deum deprecatur, qui muscas illas caninas a Pharaone populoque ipsius abegit ita ut ne una quidem reliqua foret. sed Pharao tum quoque suum pertinaciter obduravit animum, nec populum dimittere voluit.

Itaque secuta est plaga quinta, videlicet iumentorum et pecorum omnium lues. sic enim sacrae litterae narrant (Exod. 9 3) „dixit Pharaoni Moses, en manum suam dominus in omnia tua iumenta sic immittet, ut ingens subsecutura sit lues. fecitque dominus, quod minatus erat, et omnis generis Aegyptiorum pecoribus mortuis, ne unum quidem iumentum ex iis quae Israelici possidebant interiit." nihilominus obfirmatus est Pharaonis animus, nec abeundi potestatem populo fecit.

Quamobrem plagam deus sextam immisit, quae pustularum erat exulceratio, sicut auctor historiae sacrae narrat. quemadmodum, inquit (Exod. 9 11), dominus praeceperat, sumpsit Moses favillam de calcaria, spectante Pharaone, atque illam in aëra sparsit. tum ulcera pustulaeque ferventes exstitere tam in hominibus quam caeteris quadrupedibus, adeo ut ipsi etiam venefici amplius propter ulcera con-

ὄρθρισον τὸ πρωΐ, καὶ εἰπὲ πρὸς Φαραώ. εἰ μὴ ἐξαποστείλῃς τὸν λαόν μου, ἀποστείλας τὴν χεῖρά μου πατάξω σε καὶ τὸν λαόν σου θανατώσω. καὶ ἕνεκεν τούτου διετηρήθης, ἵνα ἐνδείξωμαι ἐν σοὶ τὴν δύναμίν μου, καὶ ὅπως διαγγελθῇ τὸ ὄνομά μου ἐν πάσῃ τῇ γῇ."

Ἑβδόμη πληγὴ ἡ διὰ χαλάζης καὶ πυρός. „ἔβρεξε γὰρ P. 153
ὁ κύριος χάλαζαν ἐπὶ πᾶσαν γῆν Αἰγύπτου, καὶ διέτρεχε τὸ πῦρ ἐπὶ τῆς γῆς. ἐπάταξε δὲ ἡ χάλαζα πάντα ὅσα ἦν ἐν τῷ πεδίῳ, ἀπὸ ἀνθρώπου ἕως κτήνους. πλὴν ἐν γῇ Γεσέμ, οὗ ἦσαν οἱ υἱοὶ Ἰσραήλ, οὐκ ἐγένετο ἡ χάλαζα." δέεται οὖν καὶ αὖθις ὁ Μωσῆς τοῦ θεοῦ κατὰ τὸν λόγον Φαραώ, καὶ ἐπαύσαντο αἱ φωναὶ καὶ ἡ χάλαζα. γίνωσκε δὲ ὅτι τοὺς Αἰγυπτίους οὐ μόνον ἡ ἐξαίσιος φορὰ χαλάζης τε ἅμα καὶ πυρός, ἀλλὰ καὶ τὸ τοῦ πράγματος κατέπληττεν ἀηθές· οὐδὲ γὰρ τὴν χειμερινὴν ὥραν ἡ Αἴγυπτος παραδέχεται διά γε τὸ μὴ πόρρω τῆς κεκαυμένης εἶναι ζώνης· τοῦ γὰρ πυρώ- B
δους ἐκεῖθεν ῥέοντος ἀφανῶς τὰ κύκλῳ πάντα λεαίνεσθαι πέφυκεν.

Ὀγδόη πληγὴ ἡ διὰ τῶν ἀκρίδων. ἐπῆρε γὰρ ὁ Μωσῆς τὴν ῥάβδον εἰς τὸν οὐρανόν· καὶ κύριος ἐπήγαγεν ἄνεμον νότον ὅλην τὴν ἡμέραν καὶ ὅλην τὴν νύκτα, καὶ ἀνέλαβε τὴν

sistere coram Mose non possent. secundum haec deus hoc modo Mosem compellavit: cras summo mane sic Pharaonem alloquere. ni populum meum dimiseris, exserta manu mea te percutiam populumque tuum morte multabo. scitoque adeo te illa de causa incolumen relinqui, ut potestatem in te meam declarem meumque nomen per universum terrarum orbem celebretur.

Septima plaga fuit immissio grandinis et ignis. nam grandine prius per universum Aegypti solum delapsa etiam ignis undique discurrit. grando ipsa nihil non eorum prostravit quae in terra erant, tum homines tum iumenta. non tamen in Gesemae solo, quod incolebant Israelici, grando quicquam detrimenti dedit. rursum vero Moses obsecrante Pharaone deum exorat, quo facto tonitrua et grandines cessarunt. atque heic notato non solum grandinis et ignis inusitatam ex aëre delationem Aegyptiis terrori fuisse, sed etiam ipsius insolentiam rei. nam hiemem Aegyptus nullam experitur, idque propterea quod a zona quam torridam vocant prope adsit. nimirum ardore illinc occulte promanante, vicinae in orbem regiones universae leniori coelo fruuntur.

Octava deinceps plaga vexavit Aegyptios, quae locustarum erat immissio (Exod. 10 12). nam Mose baculum in aëra protendente, dominus australem ventum adduxit die toto totaque nocte, qui locu-

ἀκρίδα, καὶ ἀνήγαγεν αὐτὴν ἐπὶ πᾶσαν τὴν γῆν Αἰγύπτου.
ἐφ' ᾧ καὶ ἡμάρτηκα ἔλεγε τῷ θεῷ ὁ Φαραώ. δέεται οὖν αὖ-
θις ὁ Μωσῆς τοῦ θεοῦ, καὶ ἐξάγει ἄνεμον ἀπὸ τῆς θαλάσ-
σης, καὶ πᾶσαν τὴν ἀκρίδα εἰς τὴν ἐρυθρὰν ἐνέβαλε θάλασ-
σαν. περὶ δὲ αὐτῆς καὶ Δαβὶδ οὕτω φησίν „εἶπε, καὶ ἦλ-
C θεν ἀκρὶς καὶ βροῦχος οὗ οὐκ ἦν ἀριθμός." βροῦχος δέ ἐστιν
ἡ νεογενὴς καὶ ἄπτερος ἀκρίς.

Ἐννάτη πληγὴ ἡ διὰ τοῦ ψηλαφητοῦ σκότους. „ἐξέτει-
V. 119 νε γὰρ Μωσῆς τὴν χεῖρα αὐτοῦ εἰς τὸν οὐρανόν, καὶ ἐγένε-
το σκότος καὶ γνόφος καὶ θύελλα ἐπὶ πᾶσαν τὴν γῆν Αἰγύ-
πτου τρεῖς ἡμέρας. οὐκ εἶδεν οὐδεὶς τὸν ἀδελφὸν αὐτοῦ,
καὶ οὐκ ἐξανέστη οὐδεὶς ἐκ τῆς κοίτης αὐτοῦ τρεῖς ἡμέρας·
πᾶσι δὲ τοῖς υἱοῖς Ἰσραὴλ ἦν φῶς ἐν πᾶσιν οἷς κατεγίνον-
το." ἐπειδὴ γὰρ ἀφέντες τὸν κτίστην τοῖς κτίσμασιν ἐλά-
D τρευον, διὰ τῶν κτισμάτων αὐτοὺς καὶ μάλα δικαίως ἐπαί-
δευε. διὰ γὰρ τοῦτο καὶ τῶν ἄλλων μερῶν καταλαμπομένων
ἡ Αἴγυπτος μόνη τῷ ψηλαφητῷ περιεστοιχίζετο σκότει. καὶ
γὰρ πρὸς ἀναγκαίαν ἔξοδον Αἰγύπτιος ἐβιάζετο, τὴν θύραν,
καὶ πολλὰ ψηλαφῶν εὑρεῖν οὐκ ἐδύνατο.

Δεκάτη πληγὴ ὁ τῶν πρωτοτόκων θάνατος. τελευταία
μὲν ἡ τοιαύτη πληγή, τῇ δυνάμει δὲ καὶ τῷ πόνῳ, καθά
φησι καὶ Δαβίδ, ἀπαρχὴ καὶ πρώτη πασῶν. περὶ γὰρ μέ-

stas sublatas in universum Aegyptiorum solum dispersit. quo factum ut Pharao se in deum deliquisse fateretur. itaque Moses iterum deprecatur ad deum, ac ventum educit e mari, cunctasque locustas in mare rubrum abiectas demersit. de hisce locustis Davides in haec verba meminit (Psalm. 104 34) „ipso iubente locustae venerunt et bruchi exstiterunt innumerabiles." vocamus autem bruchos recens natas et alarum adhuc expertes locustas.

Nonam plagam deus per tenebras tactiles inflixit. quippe manum suam Mose coelum versus porrigente mox tenebrae caligo tempestasque tanta per Aegyptum universam exstitit, ac toto quidem triduo, ut neque fratrem suum quisquam illo triduo cerneret neque de lecto suo surgeret. interim omnes Israelici lucem suis in sedibus habebant. quia enim Aegyptii rerum opifice relicto creatis religiose serviebant, iccirco deus ipsos aequissimo iure per ipsa creata castigavit. nam propter eam ipsam causam caeteris mundi partibus luce fruentibus Aegyptus sola tactilibus erat involuta contectaque tenebris, et quidem tantis ut cum Aegyptius aliquis rei necessariae curandae causa exire conabatur, multum palpando ianuam reperire non posset.

Subsecuta demum est plaga decima, nimirum primigenorum caedes, postrema quidem omnium calamitas, quod temporis attinet seriem, verum declaratae in ea potestatis divinae miseriaeque respe-

σας νύκτας καὶ ἄνευ νόσου ἀνῃροῦντο τὰ τέκνα αὐτῶν. ἐγει-
ρόμενοι δὲ τὸ πρωΐ, καὶ τὰ φίλτατα νεκρὰ ὁρῶντες, καὶ
μηκέτι κατέχεσθαι δυνάμενοι, τῷ Φαραὼ κατεβόων, ἐφ' ᾧ P. 154
καὶ τὸν λαὸν ἄκων ἀπέλυσε.

Πλὴν ἐπὶ τούτοις, ἀγαπητέ, μὴ ἀνθίστασο, μηδὲ λέγε
ὅτι εἰ ὁ θεὸς σκληρύνει τὴν καρδίαν Φαραώ, τίνος ἕνεκεν
ἐπιμέμφεται αὐτῷ σκληρυνομένῳ; γίνωσκε γὰρ ὅτι ἡ ἀνοχὴ
τῶν μαστίγων αἰτία τῆς πωρώσεως αὐτῷ γέγονεν, ὡς ὁ μέ-
γας φησὶ Βασίλειος. οὐδὲ γὰρ εἴκουσαν τὴν ἐκείνου καρδίαν
λαβὼν καὶ πειθομένην αὐτοῦ τοῖς προστάγμασι, πρὸς τὸ σκλη-
ρὸν καὶ ἀπειθὲς μετεπλάσατο. τῇ μακροθυμίᾳ λοιπὸν ἐπὶ
πλέον ἐποίει ταύτην σκληρύνεσθαι. ὅρα γὰρ ὡς ἐπειδὰν ἐπῆ-
γεν ἐπ' αὐτὸν τὰς πληγάς, ἀπολύειν τὸν λαὸν ἐπηγγέλλετο, B
ἡνίκα δὲ ἠφίει τῶν βασάνων αὐτόν, ἐσκληρύνετο. ὃ δὴ καὶ
ἡ γραφὴ σημαίνουσα ἔλεγεν „ἰδὼν δὲ Φαραὼ ὅτι γέγονεν
ἀνάψυξις, ἐβάρυνε τὴν καρδίαν αὐτοῦ, καὶ οὐκ εἰσήκουσεν
αὐτῶν. ἀλλὰ καὶ αὐτοῦ λέγοντος ἄκουσον τοῦ θεοῦ ὅτι εἰς
αὐτὸ τοῦτο ἐξήγειρά σε, ὅπως ἐνδείξωμαι ἐν σοὶ τὴν δύναμίν
μου, καὶ ὅπως διαγγελθῇ τὸ ὄνομά μου ἐν πάσῃ τῇ γῇ. μὴ

17. αὐτοῦ] αὐτοῦ τοῦ P.

tu, quemadmodum et Davides ait (Psalm. 104 36), facile princeps omnium ipsaeque veluti primitiae. nam nocte media, nullo urgente morbo, liberi Aegyptiorum interficiebantur. cum autem diluculo expergiscerentur et carissimos natos extinctos viderent, non iam amplius se continere valentes cum clamoribus Pharaonem adibant; quibus ille permotus populum tandem vel invitus dimisit.

Caeterum nolo te, dilecte fili, hac in narratione mihi refragrando adversari, nec huiusmodi quiddam obiicere: si deus animum Pharaonis obstinatum reddidit, quamobrem pertinaciter et obfirmato animo sibi reluctanti irascitur? nimirum scire debes adflictionum tolerantiam fuisse causam unicam, sicuti magnus ille Basilius loquitur, quamobrem Pharao tantopere suum animum obduraret. deus enim, qui animum eius haud cedentem suisque mandatis obtemperantem accepisset, nequaquam illum ad duritiem pertinaciamque finxit. de quo consequi necesse est dei tolerantia factum fuisse ut magis animus ipsius obfirmaretur. nam vide mihi obsecro, quo pacto res gesta fuerit. quoties hominem calamitatibus et plagis adficeret, dimissurum ille se populum pollicebatur. at ubi e diverso finem adfligendi faciebat, obstinatior evadebat. hoc indicare volentes litterae sacrae verbis huiusmodi sunt usae „cum Pharao se tanto e malo respirasse cerneret, in obfirmatione animi pristina perstitit, nec Aaroni Mosique paruit." quin etiam cum deum ipsum dicentem audis „excitavi te illam ipsam ob causam, ut potestatem in te meam declarem per universum orbem terrarum," noli animo ancipiti ac dubitante dicere: itane pro-

λέγε διαπορούμενος, ἵνα γνωρίζῃς τὴν δύναμίν σου, κολάζεις
C ἄνθρωπον; ἄφες αὐτά, καὶ πρόσχες τῷδε τῷ ὑποδείγματι. ἡ ἰατρικὴ τέχνη ὠφέλιμόν τι ποιῆσαι τῇ ἀνθρωπίνῃ φύσει σπουδάζουσα ζῶντας ἀνθρώπους ἀνέτεμεν. ἀλλ' ἦν μὲν καὶ τοῦτο ἄδικον, τὸ διὰ τὴν ἑτέρων σωτηρίαν ζῶντας ἄλλους θύεσθαι. τί οὖν ἐποίουν οἱ ἀρχαῖοι; τὸν κατακριθέντα θανάτῳ ὑποπεσεῖν διὰ λῃστείαν ἢ φαρμακείαν, τοῦτον λαμβάνοντες ἀνέτεμνον ζῶντα, οὔτε ἀδικοῦντες τὸν κολαζόμενον καὶ τῇ ἀνθρωπίνῃ φύσει βοήθειαν ἐφευρίσκοντες. ἀνέτεμνον οὖν ἐκεῖνον ζῶντα, ἵνα ἔτι σπαιρόντων τῶν σπλάγχνων κα-
D ταμάθωσι τὴν ἐνέργειαν. οὕτω μὲν οὖν καὶ ὁ ἀριστοτέχνης θεὸς διὰ τοῦ ἀνιάτως ἡμαρτηκότος Φαραὼ σημεῖα μεγάλα δείκνυσι, τὸν μὲν ἄξιον τιμωρίας κολάζων, τοὺς δὲ μετὰ
V. 120 ταῦτα γενομένους ἄριστα θεραπεύων, σωτηρίας ὑπόθεσιν τὴν ἐκείνου τιμωρίαν αὐτοῖς παρεχόμενος. καὶ περὶ μὲν τούτων οὕτως.

Μετὰ δὲ τὴν δεκάτην πληγὴν θύουσι τὸ πρόβατον οἱ Ἑβραῖοι καὶ οὕτω τῆς Αἰγύπτου ἐξίασι κατὰ τὴν τεσσαρεσκαιδεκάτην τῆς σελήνης. ἐφ' ᾧ καὶ νῦν ἔτι κατὰ τὸ ἔθος οὕτω
P. 155 θύουσι, τὴν ἑορτὴν τοῦ πάσχα καλοῦντες· σημαίνει δὲ ὑπερβασίαν. ἀλλ' ὥς Ἰώσηπός φησι, διότι κατ' ἐκείνην τὴν ἑσπέραν ὁ θεὸς αὐτῶν ὑπερβὰς Αἰγυπτίοις ἐναπέσκηψε τὴν νό-

pterea punis hominem, ut potestatem tuam testatam facias? omitte istaec verba, et huic exemplo animum adverte. ars medica nonnihil hominum naturae utilitatis adferre magno studio volens vivos homines secare instituit. verum enimvero periniquum et inhumanum erat aliorum salutis causa vivos alios mactari. quid igitur homines illi prisci tandem fecerunt, nimirum sumtis iis qui vel alios depraedati fuissent vel veneno sustulissent ac propterea condemnati ad mortem essent, vivos secabant. hoc modo fiebat ut neque puniendo homini facerent iniuriam et naturae mortalium aliquid adiumenti reperirent. itaque vivum aliquem talem secabant, ut visceribus adhuc motum suum retinentibus eorum effectiones cognoscerent. eodem pacto deus artifex ille praestantissimus in Pharaone insanabiliter delinquente prodigia quaedam ingentia edit, tum ut ipsum poenas commeritum puniret, tum ut posteris optime consuleret, quibus Pharaonis supplicium origo salutis existeret. et haec quidem in hunc modum explicata sunto.

Post decimam hanc calamitatem Aegyptiorum Israelici agnum mactant, atque ita demum excedunt Aegypto, die mensis illis decimoquarto. unde mos inolevit ut etiam nunc agnum ita mactent, ac festum illud Pascha nuncupant, quae vox transitum significat, quod nimirum, Iosepho teste, deus illo vespere transiens Israelicos cae-

σον. φεύγοντες δ' οὖν οἱ Ἑβραῖοι, καὶ μηδενὸς τῶν ἀπὸ τῆς γῆς εὐποροῦντες διὰ τὴν ἐρημίαν, πεφυραμένοις τοῖς ἀλεύροις καὶ πεπηγόσι μόνον ὑπὸ βραχείας θερμότητος τοῖς ἀπ' αὐτῶν ἄρτοις διετρέφοντο. καὶ τούτοις ἐπὶ τριάκοντα ἡμέραις ἐχρήσαντο· πρὸς πλείονα γὰρ οὐκ ἐξήρκεσαν χρόνον αὐτοῖς ὅσα ἐκ τῆς Αἰγύπτου ἐπεφέροντο. καὶ τὰ μὲν τοῦ Ἰωσήπου τοιαῦτα.

Ὁ δὲ μέγας Βασίλειος καὶ τάδε περὶ τοῦ Μωσέως φη- B σίν, ὅτι οὗτός ἐστιν ὁ μαρτυρηθεὶς ἀστεῖος εἶναι παρὰ θεῷ ἔτι ὑπομάζιος ὤν· ὃν εἰσεποιήσατο μὲν ἡ θυγάτηρ Φαραώ, ἐξέθρεψε δὲ βασιλικῶς, τοὺς σοφοὺς τῶν Αἰγυπτίων διδασκάλους αὐτῷ τῆς παιδεύσεως ἐπιστήσασα· ὃς τὸν ὄγκον τῆς τυραννίδος μισήσας, καὶ πρὸς τὸ ταπεινὸν τῶν ὁμοφύλων ἀναδραμών, εἵλετο συγκακουχεῖσθαι τῷ λαῷ τοῦ θεοῦ· ὁ φυγαδευθεὶς παρὰ τῶν εὐεργετηθέντων, κἀντεῦθεν εἰς τὴν Αἰθιοπίαν καταλαβών, κἀκεῖ πᾶσαν σχολὴν ἀπὸ τῶν ἄλλων ἄγων καὶ ἐν τεσσαράκοντα ὅλοις ἔτεσι τῇ θεωρίᾳ τῶν ὄντων ἀποσχολάσας· ὃς ὀγδοηκοστὸν ἤδη γεγονὼς ἔτος εἶδε τὸν C θεὸν ὡς ἀνθρώπῳ ἰδεῖν δυνατόν, μᾶλλον δὲ ὡς οὐδεὶς τῶν ἄλλων ὑπῆρξε κατὰ τὴν μαρτυρίαν αὐτοῦ τοῦ θεοῦ, „ὅτι ἐὰν γένηται προφήτης ὑμῶν τῷ κυρίῳ, ἐν ὁράματι αὐτῷ γνωσθήσομαι καὶ ἐν ὕπνῳ λαλήσω αὐτῷ, οὐχ οὕτως ὡς ὁ θε-

dem in Aegyptios immiserit. hinc fugam arripientes Hebraei, cum terrae fructuum copiam nullam haberent, quod essent illa loca deserta, saltem panibus victitabant, qui de farina leviter subacta et exiguo calore percocta facti essent. his ad trigesimum usque diem sunt usi, non sufficientibus ad longius temporis spatium farinis quas ex Aegypto secum attulerant. haec a Iosepho sic memoriae prodita sunt.

δὲ καὶ βότρυν ἐκεῖθεν ὑπερμήκη τοσοῦτον ὡς ἐπ' ἀναφορεῦ- B σιν αὐτὸν βαστάζεσθαι. ὅτι δὲ παιδευόμενος ὁ Ἰσραὴλ κατὰ θείαν ὀργὴν τοσοῦτον ἐν ἐρήμῳ διεβίβασε καιρόν, καὶ τοῦ μεγάλου Κυρίλλου λέγοντος ἄκουε. ἐν γὰρ τῇ περὶ τῆς ἐν πνεύματι λατρείας βίβλῳ αὐτοῦ καὶ τάδε φησίν, ὅτι προσκρούσας ὁ Ἰσραὴλ τεσσαρακοστὸν ἔτος ἐπλανᾶτο κατὰ τὴν ἔρημον· ὅρκῳ γὰρ ὤμοσεν ὁ θεὸς μὴ εἰσάξειν αὐτοὺς εἰς τὴν γῆν τῆς ἐπαγγελίας. καὶ τοῦτο διὰ τοῦ Δαβὶδ ἔδειξεν εἰπὼν ὡς ὤμοσα ἐν τῇ ὀργῇ μου, εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου. καὶ ἦν ὅρος αὐτοῖς τῆς ὀργῆς, καθὼς ἄνω- C θεν εἴρηται. παρῳχηκότος δὲ τοῦ καιροῦ λέλυται μὲν ἡ ὀργή, διέβησαν δὲ τὸν Ἰορδάνην οἱ ἐξ αὐτῶν καὶ εἰσέβησαν εἰς τὴν γῆν, οὐχ ὑπερδραμούσης τῆς ἀγανακτήσεως τὸ τεσσαρακοστὸν ἔτος. τύπος ἄρα καὶ τοῦδε σαφὴς τὸ μέχρι πληγῶν τεσσαράκοντα καταπαίεσθαί τινας· ἀφέσεως γὰρ ὁ μετὰ τοῦτο καιρός, διάβασιν ἡμῖν εἰσφέρων Ἰορδάνου τὴν μυστικήν. μετὰ γὰρ τεσσαράκοντα ἔτη κἀκεῖνοι τὸν Ἰορδάνην διέβησαν.

Οὗτος μὲν οὖν ὁ τοῦ Ναυῆ Ἰησοῦς Αὐσῆς πρότερον ἐκαλεῖτο, ὑποστρέψας δὲ ἀπὸ τῆς κατασκοπῆς παρὰ τοῦ Μω- D σέως μετονομάζεται. τούτῳ δὴ τῷ Ἰησοῦ μετά γε τεσσαράκοντα ἔτη ἃ διεβίβασεν ἐν τῇ ἐρήμῳ, λέγει ὁ θεός „καθίσας

caeterum Israelicos, ob iram divinam castigatos, tantum in solitudine temporis exegisse Cyrillus etiam verbis hisce testatur, in eo libro exstantibus quem de spirituali cultu inscripsit. quia fremitu suo deum offenderunt Israelici, quadraginta per solitudinem annis sunt obvagati. deus enim iureiurando futurum confirmavit se in terram promissam ipsos haudquaquam introducturum. atque hoc iusiurandum dei Davides his verbis exposuit (Psalm. 94 11) „iratus iuravi non esse meam in requietem perventuros." huius irae terminus tot annis definitus erat quot superius expositi sunt; atque illis elapsis omnino extincta est. tum deinde nati eorum Iordanem transierunt et terram promissam ingressi sunt, divina illa iracundia quadragesimum annum non excedente. fuit huius rei quondam illa quoque figura, quod plagas 40 acciperent qui deliquerant. post illum enim numerum tempus liberationis succedit, quod mysticam Iordanis transitionem secum adfert: nam et ipsi post annum quadragesimum Iordanem traiecerunt.

Iesus autem hic Navae F. Auses prius appellabatur: verum posteaquam ab exploratione reversus fuisset, a Mose nomen eius est immutatum. eundem post annos 40, quos in solitudine populus exegit, deus in hunc modum allocutus est (Ios. 5 2) „circumcide popu-

περίτεμε τὸν λαὸν μαχαίραις πετρίναις, καὶ οὕτω τὸν Ἰορδάνην διάβηθι." ὁ γὰρ Μωσῆς περᾶσαι οὐ συνεχωρήθη, καίτοι πολλὰ περὶ τούτου τοῦ θεοῦ δεηθείς. μετὰ γὰρ τὸ λαλῆσαι τὰ τῆς ᾠδῆς τῷ λαῷ, εἶπε πρὸς αὐτὸν ὁ θεὸς „ἀνάβηθι εἰς τὸ ὄρος Ἀβαρίμ. τοῦτο ὄρος Ναβαῦ κατὰ πρόσωπον Ἱεριχώ. καὶ ἴδε τὴν γῆν Χαναάν, καὶ τελεύτα, ὃν τρόπον ἀπέθανεν Ἀαρὼν ὁ ἀδελφός σου ἐν Ὢρ τῷ ὄρει, διότι ἠπειθήσατε τῷ ῥήματί μου ἐπὶ τοῦ ὕδατος τῆς ἀντιλογίας." ὅτι δὲ ἐδέετο τοῦ θεοῦ περᾶσαι τὸν Ἰορδάνην, „καὶ
P. 160 ὑπερεῖδε κύριος ἐμὲ ἕνεκεν ὑμῶν, καὶ οὐκ εἰσήκουσέ μου. καὶ εἶπε κύριος πρός με ἱκανούσθω σοι, μὴ προσθῇς ἔτι λα-
V. 124 λῆσαι τὸν λόγον τοῦτον. ἀνάβαινε γὰρ εἰς τὸ ὄρος, καὶ ἴδε τοῖς ὀφθαλμοῖς, ὅτι οὐ διαβήσῃ τὸν Ἰορδάνην τοῦτον." καὶ τί δήποτε διὰ μικρὰν πλημμέλειαν πόρρωθεν ἰδεῖν ὁ Μωσῆς προσετάχθη τὴν γῆν, τὸν δὲ λαὸν εἰσαγαγεῖν ἐκωλύθη; διδάσκει ἡμᾶς ὁ δεσπότης διὰ τούτων ὡς τοὺς ἐν ἀρετῇ τελείους τὴν ἄκραν ἀκρίβειαν ἀπαιτεῖ· „ὁ μὲν γὰρ ἐλάχιστος"
B φησὶ σοφία Σολομῶντος „συγγνωστόν ἐστιν ἐλέους, δυνατοὶ δὲ δυνατῶς ἐτασθήσονται." ὅτι δὲ μέγα ἔδοξε τὸ τοῦ Μωσέως ἁμάρτημα, δεδήλωκεν αὐτὸς ὁ θεὸς οὕτως εἰπὼν „ἀνά-

19. ἔδειξε P.

lum cultris saxeis, atque ita Iordanem traiicito." nam Mosi potestas Iordanem transeundi facta non est, quanquam crebris ille precibus hoc exposceret. quippe cum carminis verba populo recitasset, his verbis eum deus compellavit (Deut. 32 49) „adscende in montem Abarim, qui Nabo mons est, e regione Hierichuntis, atque istic terram Chananaeam intuitus morere, quemadmodum et Aaro frater tuus in Oro monte mortuus est. non enim verbis meis ad aquam adversationis et rixae fidem habuistis." iam quod obsecrarit deum ut Iordanem traiiceret, ipse significavit, cum diceret „equidem amne traiecto praeclaram illam regionem, trans Iordanem sitam intuiturus eram: verum deus me vestra causa est aspernatus, nec preces meas exaudiit. respondit enim in haec verba mihi: satis hoc esto tibi, noli tale quiddam amplius a me petere. saltem in montem hunc adscendito, et terram oculis tuis intuere: nam Iordanem hunc non traiicies." quidnam vero causae fuit quamobrem ob delictum exiguum Moses longo quidem ex intervallo terram intueri iussus est, sed eidem denegatum ne populum in eam introduceret? nimirum per haec docere nos dominus voluit se ab iis, qui virtute perfecti sint, extremam accurationem requirere. nam qui perpusillus est, inquit Sapientia Salomonis (6 7), ob misericordiam quodam modo veniam meretur: at valentes valide explorabuntur. et vero delictum Mosis ingens sibi visum fuisse deus ipse verbis his declaravit „adscende ac morere,

βαινε, καὶ τελεύτα, διότι ἠπειθήσατε τῷ ῥήματί μου ἐπὶ τοῦ ὕδατος τῆς ἀντιλογίας." πάντα ταῦτα πεποίηκεν ἡ θλῖψις. ἐπιτιθέντες γὰρ Ἰουδαῖοι τῷ θείῳ Μωσεῖ, ὅτε ἀθυμῶν ἦν διὰ τὴν τῆς Μαριὰμ τελευτήν, καὶ βιαζόμενοι χάριν ὕδατος, ὡς ἐν τῇ βίβλῳ τῶν ἀριθμῶν γέγραπται, ἠνάγκασαν τὴν ἀμφίβολον ἐκείνην προϊέναι φωνήν. ἄφες λοιπὸν τὰ τοῦ Ἰωσήπου, ὅτι καὶ κατὰ πάντα ταῖς ἱεραῖς γραφαῖς ἐναντιούμενα C φαίνονται· καὶ γὰρ διὰ θείαν ὀργὴν ἐτελεύτησεν, οὐ μὴν διὰ γῆρας, ὡς ἐκεῖνος φησίν. ὅτι δὲ τοῦ θεοῦ ὀργισθέντος ἐπὶ τοῖς κατασκόποις ἔτη τεσσαράκοντα διέτριψεν ὁ λαὸς ἐν τῇ ἐρήμῳ, καὶ ἐν τῷ Δευτερονομίῳ τοῦτο σαφῶς δεδήλωται. ἡνίκα γὰρ ὁ Μωσῆς τὰ τελευταῖα τῷ λαῷ διελέγετο, καὶ τάδε πρὸς τοῖς ἄλλοις ἔλεγεν „ἤλθομεν καὶ πρὶν εἰς τὸ περᾶσαι καὶ κατακληρονομῆσαι τὴν Χαναανίτιδα γῆν." ἀλλ' οἱ διάστροφοι ἐκεῖνοι κατάσκοποι καὶ ὁ τοῦ λαοῦ γογγυσμὸς ἔτη μ' περιπλανᾶσθαι αὐτοὺς ἐν τῇ ἐρήμῳ πεποίηκε. ταῦτα δὲ πρὸς αὐτοὺς ἔλεγεν ἐν τῇ δευτέρᾳ ὑποστροφῇ, τῶν μ' D ἐτῶν δηλαδὴ συμπληρώσει. πρόσεχε λοιπόν· φαίνεται γὰρ ἐντεῦθεν ὅτι εἰ μὴ θεία ἦν ὀργὴ τῆς τῶν κατασκόπων διαστροφῆς ἕνεκεν, ἐν βραχεῖ διῆλθον τὴν ἔρημον καὶ τὸν Ἰορδάνην ἐπέρασαν ἄν.

Οὐκοῦν ἔτη μ' περιπατοῦντες κατὰ τὴν ἔρημον τὸ μάννα

propterea quod verbis meis ad aquam iurgii fidem non habueritis." atque haec omnia de quadam adflictione profecta erant. nam cum Hebraei ad Mosem convolarent, ipso propter Mariae sororis obitum tristi, et violenter eum urgerent ob aquae defectum, sicut in Numerorum libro perscriptum legimus, hanc ei vocem dubitationis plenam extorserunt. quapropter missam fac Iosephi narrationem, quae prorsus litteris sacris adversari videtur. Moses enim propter iram divinam hoc modo mortuus est, non ob senectutis molem, quemadmodum ille tradit. quod autem deo propter exploratores irato populus annis quadraginta in solitudine commoratus sit, etiam in Deuteronomio perspicue indicatur. cum enim Moses extrema oratione populum alloqueretur, inter alia verbis huiusmodi usus est „accessimus etiam antea traiecturi flumen, et terram Chananitidem occupaturi: sed exploratores illi perversi populique fremitus effecerunt ut annis quadraginta per solitudinem obvagaremur." quae quidem verba protulit in altera reversione ad Iordanem, cum anni scilicet quadraginta iam completi essent. atque heic, quaeso, mihi animum advertito. videtur enim futurum fuisse ut nisi divina istaec ira intercessisset ob exploratorum perversitatem orta, brevi admodum temporis spatio solitudinem peragrarent, ac Iordanem traiicerent.

Caeterum dum annis 40 per solitudinem hinc inde oberrabant,

ἤσθιον, τροφὴν ἄσπαρτον καὶ ἀνήροτον. καθ' ἑκάστην γὰρ ἔβρεχεν ἡμέραν αὐτὸ ὁ θεός, ἄνευ μέντοι τοῦ σαββάτου, διδάσκων κἀντεῦθεν αὐτοὺς μηδὲν ἐν σαββάτῳ ποιεῖν. ἐφ' ᾧ
P. 161 καὶ τὸ ἐν παρασκευῇ κατερχόμενον μάννα διπλάσιον ἦν, ὡς ἔχειν αὐτοὺς καὶ τὴν ἐν σαββάτῳ τροφήν. εἰ δὲ ἐν δευτέρᾳ τυχὸν ἡμέρᾳ ἢ τρίτῃ λαβὼν ἐκ τοῦ μάννα ἐφύλαξέ τις, εἰς τὴν ὑστεραίαν διεφθαρμένον ἦν ἐξ ἀνάγκης τὸ τοιοῦτον ἰδεῖν. τίνος ἕνεκεν; ἐπειδὴ νόμου παράβασις ἦν. διδάσκων γὰρ αὐτοὺς τῶν φροντίδων ἐλεύθερον βιοῦν, ὑπέσχετο καθ' ἑκάστην ἡμέραν παρέχειν τὴν ἀναγκαίαν αὐτοῖς τροφήν. ἐκεῖνοι δὲ ἀπιστήσαντες μέρος τι τοῦ συλλεγέντος εἰς τὴν ὑστεραίαν ἐφύλαξαν. διὰ τοῦτο καὶ ἐπώζεσεν. ὅτι γὰρ οὐ τῆς τοῦ μάννα φύσεως ἦν τὸ πάθος, μαρτυρεῖ τὸ σάββατον, ἐν ᾧ
B ἀλώβητον διετηρεῖτο τὸ χάριν αὐτοῦ κατὰ τὴν παρασκευὴν συλλεγόμενόν τε καὶ φυλασσόμενον. μαρτυρεῖ δὲ καὶ τὸ ἐν
V. 125 τῇ κιβωτῷ ἐπὶ πολλαῖς διαφυλαχθὲν γενεαῖς. τοῦτο δὲ τὸ μάννα κατά γε τὸ πρωῒ καὶ μόνον συνήγετο· ἡλίου γὰρ ἀνατείλαντος ἐτήκετο. τοῦτο μέντοι τὸ μάννα, καθά φησιν ὁ θειότατος Νύσσης ἐκ τῆς σοφίας Σολομῶντος τὰς ἀφορμὰς λαβών, μονοειδὲς ἦν, ἡ δὲ ποιότης αὐτοῦ τὸ ποικίλον εἶχεν, ἑκάστῳ προσφόρως κατὰ τὸ εἶδος τῆς ἐπιθυμίας ἐγγινομένη.

Manna vescebantur, cibo non sato nec per arationem comparato. nam in dies singulos divinitus instar pluviae de coelo labebatur, unico sabbato excepto; quo ipso docebat eos nihil esse sabbato faciundum operis. eademque de causa quod die sabbatum praecedente, quem a praeparatione Parasceuen nuncupabant, manna delabebatur, duplum erat aliorum dierum respectu, quo videlicet abunde ipsis etiam sabbato durante alimenti sufficeret. quodsi quis autem die secundo septimanae vel tertio acceptum manna servasset in diem alterum, non poterat deinceps aliter quam putrefactum intueri. quamobrem istuc? quia legis erat haec violatio. quippe deus volens eos docere quid esset vita curis soluta et libera, se praebiturum eis pollicebatur in dies singulos tantum victus quantum ipsis alendis sufficeret. huic pollicitationi cum fidem quidam non haberent nec mandato parerent, forte collecti mannae partem aliquam in diem posterum servarunt, quae continuo foetuit. et hanc nequaquam profecto mannae naturam fuisse, colligi tum de sabbato potest, quo quicquid eius causa praeparatorio die coactum erat incorruptum manebat, tum de illo manna quod in arca multis saeculis est conservatum. colligebatur autem matutino tempore tantum: quippe quamprimum sol ortus fuisset, liquescebat. idem manna, quemadmodum Nyssenus antistes ille divinissimus ait, sapientiam Solomonis secutus, unius quidem erat eiusdemque formae, qualitatem vero multiplicem habebat, uti quod cui-

οὕτω μὲν οὖν καὶ ὁ ἄρτος ὁ καταβὰς ἐκ τοῦ οὐρανοῦ, τὸ νοητὸν δηλονότι μάννα, πρὸς τὴν διάθεσιν τῆς ἑκάστου ψυ- C χῆς διατίθεσθαι εἴωθε. τοῦτο δὴ τὸ μάννα εἶδος εἶχε κορίου, οὗ τὴν φύσιν ὅλην διόλου λόγον ἔχειν σπέρματος λέγουσιν, ὥστε μηδὲ ἐν τῷ κατακόπτεσθαι ἐξαφανίζεσθαι τὴν πρὸς τὸ σπείρεσθαι δύναμιν αὐτοῦ. οὕτω μὲν οὖν καὶ τὸ θεῖον μάννα καὶ πνευματικὸν πανταχοῦ σκεδαννύμενόν τε καὶ κατακερματιζόμενον ὅλον διόλου ἐν ὅλοις εὑρίσκεται. καὶ τί χρὴ πολλὰ λέγειν; ὥσπερ ἐπὶ τοῦ μάννα ἐκείνου κατερχομένου ἄνωθεν τὸ τῶν Ἑβραίων γένος ὑπερεκπληττόμενον ἔλεγε τί τοῦτό ἐστιν; οὕτω δὴ καὶ ἐπὶ τοῦ νοητοῦ μάννα τοῦ ἄρτου D τῆς ζωῆς, αὐτοῦ δηλαδὴ τοῦ μονογενοῦς υἱοῦ καταβάντος ἐξ οὐρανοῦ καὶ ἐπὶ γῆς ὀφθέντος, ὑπερεκπληττόμενοι ἔλεγον ἅπαντες τί τοῦτό ἐστι; πῶς ὁ υἱὸς τοῦ θεοῦ κατῆλθεν εἰς τὴν γῆν; πῶς σάρκα ἐφόρεσε; πῶς ἄνθρωπος γέγονε; καὶ περὶ μὲν τούτων οὕτως.

Μετὰ δὲ τὴν τοῦ Μωσέως τελευτὴν εἶπε πρὸς τὸν Ἰησοῦν ὁ θεός „Μωσῆς ὁ θεράπων μου τετελεύτηκεν· νῦν οὖν ἀναστὰς διάβηθι τὸν Ἰορδάνην σὺ καὶ πᾶς ὁ λαὸς οὗτος." καὶ ὡς ἤκουσαν οἱ βασιλεῖς τῶν Ἀμορραίων, οἳ ἦσαν πέραν τοῦ Ἰορδάνου, ὅτι ἀπεξήρανε κύριος ὁ θεὸς τὸν Ἰορδάνην ποταμόν, κατετάκησαν αὐτῶν αἱ διάνοιαι, καὶ οὐκ ἦν ἐν αὐτοῖς φρόνησις οὐδεμία ἀπὸ προσώπου τῶν υἱῶν Ἰσραήλ. P. 162

que pro ratione cupiditatis saperet. eodem modo panis ille qui de coelo descendit, manna scilicet intellectile, pro adfectione animi quorumlibet et ipse adfectus esse solet. idem manna quandam esse coriandri speciem aiunt, cuius naturam in universum semini respondere perhibent, ita ut si dissecetur, nulla sit particula quae vim suam amittat. sic et divinum illud ac spirituale manna ubique locorum dispersum et quasi concisum minutas in partes nihilominus totum integre in integris reperitur. quid multa proferemus? quemadmodum illo manna coelitus demisso Hebraeorum natio admirabunda dicebat, quid hoc est? sic et intellectili manna, pane scilicet vitae, unigena dei filio, coelitus delapso et in terris conspecto cuncti obstupescentes aiebant: quid hoc est? quonam pacto dei filius in terram descendit? qui carnem gestat? qui homo factus est? ac de his quidem hoc modo dictum esto.

Caeterum post mortem Mosis deus Iesum allocutus est in hunc modum (Ios. 1 2) „quandoquidem meus servus Moses mortuus est, age tu, traiice Iordanem istum una cum omni hoc populo." cumque reges Amorraeorum, qui ultra Iordanem erant, inaudivissent dominum, qui deus est, Iordanem fluvium exsiccasse, mentes et animi

καὶ τοιοῦτόν τι πεπόνθασιν ὁποῖον ἀπὸ χαρᾶς ὁ Ἰακώβ, ἡνί-
κα κατελθὼν εἰς Αἴγυπτον τὸν Ἰωσὴφ ἐθεάσατο· ἀπὸ μὲν
γὰρ τῆς χαρᾶς διάχυσις, ἀπὸ δὲ τοῦ φόβου σύνευσις τῆς
ζωογονούσης ἡμᾶς δυνάμεως γίνεται, καὶ οὕτως ἢ ἐκείνως
ἔστιν ὅτε ὁ θάνατος ἐξ ἀνάγκης ἕπεται. μετὰ δὲ τὸ περᾶσαι
τηνικαῦτα χωρὶς ὅπλων τὴν Ἱεριχὼ κεκρατήκασιν· ἐφ' ᾧ
καὶ ἀνεθεμάτισαν αὐτήν, τουτέστι τῷ θεῷ ἀφιέρωσαν. Ἄχαρ
λοιπὸν ὁ τοῦ Χαρμῆ ἀπὸ τῶν ἀναθεματισθέντων τῷ κυρίῳ
στολήν τινα καὶ μᾶζαν χρυσῆν ἀποσυλήσας τὸν θεὸν εἰς ὀρ-
B γὴν ἤγειρε· δεηθεὶς οὖν ὁ Ἰησοῦς τοῦ θεοῦ, καὶ μαθὼν τὸν
τῆς ὀργῆς αἴτιον, λίθοις αὐτὸν πανοικὶ κατέχωσαν. ἐν τού-
τῳ δὲ τῷ κατὰ τῆς Ἱεριχὼ πολέμῳ ἀρχὴν ἔλαβε καταλύε-
σθαι τὸ σάββατον· ἑπτὰ γὰρ ἡμέρας αὐτὴν μετὰ σαλπίγ-
γων περιεκύκλωσαν, ἐν αἷς καὶ τὸ σάββατον ἐξ ἀνάγκης συμ-
περιείληπται. ἀλλὰ καὶ μετὰ πέντε βασιλέων, ὡς ἄνωθεν
εἴρηται, τοῦ Ἰησοῦ μαχομένου ἔστη ὁ ἥλιος κατὰ τὸ μέσον
τοῦ οὐρανοῦ· οὐ προεπορεύετο εἰς δυσμὰς ἕως εἰς τέλος
ἡμέρας μιᾶς. καὶ πάντα δὲ τὰ τῶν Χαναναίων ἔλαβεν ὁ
Ἰσραὴλ ἐν πολέμῳ, ὅτι διὰ κυρίου ἐγένετο. ἀλλὰ καὶ Χά-
C λεβ υἱὸς Ἐφωνῆ ἐξωλόθρευσε τοὺς τρεῖς υἱοὺς Ἐναάκ, τὸν
Σουσῆ, τὸν Θολμὲ καὶ τὸν Σχιμᾶν. γίγαντες δὲ καὶ οὗτοι

3. σύμμυσις?

eorum contabuerunt, nec prae metu Israelicorum prudenter rebus suis consulere ullo modo poterant. consimile quiddam scilicet eis accidit illi, quod Iacobus expertus est prae gaudio, cum profectus in Aegyptum Iosephum filium adspiceret. nimirum de laetitia quaedam oritur sanguinis diffusio, de formidine vero facultatis vitalis contractio in nobis existit utroque modo fieri nonnunquam solet ut mors hoc pacto adfectos necessario comitetur. postquam Israelici flumen traiecissent, mox absque armis Hierichunte potiuntur; quo nomine factum ut eam pro anathemate ducerent, hoc est deo consecrarent. secundum haec Achar ille Charmae F., ex iis quae deo consecrata erant, veste quadam cum auri massa clanculum surrepta, deum ad iram provocavit. quapropter Iesus deum precatus, iraeque causa cognita, lapidibus hominem universa cum domo obruit. in hac Hierichuntis obsidione primum omnium violari sabbatum coepit: dies enim septem oppidum cum tubis cinxerunt atque circumierunt, quo dierum numero sabbatum quoque necessario comprehenditur. eodem Iesu, quemadmodum et supra meminimus, contra quinque reges praeliante sol in medio coelo restitit nec ad occasum progressus est unius integri diei spatio. et ceperunt Israelici bello cunctas Chananaeorum ditiones et opes, domino ipsis suppetias ferente. Chalebus quoque Ephonae F. tres Enaaci filios prorsus exstirpavit, nimirum

εὐμήκεις ἦσαν· εἰ μὴ γὰρ τοῦτο ἦν, οὐκ ἂν υἱοὺς τοῦ Ἐνάκ ἐκείνους ὠνόμασαν.

Ἰστέον ὅτι πρῶτος νόμος παρ' Ἑβραίοις ἐν ἐξόδῳ γέγραπται οὗτος. οὐκ ἔσονταί σοι θεοὶ ἕτεροι πλὴν ἐμοῦ. οὐ ποιήσεις σεαυτῷ εἴδωλον οὐδὲ παντὸς ὁμοίωμα ὅσα ἐν τῷ V. 126
οὐρανῷ ἄνω καὶ ὅσα ἐν τῇ γῇ κάτω. οὐκ ἔστιν ἐνταῦθα ταυτολογία τό τε εἴδωλον καὶ τὸ ὁμοίωμα· τὸ γὰρ ὁμοίωμα τινός ἐστιν ὁμοίωμα εἴτε χερσαίου ζώου εἴτε θαλαττίου εἴτε D
πτηνοῦ, τὸ δὲ εἴδωλον κατὰ τὴν Ὠριγένους ἐξήγησιν ἀνάπλασμα διανοίας ἀνυπόστατόν ἐστιν, ὡς ὁ παρ' Αἰγυπτίοις τιμώμενος κυνοκέφαλος καὶ ὁ παρ' Ἕλλησιν ἱπποκένταυρος.

Μετὰ μέντοι τὸν τοῦ Ναυῆ Ἰησοῦν ὑπὸ κριτῶν ὁ λαὸς ἐκρίνετο. ὧν πρῶτος Ἰούδας ὁ τὸν Ἀδωνιβεζὲκ χειρωσάμενος καὶ ἀκρωτηριάσας αὐτοῦ χεῖράς τε καὶ πόδας, βασιλέα τῶν ἀλλοφύλων ὄντα. οἱ γὰρ Χαναναῖοι μετὰ θάνατον τοῦ Ἰησοῦ κρατῆσαι τῶν Ἰουδαίων θαρρήσαντες τῷ Ἀδωνιβεζὲκ τὴν ἡγεμονίαν ἐπιτρέπουσι, καὶ κατ' ἐκείνων χωροῦσιν. ἀλλ' ἐσφάλησαν τοῦ σκοποῦ· κτείνονται γὰρ ἐξ αὐτῶν οὐκ ὀλίγοι, P. 163
κρατεῖται δὲ καὶ ὁ Ἀδωνιβεζέκ, καὶ χεῖρας καὶ πόδας ἀκρωτηριασθεὶς ἔλεγεν „οἱ βασιλεῖς τὰ ἄκρα τῶν χειρῶν καὶ τῶν ποδῶν αὐτῶν ἀποκεκομμένοι ἦσαν συλλέγοντες τὰ ὑποκάτω

Susem Tholmeum et Schimam; qui gigantes erant supra modum proceris corporibus, qua de causa Enaaci filii sacris in litteris appellati sunt.

Atque hoc loco illud etiam scire debes, legem primam apud Hebraeos in eo libro perscriptam esse qui est de Israelicorum ex Aegypto profectione. suntque legis haec prima verba „deos alios, praeter me, nullos habeto. simulacrum tibi ne facito, nec imaginem cuiusquam rei quae exstet aut supra in coelo aut infra in terra." non est hic eiusdem rei inepta iteratio: neque enim idem sonant simulacrum et imago, cum imago sit sive terrestris animalis sive marini sive volatilis, simulacrum autem de Origenis sententia et enarratione conceptum mente figmentum, quod tamen reapse non existat, quale quiddam erat Cynocephalus ille religiose cultus apud Aegyptios, vel Graecorum Hippocentaurus.

Post Iesum Navae F. populus a iudicibus gubernabatur, quorum primus fuit Iudas, qui Adonibezecum in potestatem redegit, regem extranearum nationum, eique manuum ac pedum extremas partes amputavit. quippe Chananaei post Iesu mortem de Iudaeis subigendis fiducia concepta principatum Adonibezeco detulerunt, eoque duce copiis in illos ductis fine ac instituto suo exciderunt. nam haud paucis interfectis Adonibezecus vivus captus est, extremisque pedum ac manuum partibus mutilatus „septuaginta" inquit (Iud. 1 7) „reges

τῆς τραπέζης μου. καθὼς οὖν ἐποίησα, οὕτω καὶ ἀνταπέδωκέ μοι ὁ θεός."

Ἀλλὰ καὶ Βαρὰχ σὺν Δεβώρᾳ τῇ προφήτιδι διέκρινε τὸν Ἰσραὴλ ἔτη μ'. προφῆτις δὲ ἦν ἡ Δεβώρα. αὕτη τοὺς B Ἰουδαίους ἀναχωρεῖν βουλομένους διὰ τὸ πλῆθος τῶν κατ' αὐτῶν ἐπιστρατευομένων Χαναναίων καὶ κατέχει καὶ πείθει τοῖς πολεμίοις συμβαλεῖν· ὅθεν καὶ πολλοὺς αὐτῶν ἀπέκτειναν. χειμὼν γὰρ βαρὺς γεγονὼς τοὺς μὲν Χαναναίους τὰ μέγιστα ἔβλαπτε, τοὺς δὲ Ἰουδαίους οὐδαμοῦ. τότε καὶ ὁ Σισάρας ἰδὼν τὴν γενομένην τροπὴν ἐκπηδᾷ τοῦ ἅρματος, καὶ πρὸς γυναῖκά τινα καταφεύγει λεγομένην Ἰαὴλ τοῦ σωθῆναι παρ' αὐτῆς. τούτῳ δὲ τῷ Σισάρᾳ καὶ ποτὸν αἰτήσαντι γάλα δίδωσιν ἤδη διεφθορός. καὶ ὃς πλέον τοῦ μέτρου πιὼν εἰς ὕπνον ἐτράπη βαθύν. τότε γοῦν Ἰαὴλ φονεύει αὐτόν, τὸν πάσσαλον τοῖς κροτάφοις ἐμπερονήσασα. καὶ οὕτως C αὐτοῖς ἡ νίκη περίεστι κατὰ τὴν τῆς Δεβώρας προφητείαν. καλῶς οὖν ἡ γραφὴ τὸν Σουσῆ, τὸν Θολμὲ καὶ τὸν Σχιμᾶν υἱοὺς ἐκάλεσε τοῦ Ἐνάκ, γιγαντιαῖα φέροντας σώματα. ὅρα γὰρ ὅτι καὶ ὁ Ἰώσηπος ὑπολελεῖφθαι λέγει τοῖς Χαναναίοις τὸ τῶν γιγάντων γένος, οἳ διὰ σωμάτων μεγέθη καὶ μορφὰς οὐδὲν τοῖς ἄλλοις παραπλησίας ἀνθρώποις παράδοξον ἦσαν

extremis pedum manuumque partibus truncati mea sub mensa micas collegerunt. quemadmodum in illos ego me gessi, ita mihi divinitus est repensum."

Barachus quoque cum Debora, muliere vate, iudicis apud Israelicos officio functus est annos quadraginta. mulier ea vaticinandi perita erat, cumque Iudaeos cerneret ob hostium Chananaeorum multitudinem pedem referre velle, non solum eos in officio continuit, sed etiam persuasit ut manum cum hoste consererent; quo facto magnae illorum copiae sunt occisae. nam tempestas ingens exorta Chananaeos quidem gravissime laedebat, Iudaeis vero nihil damni dabat. itaque tum Sisaras suos in fugam versos conspiciens de curru exsilit, et ad feminam quandam se fugiens confert, cui nomen esset Iaelę, ut apud ipsam vitae suae consuleret. tum illa Sisarae, qui potum sibi dari postulasset, lac iam corruptum praebet; quo ille immodice hausto gravi somno corripitur. ibi Iaela clavo tempora ei trasadigit hominemque interficit. hoc modo victoria potiti sunt, quemadmodum Debora vaticinata fuerat. caeterum litterae sacrae Susem Tholmeum et Schimam non abs re, ceu diximus, Enaaci filios appellarunt, uti quorum corpora Gigantum corporibus magnitudine paria fuerint. nam et Iosephus commemorat apud Chananaeos tum reliquam Gigantum fuisse nationem, qui propter corporum molem atque formam, quae reliquorum hominum formae non responderet, inusitatum mortalibus

θέαμα καὶ δεινὸν ἄκουσμα. δείκνυται δὲ καὶ νῦν ἔτι τούτων ὀστᾶ μηδὲν τοῖς ὑπὸ πίστιν ἐρχομένοις ἐοικότα.

Ἐπὶ μὲν Βαρὰχ καὶ Δεβώρας Προμηθεὺς καὶ Ὀρφεὺς Θρᾷξ ἐγνωρίζοντο οἱ παρ' Ἕλλησι σοφώτατοι, καὶ Ἀσκληπιὸς D
ὁ ἰατρὸς καὶ Λυκοῦργος ὁ νομοθέτης. τοσοῦτον δὲ λέγουσι τὸν Ἀσκληπιὸν ἠκριβωκέναι τὴν ἰατρικὴν τέχνην ὡς καὶ νεκροὺς ἀνιστᾶν, ἐφ' ᾧ χαλεπήναντα τὸν Δία κεραυνῷ βαλεῖν αὐτόν, καὶ οὕτω τῶν τῇδε ἐκστῆσαι.

Δεῖξαι δὲ θέλων ὁ θεὸς ὅτι τῇ δυνάμει αὐτοῦ τὰ πάντα γίνονται καὶ οὐ πλήθει λαοῦ, συμβουλεύει τῷ Γεδεών, ἡνίκα κατὰ Μαδιηναίων ὁρμᾶν ἤθελε, περὶ μεσοῦσαν ἡμέραν ἐν ἀκμῇ τοῦ καύματος ὄντος, ἄγειν τὴν στρατιὰν ἐπὶ τὸν ποταμόν, καὶ τοὺς μὲν κατακλιθέντας καὶ οὕτω πίνοντας εὐψύχους V. 127
ὑπολαμβάνειν, ὅσοι δ' ἂν ἐσπουδασμένως καὶ μετὰ θορύβου P. 164
πίνοντες τύχοιεν, τούτους δὴ νομίζειν ὑπὸ δειλίας τοῦτο πάσχειν. τοῦ μέντοι Γεδεὼν κατὰ τὰς ὑποθήκας τοῦ θεοῦ ποιήσαντος τριακόσιοι ἄνδρες εὑρέθησαν ταῖς χερσὶ μετὰ τρόμου προσενεγκάμενοι τὸ ὕδωρ, ὡς Ἰώσηπος ἱστορεῖ. ὅθεν καὶ διὰ τῶν τοιούτων ἔφη ὁ θεὸς τοῖς πολεμίοις ἐμβαλεῖν. νυκτὸς οὖν αὐτοῖς ἐπεμβαίνουσι, σάλπιγγας ταῖν χεροῖν φέροντες καὶ λαμπάδας ἁπτομένας ἐντὸς ἀγγείων τινῶν.

10. συμβασιλεύει P.

spectaculum erant et famam de se terribilem concitabant. eorum nunc quoque monstrantur adhuc ossa fidem plane superantia.

Horum aetate, videlicet Barachi atque Deborae, sapientissimi apud Graecos viri Prometheus et Orpheus oriundus e Thracia celebres fuerunt, itemque medicus Aesculapius, et Lycurgus legum apud Lacedaemonios lator. Aesculapium aiunt artem medicam tam accurate cognitam habuisse, ut etiam mortuum quendam vitae restituerit; quo facto Iuppiter iratus hominem fulmine tactum rebus humanis exemerit.

Secundum haec indicare deus volens omnia per ipsius potestatem fieri, non per hominum ingentes copias, Gedeoni Madiannaeos invadere conanti auctor fuit ut ipsa in meridie, cum aestus maximus foret, exercitum ad flumen duceret. ibi vero quicunque in genua procumberent atque ita biberent, eos ut pro magnanimis haberet, monet: quotquot autem festinanter et cum tumultu quodam biberent, eos existimaret hoc prae formidine facere. cum Gedeo dei monitis parens hoc ipsum fecisset, 300 homines reperti sunt qui cum trepidatione manibus aquam haustam ori admoverent, quemadmodum Iosephus memoriae prodidit. quapropter ei praecepit deus ut cum illis hostem adoriretur. noctu ergo Medianaeos invadunt, cum tubas manibus itemque faces accensas intra vasa quaedam gestarent.

Καὶ ὁ μὲν Γεδεὼν γηραιὸς τελευτᾷ· παῖδες δὲ ἦσαν αὐ-
B τῷ γνήσιοι μὲν ο΄ (πολλὰς γὰρ ἔγημε γυναῖκας), νόθος δὲ εἷς
ἐκ παλλακῆς. ἐξ ἐπαγγελίας τίκτει ὁ Μανωέ, τὸ δὲ γεννη-
θὲν παιδίον Σαμψῶνα καλοῦσιν· ἰσχυρὸν δὲ κατὰ τὸν Ἰώ-
σηπον σημαίνει τὸ ὄνομα. τηνικαῦτα καὶ Ἡρακλῆς ἤκμαζε.
τοσοῦτον δὲ ἦν ἀνδρεῖος ὁ Σαμψὼν ὅτι καὶ ἐπὶ Γάζαν εἰσελ-
θὼν καὶ παρὰ πόρνῃ τινὶ καταχθείς, ἐπειδὴ παρετηρεῖτο
παρὰ τῶν ἐκεῖσε, ἀνεμόχλευσε διὰ χειρῶν τὰς πύλας καὶ
ἐξῆλθεν. ἀλλὰ καὶ πρὸ τούτου κατὰ Παλαιστινῶν ἔχων ὁ
Σαμψὼν τί ποιεῖ; θέρους ὄντος καὶ πρὸς ἀμητὸν ἤδη τῶν
καρπῶν ἀκμαζόντων συλλαβὼν τὰς ἀλώπεκας, καὶ τῶν οὐρῶν
C αὐτῶν ἐξάψας λαμπάδας ἡμμένας, ἀφίησιν εἰς τὰς ἀρούρας
τῶν Παλαιστινῶν, καὶ οὕτω τοὺς καρποὺς αὐτῶν διέφθει-
ρεν. οἱ οὖν ἀλλόφυλοι μετὰ τὸ ἐμπρησθῆναι τὰς ἀρούρας
αὐτῶν πόλεμον πρὸς τοὺς Ἰσραηλίτας συνάπτουσι, τὸν Σαμ-
ψὼν αἰτούμενοι ἔκδοτον. τί οὖν οἱ Ἰσραηλῖται; τὴν τῶν
πολεμίων δεδιότες ἔφοδον δέσμιον αὐτοῖς τὸν Σαμψὼν ἐκδι-
δόασι. καὶ ὃς ἰδὼν ἐκείνους ὁρμήσαντας κατ᾽ αὐτοῦ τὰ μὲν
δεσμὰ διέῤῥηξε, σιαγόνα δὲ ὄνου λαβὼν χιλίους ἄνδρας τῶν
D ἀλλοφύλων ἀπέκτεινεν. ὅθεν ἐπὶ τοσοῦτον ἀγωνιζόμενος ὑπὸ
δίψους ἐφλέγετο. δέεται οὖν τοῦ θεοῦ, καὶ τηνικαῦτα πα-
ραμυθεῖται αὐτόν· ἡ γὰρ σιαγὼν παρ᾽ αὐτοῦ ἐκθλιβεῖσα

Post haec Gedeo senectute confectus vita fungitur, relictis filiis legitimo toro natis septuaginta, quos ex pluribus uxoribus susceperat, et uno spurio e concubina nato. hinc Manoas accepto divinitus promisso filium gignit, cui Samsonis nomen est inditum, quod ex interpretatione Iosephi robustum significat. eodem cum hoc tempore Hercules quoque vixit. erat autem Samsoni tam virilis animus, ut cum Gazam ingressus ad meretriculam quandam divertisset atque ab incolis oppidi universis custodiretur, manibus suis portas cum repagulis evulserit atque ita oppido sit egressus. quinetiam priusquam hoc accideret, suscepto adversus Palaestinos bello quiddam huiusmodi fecit. erat tempus aestivum, iamque fructus ita maturuerant ut messis appeteret, cum Samso trecentis vulpibus captis earum caudis faces ardentes alligat, atque ita in Palaestinorum agros eas immittit. hoc pacto segetes eorum exustae fuerunt. illi segetibus succensis bellum Israelitis faciunt, simulque Samsonem sibi dedi iubent. quid heic factum ab Israelitis? nimirum illi hostiles incursus veriti vinctum Samsonem eis dedunt. heic cum ille Palaestinos ad se contendentes cerneret, ruptis vinculis quibus adstrictus erat, asini maxillam nactus mille hostes interficit. cum autem tanta virium contentione praeliaretur in hostem, accidit ut sitis ardens eum graviter adfligeret. quapropter deum obsecrat, qui mox opem suppeditans hominem con-

ὕδωρ ἔβλυσεν ἄφθονον. ὅθεν ἡ τοιαύτη πηγὴ μέχρι καὶ τήμερον ἐν τοῖς προαστείοις Ἐλευθεροπόλεως φαίνεται, σιαγόνος ἐπονομαζομένη πηγή. ὁ μὲν οὖν Ἰώσηπός φησιν ὅτι τῇ οἰκείᾳ δυνάμει καὶ οὐ τῷ θεῷ τὴν νίκην ἐπιγραψάμενος διψῆσαι κατὰ πολὺ συγκεχώρηται. πλὴν ὁ τοσοῦτος τὴν ἰσχὺν ὑπὸ γυναικὸς κατέστη παίγνιον ὕστερον. μετὰ ταῦτα γὰρ ἠγάπησε τὴν ἐκ Παλαιστινῶν Δαλιλάν, ἥτις παρὰ τῶν ἀλλοφύλων δωροφορηθεῖσα ἠξίου αὐτὸν ἐξειπεῖν αὐτῇ ἐν τίνι τυγχάνει ἡ ἰσχὺς αὐτοῦ. καὶ ὃς παρελογίζετο μὲν αὐτὴν τὰ πρῶτα, λέγων „ἐὰν δήσωσί με ἐν ἑπτὰ κληματίσιν ὑγραῖς P. 165 ἤγουν νευραῖς, ἀτονήσω, καὶ ἔσομαι ὡς εἷς τῶν ἀνθρώπων." καὶ δὴ λαβοῦσα νευρὰς ἔδησεν αὐτόν, εἶθ' οὕτως ἐβόησεν „ἀλλόφυλοι ἐπὶ σὲ Σαμψών." καὶ ὃς ἀναστὰς διέρρηξεν αὐτάς. παραλογισθεῖσα οὖν ἐνέκειτο, καὶ αὖθις ἠξίου μαθεῖν ὅθεν ἡ ἰσχὺς αὐτῷ. καὶ ὃς ἀπατῶν αὐτὴν ἔλεγεν „ἐὰν δήσωσί με ἐν ἑπτὰ καλωδίοις ἀθίκτοις, ἐκλείψει ἡ ἰσχύς μου." ποιησάσης οὖν καὶ τοῦτο, καὶ βοησάσης „ἀλλόφυλοι ἐπὶ σὲ Σαμψών," διέρρηξεν αὐτὰ παραχρῆμα ἐκ τῶν βραχιόνων αὐτοῦ. πάλιν οὖν ἀξιούσης αὐτῆς ἔλεγεν „ἐὰν τοὺς B ἑπτὰ βοστρύχους τῆς κεφαλῆς μου διεστῶτας ἀπ' ἀλλήλων V. 128 ἐπὶ πασσάλων ἐκδήσῃς καὶ ἐπὶ τοῦ τοίχου προσπήξῃς, ἀσθε-

solatur. quippe de maxilla, quam abiecerat, ingens aquae copia promanavit, atque hic fons in hodiernum usque diem in Eleutheropolis suburbio conspicitur et Fons maxillae nuncupatur. atque hoc loco Iosephus ait, quod suis viribus, non deo victoriam acceptam tulisset, tanta siti esse vexatum. sed enim tanto vir praestans robore deinceps unius mulierculae opera cunctis se deridendum praebuit. nam haud multo post amore Dalilae Palaestinae captus est, quae ab alienigenis muneribus corrupta petebat ab eo ut sibi fateretur, quonam in membro situm robur illud haberet. tum ille mulierem initio fallens „si me tui constrinxerint" ait „septem nervis humidis, vires me destituent, similisque caeteris mortalibus ero." illa vero sumptis nervis hominem constrinxit, ac deinde clamorem verbis hisce sustulit (Iudic. 16 9) „alienigenae te invadunt, Samso." quibus audítis surrexit et nervos laceravit. quapropter illa decepta rursus hominem precibus urgere, scireque cupere quaenam esset illius roboris causa. Samso contra feminam fallere, ac vicissim dicere, si se funibus septem recentibus et nullum ad usum adhibitis colligarent, vires suas omnino defecturas. cum hoc etiam illa fecisset et inclamasset „alienigenae te invadunt, Samso," mox funes discerpsit, quibus erant eius colligata brachia. cum rursus igitur idem ex eo quaereret, respondit, si capitis sui cincinnos divisos clavis alligaret ac parieti adfigeret, debilem se futurum reliquisque mortalibus consimilem. verum ne tum quidem

νήσω καὶ ἔσομαι ὡς οἱ λοιποὶ κἀγώ." ἀποτυχοῦσα οὖν κἂν τούτῳ ἐξελιπάρει αὐτὸν αὖθις· ὅθεν ἀνακαλύπτει τὸ ἀπόρρητον, καὶ οὕτω φησὶ πρὸς αὐτὴν „ξυρὸν ἐπὶ τὴν κεφαλήν μου οὐκ ἀνέβη, ὅτι Ναζαραῖος θεοῦ εἰμὶ ἐγὼ ἐκ κοιλίας μητρός μου. καὶ εἰ ξυρήσωμαι, ἀσθενήσω, καὶ ἀποστήσεται ἀπ' ἐμοῦ ἡ ἰσχύς μου, καὶ ἔσομαι ὡς εἷς τῶν ἀνθρώπων." κατακοιμίσασα οὖν αὐτὸν ἡ Δαλιλὰ ἐξύρησε, καὶ τοῦτο ποιή- C σασα ἐβόησεν „ἀλλόφυλοι ἐπὶ σὲ Σαμψών." καὶ ὃς ἀναστὰς οὐκέτι ἐνεργεῖν ἴσχυεν, ὡς καὶ πρότερον. οὐκοῦν ἐμπίπτουσιν αὐτῷ οἱ ἀλλόφυλοι, καὶ κρατήσαντες ἐκπηροῦσιν αὐτόν. ἀλλὰ τί τὸ μετὰ ταῦτα; ἔκλαυσε Σαμψὼν πρὸς κύριον, καὶ εἶπεν „Ἀδωναῒ κύριε τῶν δυνάμεων, μνήσθητί μου νῦν, καὶ ἴσχυσόν με ἔτι ἅπαξ τοῦτο, θεέ, καὶ ἀνταποδώσω ἀνταπόδοσιν μίαν περὶ τῶν δύο ὀφθαλμῶν μου τοῖς ἀλλοφύλοις." ἐφ' ᾧ καὶ οὐ παρεῖδεν αὐτὸν ἐπικερτομούμενον ὁ θεός· καὶ παιδαρίοις γὰρ εἰς γέλωτα μετὰ τὸ τυφλωθῆναι προὔκειτο. D παραδόξως οὖν ἐνισχύει αὐτόν. ἐφ' ᾧ καὶ καθημένων ἐκείνων καὶ μεθυόντων (ἐπινικίων γὰρ ἕνεκεν τοῖς εἰδώλοις ἐπανηγύριζον) ἐπιδράσσεται τῶν τοῦ οἴκου δύο κιόνων ἐν ᾧ ἦσαν καθήμενοι, καὶ μετὰ τὸ κρατῆσαι αὐτοὺς εἶπεν „ἀποθανέτω ἡ ψυχή μου μετὰ τῶν ἀλλοφύλων." ὃ δὴ καὶ γέγονεν. ἀφ'

10. ἐκπηροῦσιν] ἐκτυφλοῦσιν F.

voti compos facta de integro blanditiis hominem exorare nititur quamobrem ille tandem arcanum ei patefacit. capiti, ait (Iud. 16 17), meo novacula nunquam est admota; nam inde usque a ventre matris dei sum Nazaraeus. quodsi tondebor, abiturae sunt a me vires, et infirmus caeterorumque omnium similis ero. quapropter ubi hominem Dalila consopivisset, totondit; quo facto, exclamat „invadunt alienigenae te, Samso." tum ille consurgens non amplius eo corporis uti robore poterat quo dudum. quapropter in eum alienigenae irruunt, hominemque suam in potestatem redactum oculis spoliant. quid vero secundum haec factum? plorans Samso dominum his verbis invocat (Iud. 16 38): „domine deus exercituum, memento nunc, quaeso, mei, meque hoc saltem postremum corrobora, deus, dum pro ambobus oculis meis alienigenas semel ulciscor." quapropter illusum ab hostibus non neglexit nec aversatus est deus: nam ex quo amiserat oculos, etiam ludibrio pueris erat. novo igitur et inusitato quodam modo deus ei vires adauget. quo facto sedentibus illis ac vino se ingurgitantibus, ut qui celebritatem quandam simulacris instituissent victoriae, quam de hoste suo consecuti fuissent, causa, domus illius, qua in domo sedebant, columnas duas prehendit easque complexus „volo" inquit „ex vita cum alienigenis discedere." quod quidem mox ita factum est. atque hoc exemplo declaravit deus se adfectos

οὗ καὶ δείκνυσιν ὁ θεὸς ὡς οὐ παραβλέπει τοὺς ἀδικουμένους δεομένους αὐτοῦ· τοσαύτην γὰρ ἰσχὺν ἐχαρίσατο τῷ Σαμψὼν ὡς κλονῆσαι μὲν τοὺς φέροντας κίονας τὸν τῶν εἰδώλων σηκόν, συγκατενεγκεῖν δὲ τούτοις τὸν ὄροφον, καὶ ,γ ἄνδρας συγχῶσαι, καὶ γυναικῶν ὡσαύτως παραπλήσιον ἀριθμόν.

Οὐ μικρῶς δὲ τὴν ἄρρητον τοῦ θεοῦ οἰκονομίαν καὶ P. 166
φιλανθρωπίαν ἐπὶ τούτοις ἐκπλήττεται ὁ θειότατος Ἀναστάσιος ὁ Σιναΐτης, ἐννοῶν ὅπως τῆς τῶν σεσωσμένων μοίρας ἠξίωσε τὸν Σαμψών, καὶ ταῦτα πρὸς φόνον ἑαυτὸν ἐκδεδωκότα τῶν ἀδικησάντων αὐτὸν ἕνεκεν. ἀλλὰ καὶ τίνος χάριν τοσαύτην ἰσχὺν ἐκ κοιλίας μητρὸς ἐκτήσατο ὁ Σαμψών, οὐ παρελθεῖν ἄξιον. ἐπειδὴ γὰρ οἱ Ἰσραηλῖται τεσσαρακονταετῆ χρόνον τοῖς ἀλλοφύλοις δουλεύσαντες τοῦ θεοῦ τέλεον ἐπελάθοντο, δικαίου μηδενὸς ὄντος παρ' αὐτοῖς, τούτου χάριν ἐκ B
σπαργάνων αὐτὸν ὁ θεὸς δίκαιον ἄνδρα καὶ ἰσχυρὸν παρέσχεν αὐτοῖς, ὅπως διὰ τῆς ἐναρέτου πολιτείας καὶ παραδόξου ἀνδρείας παρεχομένην αὐτοῖς ὁρῶντες τὴν σωτηρίαν ἑαυτούς τε διορθώσωνται καὶ τὸν τῶν ὅλων θεὸν ἐκζητήσωσιν. ἀλλ' ἐκεῖνοι μᾶλλον καὶ τοῦ θεοῦ λήθην ἐλάμβανον, καὶ τὸν εὐεργέτην αὐτῶν εἰς χεῖρας τῶν πολεμίων φέροντες ἔρριπτον. ὅθεν εὐλόγως ἡ τοῦ θεοῦ ἐξέλιπεν αὐτοὺς

iniuriis non negligere. tantum enim roboris hoc tempore Samsoni largitus est, ut non solum columnas confractas dirueret, quibus fanum illud simulacrorum fultum innitebatur, sed etiam eadem vi tectum deiiceret, ac virorum quidem tria milia, mulierum vero parem numerum ea ruina oppirmeret.

Hoc loco divinus ille vir Anastasius Sinaites non parum dei tum administrationem tum benignitatem obstupescens demiratur, expendens ipse secum quod Samsonem dignatus sit eorum in numerum recipere qui salutem consequuntur, cum tamen hoc etiam ille praeter alia commiserit, ut eos ulciscendi causa quorum iniuriis laesus fuerat, semetipsum morti dederet. nec omittenda heic nobis est indicatio causae, quam ob causam a ventre matris Samso tantum roboris habuerit. quia enim Israelitae, qui iam totos annos quadraginta servitutem alienigenis servierant, dei prorsus erant obliti nec ullum apud se iustum hominem habebant, iccirco Samsonem deus ipsis tribuit, virum a primis incunabulis iustum ac magno robore praeditum, ut per ipsius virtutem ac fortitudinem plane admirandam servari se liberarique animadvertentes vitam suam emendarent et deum illum huius universi quaererent. verum enimvero magis illi deum oblivioni tradebant, ac virum praeclare de se meritum in manus hostiles traditum scelerate reiiciebant. quamobrem deus etiam aequissi-

ἐπισκοπή· μετὰ γὰρ τὸν Σαμψὼν οὐκέτι παρ' Ἑβραίοις κριτής.

Εἰ δὲ καὶ τοῦτο ζητεῖς, ἀγαπητέ, τίνος ἕνεκεν ὁ θεὸς C τὴν τοῦ Ἰεφθάε θυγατέρα σφαγῆναι συνεχώρησε (κριτὴς δὲ V. 129 καὶ οὗτος παρ' Ἑβραίοις ἦν), ἄκουε. ἀνόητος ἄγαν ἡ τοῦ Ἰεφθάε ὑπόσχεσις· ἔδει γὰρ αὐτὸν συνιδεῖν, ὡς εἰκός, κύνα πρῶτον ἢ ὄνον συναντῆσαι, τὰ κατὰ νόμον ἀκάθαρτα. παιδεύων οὖν ὁ θεὸς δι' ἐκείνου τοὺς ἄλλους ὥστε μετὰ σκοποῦ ποιεῖσθαι τὰς ὑποσχέσεις (ὑπεσχέθη γὰρ ἐκεῖνος τὸ συναντῆσαν αὐτῷ ἐκ τῆς οἰκίας θῦσαι τῷ θεῷ) οὐκ ἐκώλυσε τὴν σφαγήν. ἡ δὲ θυγάτηρ πολλῷ κρείττων τοῦ Ἰεφθάε· D ἰδοῦσα γὰρ αὐτὸν τὴν ἐσθῆτα ῥηγνύντα καὶ ὀλοφυρόμενον εἶπεν „εἰ ἐν ἐμοὶ ἤνοιξας τὸ στόμα σου, ποίει μοι ὃν τρόπον ἐξῆλθεν ἐκ τοῦ στόματός σου, ὑπὲρ ὧν ἐποίησέ σοι ὁ κύριος ἐκδίκησιν ἐκ τῶν ἐχθρῶν σου ἐκ τῶν υἱῶν Ἀμμών."

Γίνωσκε δὲ καὶ τοῦτο πρὸς τοῖς εἰρημένοις, ὅτι μετὰ τὴν τελευτὴν τοῦ Σαμψὼν ἡ φυλὴ τοῦ Βενιαμὶν τὴν παρα φύσιν τῶν Σοδομιτῶν ἐνενόησεν ἡδονὴν καὶ τοῖς ἐπιξενουμένοις ἐπεμαίνοντο. Λευίτης δέ τις ἐν Ἱερουδὶμ κατοικῶν γυναῖκα ἐκ Βηθλεὲμ ἄγεται παλλακίδα, ἥτις δι' ὀλιγοψυχίαν τινὰ πρὸς τοὺς πατέρας ὑπέστρεψε. παραγίνεται οὖν ἐκεῖσε

mo iure curam ipsorum habere desiit: nam post Samsonem nullus apud Hebraeos iudex amplius exstitit.

Quodsi etiam intelligere de nobis aves, dilecte fili, quamobrem deus Iephthae filiam mactari et iugulari permiserit (fuit autem is quoque iudex apud Hebraeos), quid dicturi simus audito. promissum hoc votumque Iephthae perquam stultum erat. nam expendere secum ipse prius debuerat, fieri fortassis posse ut vel canis vel asinus vel aliquod aliud immundum ex indicatione legis animal ipsi primum occurreret. quapropter eius exemplo, qui voto concepto promiserat se immolaturum deo quicquid ex domo sua primum obvium habuisset, alios monere volens deus ut non absque consideratione vota conciperent, iugulationem hanc non impedivit. filia quidem ipsa longe Iephtham patrem virtute superavit. nam cum eum cerneret vestimenta sua lacerantem atque plorantem, „si quidem" ait (Iud. 11 36) „de me aliquid pollicitus es, facito mihi ut tua fert promissio, postquam tibi dominus tuos hostes Ammonitas ultus est."

Praeter hactenus autem indicata scire debes post Samsonis e vita migrationem Beniamineam tribum voluptati se Sodomitarum abhorrenti a natura tradidisse, ac furiose in homines peregrinos irruisse. forte quidam Levita, qui habitaret Ierudimae, uxorem duxerat concubinam a Bethlehema, quae ex animi quadam infirmitate suos ad parentes est reversa. quapropter eodem et Levita proficiscitur, et

καὶ ὁ Λευίτης, καὶ φιλοτίμως δεξιωθεὶς παρὰ τοῦ πενθεροῦ
αὐτοῦ λαμβάνει τὴν γυναῖκα, καὶ παραγίνεται εἰς Γαβαὰ P. 167
πόλιν τῆς φυλῆς Βενιαμίν, καὶ κατάγεται παρὰ πρεσβύτῃ
κατοικοῦντι τὴν πόλιν. γνόντες οὖν οἱ τὴν πόλιν οἰκοῦντες
Βενιαμὶν τοῦ πρεσβύτου τὸν οἶκον περιστοιχίζουσι καὶ τὰς
θύρας συντρίβουσιν, ἐμπαροινῆσαι τῷ ξένῳ ζητοῦντες. ὁ δὲ
τὴν θυγατέρα ἔτι ἄγαμον οὖσαν καὶ τοῦ ξένου τὴν παλλακὴν
εἰς παράχρησιν ἐδίδου αὐτοῖς, φείσασθαι τοῦ ξένου ἀξιῶν.
οἱ δ' οὐκ ἠνέσχοντο. ἀλλὰ καὶ ὁ Λευίτης παρελθὼν τὴν παλ-
λακὴν αὐτοῦ ἐκδίδωσι, κἀκεῖνοι δι' ὅλης νυκτὸς αὐτῇ παρα-
χρησάμενοι ἐξαπέστειλαν. ἐγγίσασα οὖν αὕτη τῇ θύρᾳ ἔνθα B
κατήγετο, εὐθέως ἐξέπνευσεν. ὁ γοῦν ἀνὴρ αὐτῆς νεκρὰν ἰδὼν
αὐτὴν ἐπέθετο τῷ ὑποζυγίῳ αὐτοῦ καὶ οἴκαδε ἀπεκόμισε, καὶ
διελὼν αὐτὴν εἰς ιβ' τμήματα ἑκάστῃ φυλῇ πρὸς ἓν τεμάχιον
ἐξαπέστειλε, τὴν παρανομίαν τῆς τοῦ Βενιαμὶν κηρύττων
φυλῆς. σχετλιάζει οὖν ἐπὶ τούτοις ὁ Ἰσραήλ, δέονται τοῦ
θεοῦ. ἐφ' ᾧ καὶ κατ' αὐτῶν ὁρμήσαντες, ἐπεὶ τοὺς ὑπαιτί-
ους δοῦναι πρὸς τιμωρίαν οὐκ ἤθελον, αὐτοὺς μὲν κατασφάτ-
τουσι, τὴν δὲ πόλιν ἔργον ποιοῦσι πυρός.

Τὸ μέντοι πρόβλημα ὅπερ ὁ Σαμψὼν προυβάλλετο, τοῦ- C
τον ἔχει τὸν τρόπον. τί βρωτὸν ἐξῆλθεν ἐκ βιβρώσκοντος καὶ ἀπὸ ἰσχυροῦ γλυκὺ βρωτόν; ἡδὺ τὸ μέλι καλεῖ, βιβρώσκον-

exceptus a socero perhonorifice uxorem suam recipit. inde Gabaam discedit, oppidum Beniamineae tribus, ibique ad senem quendam agricolam, inquilinum eius loci, divertit. ea re cognita Beniaminei, qui cives eius oppidi erant, senis illius domum undique cinctam obsident, et impulsis foribus hospitem per scelus violare conantur. ibi senex ille filiam suam necdum nuptam et hospitis concubinam eis offert, quibus ad libidinem abuterentur, saltem petens ut hospiti parcerent. quod cum illi facturos se negarent, egressus e domo Levita concubinam suam eis exhibet. illi tota nocte ad libidinem illa abusi, tandem dimittunt. quapropter ad hospitii fores progressa continuo vitam cum morte commutat. tum maritus eius mortuam videns iumento suo imponit, ac domum deportatam in partes duodecim dissecat; quarum partium singulas quamlibet ad tribum mittit, simulque Beniamineae tribus scelus demonstrat. quo facto rem Israelici perquam moleste ferunt, ipsumque deum precantur. deinceps Beniamineos cum copiis invadunt. qui cum auctores facinoris ad noxam se dedituros negarent, Israelici eos interficiunt et oppidum igne iniecto cremant.

Caeterum problema quod Palaestinis Samso proposuit, erat huiusmodi (Iud. 14 14): ex comedente cibus, ex robusto exiit dulcedo. per dulcedinem mel intelligit, per comedentem ac robustum leonem,

τα δὲ ἰσχυρὸν τὸν λέοντα, ἐν ᾧ νεκρῷ ὄντι μέλι ἐξύφαναν
μέλισσαι, ἀφ' οὗ λαβὼν ἔφαγεν ὁ Σαμψών. ἀλλ' ἐντεῦθεν,
ἀγαπητέ, συνορᾶν ἄξιον ὅτι μάτην οἱ Ἰουδαῖοι ἀκαθάρτους
καλοῦσιν ἡμᾶς. εἰ γὰρ ἀκάθαρτοι ἦμεν ἡμεῖς ἅτε δὴ τὸν
λαγωόν, τὸν χοῖρον, καὶ ὅσα τοιαῦτα, μὴ κατὰ νόμον
ταῦτα ἐσθίοντες, ἀνάγκη πᾶσα καὶ τὸν ἐν προφήταις μέ-
γιστον Ἠλίαν τοῖς αὐτοῖς ἐγκλήμασι καθυποβάλλεσθαι. τί-
D νος ἕνεκεν; ὅτι τὸν ἄρτον ἐξ ἀκαθάρτου ζώου τοῦ κόρα-
κος δεχόμενος ἤσθιε. διὰ τί δὲ ταῦτα συνέβαινε, καὶ τί-
νος ἕνεκεν; ἵνα μάθωμεν ὅτι καὶ πρὸ τῆς χάριτος ἡ πα-
λαιὰ τὰ τοῦ νόμου ἀνέτρεπεν. εἰ γὰρ ἀκάθαρτος ἦν ὁ κό-
ραξ, πῶς ἐξ αὐτοῦ τὴν βρῶσιν ὁ τοσοῦτος Ἠλίας ἐδέξα-
το; πῶς δὲ καὶ ὁ Σαμψὼν Ναζαραῖος ὢν καὶ ὑπὸ νόμον τε-
V.130 λῶν τὸ κηρίον τοῦ μέλιτος ἔφαγεν, ὅπερ ἐν νεκρῷ λέοντι
ἐξύφαναν μέλισσαι; πῶς δὲ καὶ διψήσαντα διὰ τῆς ἀκαθάρ-
του καὶ μιαιφόνου σιαγόνος παρεμυθήσατο ὁ θεός, ἐὰν ὁ
κόραξ, ὁ νεκρὸς λέων καὶ ἡ σιαγὼν τοῦ ὄνου ἀκάθαρτα; πῶς
διὰ τῶν τοιούτων ὁ θεὸς τοὺς ἑαυτοῦ θεράποντας ἐθεράπευε;
P.168 πῶς δὲ καὶ ἀκάθαρτα ὄντα κοινὴν ἀρχῆθεν τὴν εὐφημίαν
ἐδέξαντο; „εἶδε" γάρ φησιν „ὁ θεὸς αὐτά, καὶ εἶπεν ὅτι
καλά." εἰ οὖν ὁ χοῖρος καλὸς ὡς κτίσμα θεοῦ, πῶς ὁ αὐ-

12. ἐδέχετο margo P. 13. ναζωραῖος F.

in cuius cadavere mel apes finxerant, quod inde sumptum Samso comederat. est autem operae pretium, dilecte fili, te hinc animadvertere nos nulla de causa iusta immundos a Iudaeis appellari. nam si propterea sumus immundi, quod leporibus porcis aliisque talibus contra legis interdictum vescamur, omnino sequi necesse est ut maximus ille vatum Elias eodem nobiscum crimine teneatur. quamobrem istuc? quia panem ab immundo animali, nimirum corvo, acceptum comedit. qua vero de causa haec ita facta sunt? ut sciremus etiam ante patefactam dei gratiam, durante adhuc veteri foedere, legis quaedam praecepta violata fuisse. nam quamvis animal immundum sit corvus, nihilo tamen minus eximius ille vates Elias allatum ab eo cibum accepit. quo item pacto factum ut Samso, qui Nazaraeus esset ac legi subiectus, favo mellis vesceretur quod apes in cadavere leonino finxissent? qui hominem siti vexatum per immundam pollutamque maxillam deus recreat? si corvus, si leoninum cadaver, si asini mortui maxilla res immundae sunt, cur per ea deus ministrorum suorum vitae consuluit et opem tulit? praeterea qui factum est ut si quidem immunda sunt quaedam, initio tamen rerum communem illam cum caeteris benedictionem acceperint? sic enim sacris in litteris (Gen. 1 31) perscriptum legimus „vidit deus omnia quae fecerat, eaque bona esse pronuntiavit." si ergo porcus tanquam res a deo creata bonus erat, qui deinceps fa-

τὸς ἀκάθαρτος ὕστερον; εὔδηλον οὖν ὅτι τὸ τοῦ Ἰσραὴλ πρὸς κακίαν ὀξύρροπον διορθούμενος ὁ θεὸς τοιούτους ἔθετο νόμους καὶ τοιαῖσδε θεραπείαις ἐχρήσατο. οὕτω μὲν οὖν καὶ ἐπὶ τοῦ Νῶε διαίρεσιν τεχνᾶται τῶν ζώων. ἐπειδὴ γὰρ ἑώρα τοὺς ἀνθρώπους εἰς εἰδωλομανίαν ἐκκλίνοντας, εὐμεθόδως, ὡς ἔφημεν, εἰς καθαρὰ ταῦτα διιστᾷ καὶ ἀκάθαρτα. τίνος ἕνεκεν; ἵνα τὰ μὲν αὐτῶν ἐσθίοντες ὡς καθαρά, τὰ δὲ πάλιν ὡς ἀκάθαρτα φεύγοντες μηδὲν ἐξ αὐτῶν ὡς θεὸν προσκυνή- B σωσιν. εἰ μὴ γὰρ τοῦτο ἦν, οὐκ ἂν ἐκάλει ἀκάθαρτα τὰ κοινῶς ἀρχῆθεν παρ' αὐτοῦ τὴν εὐφημίαν δεξάμενα. ὅτι δὲ συγκαταβάσεως ἦν ἡ γεγονυῖα τότε τῶν ζώων διαίρεσις, καὶ ὁ μακάριος ἔδειξε Παῦλος οὕτως εἰπὼν „οὐδὲν κτίσμα θεοῦ ἀπόβλητον μετ' εὐχαριστίας λαμβανόμενον." ἐπιβεβαιοῖ ταῦτα καὶ μᾶλλον ἡ γεγονυῖα θεία φωνὴ πρὸς τὸν κορυφαῖον Πέτρον, ἡνίκα τὴν ἐξ οὐρανοῦ κατενεχθεῖσαν ὀθόνην ἑώρακεν· „ἀναστάς" γάρ φησι, „Πέτρε, θῦσον καὶ φάγε, καὶ C ἃ ὁ θεὸς ἐκάθηρε, σὺ μὴ κοίνου." εἰ δὲ καὶ νῦν ἀκαθαρτά τινα παρ' ἡμῖν, ὡς ὁ λύκος ὁ λέων καὶ ἡ πάρδαλις, μὴ θαύμαζε τούτου ἕνεκεν. ἔχεις γὰρ τὸν μέγαν Βασίλειον ἐν τοῖς ἀσκητικοῖς αὐτοῦ τὰ περὶ τούτων οὕτω διευκρινοῦντά σοι. „ὡς ἐν λαχάνοις τὸ βλαβερὸν τοῦ καταλλήλου χωρίζομεν,

ctus est immundus? de quibus omnibus perspicue potest intelligi deum corrigere volentem Israelicorum ad vitia propensionem huiusmodi leges tulisse atque huiusmodi remediis usum fuisse. eadem ratione Noae quoque temporibus animalium discrimen instituit. nam quia futurum prospiciebat ut homines ad insanum deastrorum cultum deflecterent, optimo sane consilio sic distinguit animalia, quo alia pro mundis alia pro immundis haberentur. quanam illud, obsecro, de causa? nimirum ut partim iis victitantes tanquam mundis, partim aversantes velut immunda, neutra pro diis venerarentur. nam caeteroquin ea non dixisset immunda, quae cum aliis communem a deo benedictionem initio rerum acceperant. et vero factam id temporis animalium distinctionem profectam esse de consilio dei se nostra causa demittentis, etiam Paulus hisce verbis ostendit (1 Tim. 4 34) „nulla dei creatura reiici debet, modo cum gratiarum actione sumatur." idem magis quoque confirmat illa dei vox, qua summum illum apostolum Petrum compellavit (Act. 10 13), quo tempore demissum e coelo linteum conspexit: „surge, Petre, macta et vescere." item „quae deus purgavit, tu ne polluta dicito." neque vero mirum tibi videatur etiam modo quaedam pro immundis haberi, verbi gratia lupum, leonem, pardalim. quippe magnus ille Basilius haec in Asceticis suis, qui libri rationes exercitiorum pietatis continent, in hunc modum explicavit et illustravit. quemadmodum in

τα δὲ ἰσχυρὸν τὸν λέοντα, ἐν ᾧ νεκρῷ ὄντι μέλι ἐξύφαναν
μέλισσαι, ἀφ' οὗ λαβὼν ἔφαγεν ὁ Σαμψών. ἀλλ' ἐντεῦθεν,
ἀγαπητέ, συνορᾶν ἄξιον ὅτι μάτην οἱ Ἰουδαῖοι ἀκαθάρτους
καλοῦσιν ἡμᾶς. εἰ γὰρ ἀκάθαρτοι ἦμεν ἡμεῖς ἅτε δὴ τὸν
λαγωόν, τὸν χοῖρον, καὶ ὅσα τοιαῦτα, μὴ κατὰ νόμον
ταῦτα ἐσθίοντες, ἀνάγκη πᾶσα καὶ τὸν ἐν προφήταις μέ-
γιστον Ἡλίαν τοῖς αὐτοῖς ἐγκλήμασι καθυποβάλλεσθαι. τί-
D νος ἕνεκεν; ὅτι τὸν ἄρτον ἐξ ἀκαθάρτου ζώου τοῦ κόρα-
κος δεχόμενος ἤσθιε. διὰ τί δὲ ταῦτα συνέβαινε, καὶ τί-
νος ἕνεκεν; ἵνα μάθωμεν ὅτι καὶ πρὸ τῆς χάριτος ἡ πα-
λαιὰ τὰ τοῦ νόμου ἀνέτρεπεν. εἰ γὰρ ἀκάθαρτος ἦν ὁ κό-
ραξ, πῶς ἐξ αὐτοῦ τὴν βρῶσιν ὁ τοσοῦτος Ἡλίας ἐδέξα-
το; πῶς δὲ καὶ ὁ Σαμψὼν Ναζαραῖος ὢν καὶ ὑπὸ νόμου τε-
V. 130 λῶν τὸ κηρίον τοῦ μέλιτος ἔφαγεν, ὅπερ ἐν νεκρῷ λέοντι
ἐξύφαναν μέλισσαι; πῶς δὲ καὶ διψήσαντα διὰ τῆς ἀκαθάρ-
του καὶ μιαιφόνου σιαγόνος παρεμυθήσατο ὁ θεός, ἐὰν ὁ
κόραξ, ὁ νεκρὸς λέων καὶ ἡ σιαγὼν τοῦ ὄνου ἀκάθαρτα; πῶς
διὰ τῶν τοιούτων ὁ θεὸς τοὺς ἑαυτοῦ θεράποντας ἐθεράπευε;
P. 168 πῶς δὲ καὶ ἀκάθαρτα ὄντα κοινὴν ἀρχῆθεν τὴν εὐφημίαν
ἐδέξαντο; „εἶδε" γάρ φησιν „ὁ θεὸς αὐτά, καὶ εἶπεν ὅτι
καλά." εἰ οὖν ὁ χοῖρος καλὸς ὡς κτίσμα θεοῦ, πῶς ὁ αὐ-

12. ἐδέχετο margo P. 13. ναζωραῖος F.

in cuius cadavere mel apes finxerant, quod inde sumptum Samso comederat. est autem operae pretium, dilecte fili, te hinc animadvertere nos nulla de causa iusta immundos a Iudaeis appellari. nam si propterea sumus immundi, quod leporibus porcis aliisque talibus contra legis interdictum vescamur, omnino sequi necesse est ut maximus ille vatum Elias eodem nobiscum crimine teneatur. quamobrem istuc? quia panem ab immundo animali, nimirum corvo, acceptum comedit. qua vero de causa haec ita facta sunt? ut sciremus etiam ante patefactam dei gratiam, durante adhuc veteri foedere, legis quaedam praecepta violata fuisse. nam quamvis animal immundum sit corvus, nihilo tamen minus eximius ille vates Elias allatum ab eo cibum accepit. quo item pacto factum ut Samso, qui Nazaraeus esset ac legi subiectus, favo mellis vesceretur quod apes in cadavere leonino finxissent? qui hominem siti vexatum per immundam pollutamque maxillam deus recreat? si corvus, si leoninum cadaver, si asini mortui maxilla res immundae sunt, cur per ea deus ministrorum suorum vitae consuluit et opem tulit? praeterea qui factum est ut si quidem immunda sunt quaedam, initio tamen rerum communem illam cum caeteris benedictionem acceperint? sic enim sacris in litteris (Gen. 1 31) perscriptum legimus „vidit deus omnia quae fecerat, eaque bona esse pronuntiavit." si ergo porcus tanquam res a deo creata bonus erat, qui deinceps fa-

τὸς ἀκάθαρτος ὕστερον; εὔδηλον οὖν ὅτι τὸ τοῦ Ἰσραὴλ πρὸς κακίαν ὀξύρροπον διορθούμενος ὁ θεὸς τοιούτους ἔθετο νόμους καὶ τοιαῖσδε θεραπείαις ἐχρήσατο. οὕτω μὲν οὖν καὶ ἐπὶ τοῦ Νῶε διαίρεσιν τεχνᾶται τῶν ζώων. ἐπειδὴ γὰρ ἑώρα τοὺς ἀνθρώπους εἰς εἰδωλομανίαν ἐκκλίνοντας, εὐμεθόδως, ὡς ἔφημεν, εἰς καθαρὰ ταῦτα διιστᾷ καὶ ἀκάθαρτα. τίνος ἕνεκεν; ἵνα τὰ μὲν αὐτῶν ἐσθίοντες ὡς καθαρά, τὰ δὲ πάλιν ὡς ἀκάθαρτα φεύγοντες μηδὲν ἐξ αὐτῶν ὡς θεὸν προσκυνή- B σωσιν. εἰ μὴ γὰρ τοῦτο ἦν, οὐκ ἂν ἐκάλει ἀκάθαρτα τὰ κοινῶς ἀρχῆθεν παρ' αὐτοῦ τὴν εὐφημίαν δεξάμενα. ὅτι δὲ συγκαταβάσεως ἦν ἡ γεγονυῖα τότε τῶν ζώων διαίρεσις, καὶ ὁ μακάριος ἔδειξε Παῦλος οὕτως εἰπὼν „οὐδὲν κτίσμα θεοῦ ἀπόβλητον μετ' εὐχαριστίας λαμβανόμενον." ἐπιβεβαιοῖ ταῦτα καὶ μᾶλλον ἡ γεγονυῖα θεία φωνὴ πρὸς τὸν κορυφαῖον Πέτρον, ἡνίκα τὴν ἐξ οὐρανοῦ κατενεχθεῖσαν ὀθόνην ἑώρακεν· „ἀναστάς" γάρ φησι, „Πέτρε, θῦσον καὶ φάγε, καὶ C ἃ ὁ θεὸς ἐκάθηρε, σὺ μὴ κοίνου." εἰ δὲ καὶ νῦν ἀκαθαρτά τινα παρ' ἡμῖν, ὡς ὁ λύκος ὁ λέων καὶ ἡ πάρδαλις, μὴ θαύμαζε τούτου ἕνεκεν. ἔχεις γὰρ τὸν μέγαν Βασίλειον ἐν τοῖς ἀσκητικοῖς αὐτοῦ τὰ περὶ τούτων οὕτω διευκρινοῦντά σοι. „ὡς ἐν λαχάνοις τὸ βλαβερὸν τοῦ καταλλήλου χωρίζομεν,

ctus est immundus? de quibus omnibus perspicue potest intelligi deum corrigere volentem Israelicorum ad vitia propensionem huiusmodi leges tulisse atque huiusmodi remediis usum fuisse. eadem ratione Noae quoque temporibus animalium discrimen instituit. nam quia futurum prospiciebat ut homines ad insanum deastrorum cultum deflecterent, optimo sane consilio sic distinguit animalia, quo alia pro mundis alia pro immundis haberentur. quanam illud, obsecro, de causa? nimirum ut partim iis victitantes tanquam mundis, partim aversantes velut immunda, neutra pro diis venerarentur. nam caeteroquin ea non dixisset immunda, quae cum aliis communem a deo benedictionem initio rerum acceperant. et vero factam id temporis animalium distinctionem profectam esse de consilio dei se nostra causa demittentis, etiam Paulus hisce verbis ostendit (1 Tim. 4 34) „nulla dei creatura reiici debet, modo cum gratiarum actione sumatur." idem magis quoque confirmat illa dei vox, qua summum illum apostolum Petrum compellavit (Act. 10 13), quo tempore demissum e coelo linteum conspexit: „surge, Petre, macta et vescere." item „quae deus purgavit, tu ne polluta dicito." neque vero mirum tibi videatur etiam modo quaedam pro immundis haberi, verbi gratia lupum, leonem, pardalim. quippe magnus ille Basilius haec in Asceticis suis, qui libri rationes exercitiorum pietatis continent, in hunc modum explicavit et illustravit. quemadmodum in

οὕτω καὶ ἐν τοῖς κρέασι τοῦ χρησίμου τὸ βλαβερὸν διακρίνομεν, ἐπεὶ λάχανόν ἐστι καὶ τὸ κώνειον, ὥσπερ κρέας ἐστὶ καὶ τὸ γύπειον· ἀλλ' ὅμως οὔτε ὑοσκύαμον φάγοι ἄν τις νοῦν ἔχων, οὔτε κυνὸς ἅψαιτο μὴ μεγάλης ἀνάγκης κατε-
D πειγούσης, ὡς ὅ γε φαγὼν οὐκ ἠνόμησε." μάνθανε οὖν ὅτι τὸ βλαβερὸν ἐκφεύγοντες τὰ μὲν τῶν ζώων ἐσθίομεν, ὅσα καὶ μᾶλλον εὔχυμά τε καὶ τρόφιμα, τὰ δὲ μυσαττόμεθα, καχεξίας καὶ ἴσως καὶ ἀηδίας ὄντα παρεκτικά. ταύτῃ τοι καὶ ὅρους οἱ πατέρες ἐπὶ τούτοις τεθείκασι, τὸ λίχνον κἀντεῦθεν ἡμῶν ἀναστέλλοντες. καὶ ταῦτα μὲν εἰς τοσοῦτον.

Ἄξιον δὲ καὶ τινῶν ἱστοριῶν ἐπιμνησθῆναι φιλομαθείας χάριν τῆς σῆς ἐκ τῆς Ἰουδήθ. ὁ Ναβουχοδονόσορ διὰ τὸ μὴ ἐπικουρῆσαι αὐτῷ πάντας ὅτε ἐπολέμει μετὰ τοῦ Ἀρφαξᾶ, ἐπέστειλε τὸν στρατηγὸν αὐτοῦ Ὁλοφέρνην κατὰ πάσης τῆς γῆς, εἰπὼν πρὸς αὐτόν „τάδε λέγει βασιλεὺς ὁ μέγας, ὁ κύριος πάσης τῆς γῆς." ἐφ' ᾧ καὶ κατὰ ταύτην τὴν κέλευσιν ἀπαίροντι τῷ Ὁλοφέρνῃ κατὰ Ἰουδαίων, ἔφη καὶ τάδε ὁ Ἀμμανίτης Ἀχιὼρ „εἰ μὲν ἔστιν ἀγνόημα ἐν τῷ λαῷ
V. 131 τούτῳ καὶ ἁμαρτάνουσιν εἰς τὸν θεὸν αὐτῶν, ἀναβησώμεθα καὶ ἐκπολεμήσωμεν αὐτούς· εἰ δὲ μή γε, παρελθέτω ὁ κύ-

oleribus quod noxium est, ab eo secernimus quod naturae nostrae convenit, sic etiam in carnibus ab utilibus quaecumque noxiae sunt secernimus. nam et cicuta perinde olerum appellatione venit, ut et vulturum carnes pro carnibus ducuntur. nemo tamen mentis compos hyoscyamum comederit nec carnem caninam gustaverit, nisi forte magna quaedam necessitas urgeat; quod quidem si usuveniat, nihil hoc modo vescens delinquit. quapropter scire debes nos opera data res noxias aversari, et iis quidem animalibus vesci quaecunque succi boni sunt utileque nutrimentum praebent, ab aliis autem abhorrere, quae forte valetudinem incommodam vel aliquid aliud ingratae rei nobis sint conciliatura, si comedantur. prisci quidem illi patres certas nobis hac in parte leges praescripserunt, ut lasciviae voluptatique nostrae modum statuerent. ac de his sane dictum hactenus esto. quia vero studium in discendo tuum mihi perspectum est, operae pretium facturus sum, si quarundam ex Iudithae libro narrationum meminero.

Nabuchodonosor propterea quod nationes caeterae sibi adversus Arphaxam bellum gerenti opem non tulissent, copiarum suarum imperatorem Olophernem adversus quosvis ablegavit, seque totius terrarum orbis magnum regem ac dominum appellavit. hoc mandato accepto adversus Iudaeos Olophernes copias movet. eum Achior Ammanites in hanc sententiam monere: si quod esset delictum eius nationis quo deum offendissent, recte se facturos, si regionem illam in-

ριός μου." καὶ ὁ Ὀλοφέρνης πρὸς Ἀχιὼρ „καὶ τίς ὁ θεός, εἰ μὴ Ναβουχοδονόσορ; οὗτος ἀποστελεῖ τὸ κράτος αὐτοῦ, καὶ ἐξολεθρεύσει αὐτοὺς ἀπὸ προσώπου τῆς γῆς." ἐφ' ᾧ καὶ ἀπετμήθη τὴν κεφαλὴν αὐτοῦ σοφῶς τῷ ὄντι καὶ εὐμεθόδως παρὰ γυναικὸς τῆς Ἰουδήθ, πάντα τε τὰ ἐκείνου παρὰ Ἰουδαίων ἐσκυλεύθησαν. τότε δὴ τότε καὶ Ἀχιὼρ πιστεύσας τῷ θεῷ καὶ περιτέμνεται.

Ἐν ταῖς ἡμέραις τῶν κριτῶν λιμοῦ γεγονότος ἀπῆρεν ἐκ P. 169 Βηθλεὲμ ἡ Νοεμὶν σὺν τοῖς παισὶν αὐτῆς ἐν ἀγρῷ Μωάβ· κἀκεῖσε νύμφας ἔλαβον Ὀρφανὴν καὶ Ῥούθ. μετὰ δέκα δὲ C ἔτη τῶν ἀνδρῶν θανόντων ὑπέστρεψεν ἡ Νοεμίν. ἠκολούθουν αὐτῇ καὶ αἱ δύο νύμφαι. καὶ ἡ μὲν Ὀρφανὴ πεισθεῖσα τοῖς λόγοις Νοεμὶν ὑπέστρεψεν, ἡ δὲ θαυμασία Ῥοὺθ οὐκ ἐπείσθη, λέγουσα „ὁ λαός σου λαός μου, καὶ ὁ θεός σου θεός μου." καὶ συνελθοῦσα ἐμίγη τῷ Βοώς, καὶ τέτοκε τὸν Ὀβὴδ τὸν πατέρα Ἰεσσαί, ἀφ' οὗ Δαβίδ.

Ἀπὸ Ναβουχοδονόσορ αἰχμάλωτοι Μαρδοχαῖος, γυνὴ Ἐσθήρ, καὶ λοιποί, οἳ ἦσαν ἐπὶ Ἀρταξέρξου. οὗτος ὁ Μαρδοχαῖος ἐν τῇ αὐλῇ τοῦ βασιλέως ἀκούσας δύο εὐνούχων με- D λετώντων κατὰ τοῦ βασιλέως ἀνέφερε περὶ τούτων αὐτῷ· οἳ καὶ ἀπώλοντο. τούτων οὖν ἕνεκεν ὁ παρὰ τῷ βασιλεῖ μέγι-

vaderent quippe quam bello haud dubie capturi essent: sin autem, consulere se Olopherni tanquam domino suo, illam ut nationem missam faceret. his auditis Achiorem vicissim Olophernes interrogare, putaretne deum quempiam esse praeter Nabuchodonosorem: illum scilicet ablegaturum copias suas, et nationem illam funditus exstirpaturum. hoc modo factum ut bello moto caput ei Iudithae mulieris consilio plane callido et feliciter succedente praecideretur, omnesque ipsius opes a Iudaeis diriperentur, Achiore divinam fidem cum circumcisione amplexo.

Caeterum quo tempore iudices Israelicorum nationi praeerant, oborta famė Noema cum filiis suis Bethlehemam reliquit et Moabitarum in terram profecta est. ibi cum uxores filii duxissent, Orphanam scilicet ac Rutham, annisque decem exactis mortui essent, Noema nuribus suis se comitantibus in patriam suam reversa est (Ruth. 1 16). nolebat enim ei roganti ut istic manerent Orphana parere, quod se diceret gentem eius agnituram pro sua, deumque ipsius pro suo deo habituram. hoc modo profecta cum socru Booso nupta est, ac Obedum Iessae patrem, Davidis avum peperit.

Inter alios quos Nabuchodonosor captivos abduxerat, fuerunt Mardochaeus et Esthera mulier. hi cum regnante Artaxerxe superstites adhuc forent, forte accidit ut cum Mardochaeus in aula regia duorum eunuchorum consilia deprehendisset adversus regem inita,

στος Ἀμμὰν λυπηθεὶς ἔπεισε τὸν βασιλέα κατὰ Ἰουδαίων
ἐπεξελθεῖν, καὶ γράμματα στεῖλαι τοῖς τῶν εἴκοσι καὶ ἑπτὰ
χωρῶν ἄρχουσιν, ἀπὸ Ἰνδικῆς ἕως Αἰθιοπίας, τοὺς ὁπουδή
ποτε παρευρισκομένους Ἰουδαίους τελείως κατασφάττειν κατὰ
τὴν τεσσαρεσκαιδεκάτην τοῦ δωδεκάτου μηνός. μανθάνει
ταῦτα ἡ βασιλὶς Ἐσθήρ, καὶ νηστεύσασα τρεῖς ἡμέρας δέε-
ται πρῶτον τοῦ θεοῦ, εἶτα καὶ αὐτοῦ τοῦ Ἀρταξέρξου, λέ-
P. 170 γουσα „εἶδόν σε κύριε ὡς ἄγγελον θεοῦ, καὶ ἐταράχθη ἡ
καρδία μου ἀπὸ φόβου τῆς δόξης σου," καὶ ἔπεσεν ἐκλυθεῖ-
σα. ὁ δὲ προύτρεπεν αἰτῆσαι ὃ θέλει. ὁ δὲ Ἀμμὰν ἰδὼν
τὸν Μαρδοχαῖον ἐπὶ τῆς αὐλῆς παρασκευάζει κρεμασθῆναι
αὐτὸν ἐπὶ ξύλου. ὁ δὲ θεὸς τοῦτον ἐκώλυσεν, τὸν τοῦ βα-
σιλέως ἀφελόμενος ὕπνον· ἀκηδιῶν γὰρ νυκτὸς εἰς ἀνάγνω-
σιν ἦλθεν, ἐφ' ᾧ καὶ ἐμνήσθη ὧν ἐποίησεν εἰς αὐτὸν ὁ Μαρ-
δοχαῖος. ὅθεν καὶ μὴ βουλομένου τοῦ Ἀμμὰν ἐτιμήθη τὰ
μέγιστα. ὁ δὲ Ἀμμὰν καθ' ἑαυτοῦ τὴν κακίαν ἔφερεν· ἐκρε-
B μάσθη γὰρ ἐπὶ ξύλου τῇ δεήσει καὶ κατασκευῇ τῆς Ἐσθήρ.
καὶ γράμματα δὲ ἕτερα ἐστάλησαν οὐ μόνον εἰς σωτηρίαν αὐ-
τῶν, ἀλλ' ἵνα καὶ τοὺς ἀντικειμένους ἀμύνωνται· καὶ γὰρ
ἄνδρας φ' ἀπέκτειναν, καὶ ἑτέρους πλείονας. ἐκρεμάσθησαν
δὲ καὶ οἱ δέκα υἱοὶ τοῦ Ἀμμάν. κατὰ τοῦτο καὶ ἡ γραφή

rem omnem regi renuntiaret, qua patefacta illi morte multabantur. hinc offensus Ammanus, qui plurimum apud regem poterat, auctor regi fuit ut Iudaeos adoriretur, missisque litteris ad centum viginti septem regionum praesides, quae regiones inter Indiam et Aethiopiam sitae sunt, imperaret ut quotquot ubique gentium Iudaei reperirentur, omnino morte adficerentur a. d. XIV mensis XII. hanc rem ubi Esthera regina cognovisset, completo trium dierum ieiunio, deum initio precatur, inde regem Artaxerxem huiusmodi verbis alloquitur (Esther. 5 2): cum te, rex, intuerer angelo divino consimilem, cor meum formidine maiestatis tuae perculsum plane se demisit et contabuit. tum rex eam hortari ut quod vellet ab se peteret. interim Ammanus Mardochaeo in regia conspecto totus in hoc incumbere, ut hominem in crucem ageret. verum deus adempto regi somno, quominus Ammani consilium succederet, impedivit. cum enim rex noctu prae quadam animi aegritudine non dormiret, forte secum ipse Mardochaei meritum recognoscens expendit. quapropter invito Ammano Mardochaeus honoribus amplissimis ornatur; et Ammanus e contrario suae perversitatis poenas luens, Esthera regina obsecrante ac rem perficiente, cruci adfigitur. simul diversam in sententiam perscriptae litterae mittuntur, quibus non Iudaeorum modo saluti consulebatur, verumetiam mandabatur ut adversarios suos necarent. itaque factum est ut illi supra quingentos homines interficerent,

φησιν „ἔσονται δὲ ἡ ιγ΄ καὶ ἡ ιδ΄ τοῦ Ἀδὰρ ἡμέρα ἑόρτιος εἰς γενεὰς αὐτῶν."

Ὁ Τωβὴτ ᾐχμαλωτίσθη ἐν ἡμέραις Ἐνεμεσάρου βασιλέ- C
ως Ἀσσυρίων. „ἐγὼ Τωβὴτ ὁδοῖς ἀληθείας ἐπορευόμην καὶ
δικαιοσύνης πάσας τὰς ἡμέρας τῆς ζωῆς μου. καὶ ὅτε μετὰ V. 132
Σάρρας καὶ Τωβίου ᾐχμαλωτίσθην εἰς Νινευί, πάντες οἱ ἐκ τοῦ γένους μου ἤσθιον ἄρτους τῶν ἐθνῶν, ἐγὼ δὲ οὔ. καὶ εἴ τινας ἀπέκτεινε Σεναχηρεὶμ ὁ βασιλεύς, ὅτε ἦλθε φεύγων ἐκ τῆς Ἰουδαίας, ἔθαψα αὐτοὺς κλέπτων· πολλοὺς γὰρ ἀπέκτεινεν ἐν τῷ θυμῷ αὐτοῦ. καὶ νυκτὸς διὰ φόβον πολλοὺς ἔθαπτον. ὅθεν καὶ ἐκοιμήθην παρὰ τὸ τεῖχος τῆς αὐλῆς ἀκαλύπτῳ προσώπῳ· καὶ οὐκ ᾔδειν ὅτι στρουθία ἐν τῷ τοίχῳ ἐστί. καὶ ἀφοδεύσαντα θερμὸν εἰς τοὺς ὀφθαλμούς
μου, ἐγενήθη λευκώματα ἐν αὐτοῖς. ἡ δὲ γυνή μου προσή- D
γαγέ μοι ἔριφον, ὃν εἰς μισθὸν τοῦ κόπου ἔλαβεν. ἐγὼ δὲ δοκῶν κλεψιμαῖον εἶναι οὐκ ἔφαγον, καὶ ὠνειδίσθην παρ' αὐτῆς ὡς δῆθεν μηδὲν ὠφελούμενος ἐξ ἀρετῆς. καὶ ἔκλαυσα πρὸς κύριον 'λυσιτελεῖ μοι ἀποθανεῖν ἢ ζῆν, ὅτι ὀνειδισμοὺς ψευδεῖς ἤκουσα.' τότε δὲ καὶ Σάρρα ἡ τοῦ Ῥαγουὴλ ὠνειδίσθη ὡς δῆθεν ἀποπνίξασα οὓς ἔλαβεν ἄνδρας ἑπτά· τούτους δὲ Ἀσμοδαῖος τὸ πονηρὸν δαιμόνιον ἀπέκτεινε πρὶν ἢ γενέσθαι μετ' αὐτῆς, ὡς καὶ βουληθῆναι αὐτὴν ἐντεῦθεν

3. μεσάρου F.

decem Ammani filiis in crucem actis. hanc ob causam institutum legimus ut 13 et 14 Adaris mensis dies Iudaeis perpetuo festi sint.

Tobaeus imperante Enemesaro Assyriorum rege in captivitatem abductus est. is per omnem vitam veritatis et iustitiae studiosissimus fuit, cumque captivus Nineven una cum uxore Sarra et Tobia filio perductus esset, cognatis caeteris pane gentium vescentibus ab eo prorsus abstinuit. deinde necatos a rege Senacherimo, quo tempore is revertebatur e Iudaea profugiens, furtim sepeliebat; qui sane ab irato rege non pauci sunt interfecti. quinetiam noctu multos ob regis metum terrae mandabat. quapropter aliquando accidit ut vultu aperto iuxta parietem consopitus cubaret, ignorans istic passeres in pariete nidificasse. illi vero calidum stercus in oculos eius excernunt, ex quo innata ipsius oculis est albugo. consimiliter cum uxor die quodam ipsi hoedum adferret datum sibi mercedis nomine, nolebat eo vesci propterea quod furtivum existimaret, eaque de causa probris ab uxore incessebatur ut qui fructum ex virtute nullum caperet. tum ille plorare, ac domino dicere satius sibi fore, si moriatur, quando falsis probris adficiatur. eodem hoc tempore Sarra quoque Ragueli filia verbis contumeliae plenis est exagitata, quasi viros septem, quibuscum nupta fuerat, suffocasset, quos tamen Asmodaeus ille nequam

ἀπάγξασθαι. ἀλλ' ὁ θεὸς οὔτε Τωβὴτ οὔτε Σάρρας παρεῖδε P. 171 τὸν ὀνειδισμόν. ἀποστελλομένου γὰρ τοῦ Τωβίου ἐπὶ τῷ τὰ εἰς παρακαταθήκην κείμενα πατρῷα ἀργύρια λαβεῖν, ὁ τοῦ κυρίου ἄγγελος Ῥαφαὴλ συνηκολούθησε. καὶ καθ' ὁδὸν ἰχθύος φανέντος παρὰ ποταμὸν ἐπτοήθη ὁ παῖς. ὁ δὲ ἄγγελος ἐπέτρεψε λαβεῖν αὐτὸν καὶ φαγεῖν, τὴν δὲ καρδίαν καὶ τὸ ἧπαρ φυλάσσειν, τὸ μὲν ἧπαρ εἰς θυμίασιν τοῦ Ἀσμοδαίου, τὴν δὲ καρδίαν εἰς χρῖσιν τῶν πατρικῶν ὀφθαλμῶν. ἀπήγαγε δὲ αὐτὸν εἰς τὸν Ῥαγουὴλ οἶκον, ὅθεν καὶ λαμβάνει μὲν εἰς γυναῖκα τὴν Σάρραν, τὸν δὲ φιλοῦντα αὐτὴν Ἀσμοδαῖον B ἐκεῖθεν διώκει. ἀναλαβόμενος δὲ τὸ ἀργύριον καὶ τὴν Σάρραν ὑπέστρεψε. ταύτῃ τοι καὶ τῶν τοῦ Τωβὴτ ὀφθαλμῶν χρισθέντων θαῦμα ἐγένετο. μετὰ δὲ ταῦτα καὶ τάδε πρὸς αὐτοὺς ὁ ἅγιος ἄγγελος ἔλεγεν „ἐλεημοσύνη ἐκ θανάτου ῥύεται, καὶ αὐτὴ ἀποκαθαριεῖ πᾶσαν ἁμαρτίαν. καὶ νῦν ὅτε προσηύξω σὺ καὶ ἡ νύμφη σου Σάρρα, ἐγὼ προσήγαγον τὸ μνημόσυνον τῆς προσευχῆς ὑμῶν ἐνώπιον τοῦ ἁγίου θεοῦ. καὶ ὅτε ἔθαπτες τοὺς νεκρούς, συμπαρήμην σοι. καὶ ὅτε οὐκ ὤκνησας ἀναστῆναι καὶ καταλιπεῖν τὸ ἄριστόν σου, ὅπως ἀπελθὼν περιστείλῃς τὸν νεκρόν, οὐκ ἔλαθές με ἀγαθοποιῶν, C ἀλλὰ σύν σοι ἤμην. καὶ νῦν ἀπέστειλέ με ὁ θεὸς ἰάσασθαί

4. Ῥαφαὴλ om V.

genius interfecerat prius quam cum ea consuescerent; quam illa rem tam aegro tulit animo ut ipsa sibi manus adferre cogitaret. verum deus neque Tobaei neque Sarrae probra neglexit. nam cum Tobaeus filium suum Tobiam ablegasset ad repetendum argentum quod alibi deposuerat, angelus dei Raphaelus eum comitatus est. in eo itinere puer conspecto ad fluminis ripam pisce vehementer est exterritus; quem Angelus hortatur ut piscem prehendat, eiusque partes caeteras comedat, solum cor et iecur sibi reservet; quorum alterum, videlicet hepar, serviret ad abigendum suffitu Asmodaeum, cor autem ad inungendum paternos oculos. secundum haec iuvenem Ragueli domum deducit, qui Sarram filiam eius uxorem accipit et Sarrae amatorem Asmodaeum abigit. hinc sumpto secum argento et coniuge Sarra domum revertitur. cumque peruncti forent ab eo Tobaei patris oculi, prodigium fit ingens visu ei restituto. quibus in hunc modum gestis angelus ipsos verbis talibus alloquitur (Tob. 12 9): beneficentia profecta de commiseratione cordis hominem a morte vindicat et omne peccatum expiat. quo quidem tempore tu nurusque tua Sarra deum precabimini, ego precationis vestrae monumentum coram sancto illo deo subvehebam. cum tu mortuos sepeliebas, aderam tibi. cum minime cunctabaris quin surgeres relictoque prandio tuo discederes obvelatum mortui hominis cadaver, haec tua praeclara facta me non

σε καὶ τὴν νύμφην σου Σάρραν. ἐγώ εἰμι Ῥαφαὴλ εἷς τῶν ἑπτὰ ἀγγέλων, οἳ προσαναφέρουσι τὰς εὐχὰς τῶν ἁγίων." καὶ ταῦτα παραινέσας ἀνέβη πρὸς τὸν ἀποστείλαντα. καὶ τοῦτο μὲν τὸ Ῥαφαὴλ ὄνομα ἔμαθες ἤδη ἐκ τοῦ Τωβήτ· τὸ δὲ Οὐριήλ, καθά φησι τῷ ὄντι Ψελλός, οὔτε τὰ τῆς παλαιᾶς οὔτε τὰ τῆς νέας ἡμῖν ἐγνώρισεν. ἔστι δέ τι βιβλίον Ἑβραϊκὸν ἄγνωστον τοῖς πολλοῖς, προσευχὴ δὲ Ἰωσὴφ ἐπι-
γεγραμμένον, ἔνθα δὴ ὁ ἐκείνου πατὴρ Ἰακὼβ εἰσῆκται τού- D
τῳ δὴ τῷ ἀγγέλῳ Ῥαφαὴλ διαλεγόμενος, εἰ καὶ ἄρτι τοῖς V. 133
Ἑβραίοις, ὡς καὶ τὰ ἄλλα τῶν ἀποκρύφων, ἀπῶσταί τε καὶ ἠθέτηται. ὁ μέντοι Τωβὴτ ρν΄ ἔτη ἔζησεν, ὁ δὲ Τωβίας ρκζ΄. μετὰ δὲ τὸ θάψαι τοὺς γονεῖς αὐτοῦ ἀπῆλθεν πρὸς Ῥαγουὴλ τὸν πενθερὸν αὐτοῦ, καὶ ἤκουσε πρὸ τοῦ ἀποθανεῖν τὴν ἀπώλειαν Νινευί, ἣν ᾐχμαλώτευσε Ναβουχοδονόσορ κατὰ τὴν Τωβὴτ πρόρρησιν.

Μετὰ μέντοι τὸν Σαμψὼν ἕως Ἡλεὶ τοῦ ἱερέως ἀναρχία ἦν παρ' αὐτοῖς ἔτη μ΄, καὶ ἀλλήλοις ἐπανιστάμενοι συνωλοθρεύοντο. ὅσον μὲν οὖν κακόν ἐστι τὸ περιορᾶν τοὺς ὑπὸ χεῖρα
ἁμαρτάνοντας καὶ μὴ σφοδρῶς ἐπιστύπτειν αὐτούς, ἔδειξε P. 172
τὰ κατὰ τὸν Ἡλεί, τὴν κιβωτὸν καὶ τὸν λαὸν συμβάντα. τηνικαῦτα γὰρ ὁ μὲν Ἡλεὶ θανάτῳ οἰκτρῷ περιπίπτει, ἡ κιβω-

5. φησι] φησιν ὁ σοφὸς Leunclavius. 9. εἰ deerat.

latebant semper tibi scilicet praesentem. meque nunc adeo misit deus ad te nurumque tuam Sarram sanandos. sum enim genius ille Raphaelus, unus de septem angelis, qui ad deum sanctorum preces deferunt. his pronuntiatis ad eum ascendit a quo fuerat ablegatus. hoc ipsum autem Raphaeli nomén ex hac de Tobaeo narratione cognitum scilicet habes. verum appellatio Urieli, quemadmodum vir reapse sapiens Psellus scripsit, nec prisci foederis libris nec novi continetur, sed exstat in libro quodam Hebraico, qui vulgo non est notus, habens inscriptionem precationis Iosephi; quo in libro Iosephi pater Iacobus hoc cum angelo colloquens introducitur. liber ipse apud Hebraeos, ut alii quoque apocryphi, pro reiecticio ducitur et nihil auctoritatis habet. caeterum Tobaeus annos 150 vivendo explevit, Tobias filius 127, cumque parentes suos humo tradidisset, ad Raguelum socerum suum profectus est, et ante mortem suam de Nineves interitu cognovit, quam Nabuchodonosor cepit, uti futurum Tobaeus praedixerat.

Ad Samsonem ut redeamus, post obitum eius ad Elium usque pontificem totis annis 40 Israelici nullius imperio parebant. quapropter se invicem alii alios adorti, communis interitus et excidii sibimet auctores erant. quantum quidem in eo mali sit, cum nobis subiecti animadvertente nemine delinquunt, nec acriter coerceantur, Elii

τὸς αἰχμαλωτίζεται, καὶ ὁ λαὸς ἀναιρεῖται μαχαίρᾳ. Παλαιστινοὶ καὶ γὰρ κατὰ Ἰουδαίων ὁρμῶσι, συμπλέκονται ἀλλήλοις, καὶ πίπτουσιν Ἑβραῖοι ὡσεὶ τετρακισχίλιοι. εἶτα τὴν κιβωτὸν ἀράμενοι σὺν αὐτῇ κατὰ τῶν πολεμίων ὁρμῶσι, κρατῆσαι συνήθως θαρρήσαντες. συμβάλλουσιν ἀλλήλοις, καὶ
B πίπτουσι μὲν ἐκ τῶν Ἑβραίων οὐκ ὀλίγοι, αἰχμαλωτίζεται δὲ καὶ αὐτὴ ἡ κιβωτός. οὐκ ἀγαθὴ λοιπὸν ἀγγελία καταλαμβάνει τὸν Ἠλεί· καὶ τὴν μὲν τῶν αὐτοῦ παίδων ἀπώλειαν φέρει γενναίως, καὶ ὅτι καὶ σφάλματα προσῆσαν αὐτοῖς, πορνεία καὶ γαστριμαργία (γάμους γὰρ ἀλλοτρίους ἐξώρυττον καὶ τὰ κρέα πρὸ τοῦ ἁγιασθῆναι ἤσθιον), τὴν δὲ τῆς κιβωτοῦ αἰχμαλωσίαν οὐκ ἐνεγκὼν καταπίπτει τοῦ θρόνου καὶ τελευτᾷ· ἔτυχε γὰρ τότε κατά γε τὰς πύλας τοῦ ἱεροῦ καθήμενος ἐπὶ δίφρου, ὀκτὼ καὶ ϛ' βιώσας ἔτη.

Τὴν μέντοι κιβωτὸν οἱ Παλαιστινοὶ λαβόντες εἰς πόλιν Ἄζωτον αἰχμάλωτον ἤγαγον. τότε καὶ Δαγὼν συνετρίβη τῆς
C οἰκείας ἐκστὰς ἕδρας καὶ ὡς ἐν σχήματι προσκυνοῦντος πεσών. ἔδειξε γὰρ ὁ θεὸς ἐνταῦθα ὅτι οὐχ ὡς ἀσθενὴς ᾐχμαλωτίσθη ἡ κιβωτός (εἰ γὰρ τοῦτο ἦν, οὐκ ἂν τῇ παρουσίᾳ αὐτῆς ὁ θεὸς αὐτῶν Δαγὼν συνετρίβη, [ὥστε] εἰ μὴ θεία χάρις προσῆν αὐτῇ), αἰχμαλωτισθῆναι δὲ συνεχωρήθη διὰ

21. αὐτῇ] ἐν αὐτῇ P.

demonstrat historia cum iis quae arcae populoque Israelico acciderunt. nam et Elius miserabili fine vitam claudit, et hostium in potestatem arca venit, et gladio populus occiditur. quippe Iudaeos Palaestini bello invadunt, praelio inter se utrique congrediuntur, Hebraeorum ad quattuor milia cadunt. hinc arca Israelici advecta, cum ea in hostes irruunt, quod omnino futurum confiderent ut ea praesente superiores ipsi pro more discederent. conseruntur ergo manus, Hebraeorum plurimi cadunt, arca ipsa ab hostibus intercipitur. quamobrem infeliciter gestae rei tristem nuntium Elius accipit, ac suorum quidem filiorum interitum generoso fert animo, quod ii vitiis suis non caruissent, scortationi ac luxuriae dediti (consueverant enim toros alienos polluere, oblatisque deo carnibus ante vesci quam consecratae forent): verum ob arcae captivitatem gravissime perculsus solio suo delabitur, moxque vivendi finem facit. nam forte tum pro templi foribus in sella versatili consederat annos iam nonaginta et octo natus.

Arcam Palaestini ab se captam in oppidum Azotum avehunt. neque multo post Dagon loco suo motus est, allisusque terrae venerabundi speciem coram arca prostratus exhibuit. voluit autem deus ostendere non ex imbecillitate quadam sua fuisse captam arcam: nam caeteroqui deus adversariorum Dagon arca praesente non fuisset at-

τὴν τῶν Ἰουδαίων κακίαν. τότε δὴ τότε καὶ ὑπὸ δυσεντερί-
ας ἀπέθνησκον οἱ αἰχμαλωτίσαντες αὐτήν, τὰ ἐντὸς ἐξεμοῦν-
τες διεφθαρμένα. ἀλλὰ καὶ μυῶν πλῆθος ἀνελθὸν τὰ τῆς
χώρας κατέβλαπτε. μόλις οὖν οἱ Ἀζώτιοι συνῆκαν ὡς ἐκ τῆς
κιβωτοῦ τὰ τοιαῦτα προσγίνονται αὐτοῖς· ἀξιοῦσι λοιπὸν D
τοὺς Ἀσκαλωνίτας. καὶ ταύτην προσδεξάμενοι ἐν τοῖς ὁμοί-
οις γίνονται κακοῖς. οἱ δὲ Ἀσκαλωνῖται πρὸς ἑτέρους πέμ-
πουσι, κἀκεῖνοι πρὸς ἄλλους. καὶ πάντες τὰ αὐτὰ πάσχουσι.
συνέρχονται οὖν οἱ τῶν παθουσῶν πέντε πόλεων ἄρχοντες,
Ἀκαρὼν Γάζης Ἀζώτου καὶ τῶν λοιπῶν, καὶ περὶ τούτου
σκοποῦσιν. ὅθεν καὶ βόας ὑποζεύξαντες ἀρτιτόκους, καὶ τὴν
κιβωτὸν αὐτοῖς ἐπιτιθέασι, καὶ ἐπὶ τριόδου καταλιπόντες ἐπι-
τρέπουσιν αὐτοῖς ἣν βούλονται ὁδὸν ἀπελθεῖν· κἂν μὲν τὴν
Ἑβραίων ἀπίωσιν, ὑπολαμβάνειν τὴν κιβωτὸν αἰτίαν εἶναι P. 173
τῶν τοιούτων κακῶν, ἂν δὲ ἄλλην τράπωνται, καταδιώξωμεν V. 134
αὐτὴν ἔφασαν ἅτε μὴ τοιαύτην ἔχουσαν δύναμιν. γίνεται
ταῦτα, καὶ θείαν τῇ κιβωτῷ προσεῖναι διέγνωσαν δύναμιν.

Οἱ μὲν οὖν Ἑβραῖοι τοιαῦτα πάσχοντες ζητοῦσι βασιλέα, καὶ λαμβάνουσι τὸν Σαούλ, εἰ καὶ μὴ πράως ἔφερεν ὁ θεὸς τοῦ τοιούτου χάριν ζητήματος, ἐφ' ᾧ καὶ πρὸς τὸν Σαμουὴλ

11. τὴν deerat.

tritus. de quo colligere licet praesentem in ea quidem fuisse divinam gratiam, sed ob Iudaeorum sceleratam vitam deum permisisse ut hostium in potestatem veniret. eodem tempore morbo intestinorum adfecti moriebantur quotquot arcam ceperant, visceraque corrupta excernebant. praeterea murium ingens enata copia fines eorum infestabat. quapropter Azotii vix tandem intellecto se malis huiusmodi ob arcam vexari, Ascalonitas orant ut eam ad se reciperent. hoc illi cum fecissent, consimiles calamitates experiuntur. ad alios igitur eam Ascalonitae ablegant, iique vicissim ad alios, omnibus eadem mala perpessis. hanc ob causam congressi optimates illarum quinque urbium, quae hisce suppliciis multatae fuerant, nimirum Accaronis Gazae Azoti et reliquarum, de tota re deliberant, statuuntque duas vaccas foetas currui alligandas esse, cui arca imponatur. hoc facto vaccas in trivio relinquunt, eisque potestatem faciunt eundi quo velint. quodsi pergerent in Hebraeorum fines, omnino existimandum aiunt arcam ipsis eiusmodi malorum causam fuisse, sin alio deflecterent, persequendam, uti quae potestatem eiusmodi nullam haberet. huic consilio cum paruissent, adesse divinam quandam arcae vim ac potestatem deprehenderunt.

In hoc statu cum res Hebraeorum essent, regem dari sibi postulant et Saulum accipiunt, quanquam deus huiusmodi petitionem eorum perquam graviter tulit, ac propterea verbis hisce Samuelum allocutus est. „non te flocciferunt, sed me ipsum, ne regnum scilicet in

ἔλεγεν „οὐ σὲ ἐξουθενήκασιν ἀλλ' ἐμέ, τοῦ μὴ βασιλεύειν ἐν αὐτοῖς." οὗτος μὲν οὖν ὁ Σαοὺλ ἐκ τῆς Βενιαμίτιδος ὑπῆρχε φυλῆς, υἱὸς τοῦ Κίς, ὁ καὶ τὴν μορφὴν ἄριστος καὶ τὸ B σῶμα μέγας. τὰς ὄνους τοῦ πατρὸς ἀπώλεσε, καὶ πρὸς τὸν προφήτην Σαμουὴλ ἔρχεται περὶ ἐκείνων ἐρωτήσων. ὁ δὲ προφήτης λαβὼν τὸ ἅγιον ἔλαιον τῆς τοῦ νεανίσκου καταχεῖ κεφαλῆς, καὶ κατασπασάμενος αὐτὸν „ἴσθι" φησὶ „βασιλεὺς· ὑπὸ θεοῦ κεχειροτόνησαι σήμερον." ἀλλὰ καὶ τὰ συμβησόμενα καθ' ὁδὸν αὐτῷ ἔλεγεν, ἐντυχεῖν τε προφήταις, καὶ σὺν αὐτοῖς προφητεῦσαι γενόμενον ἔνθεον. χρίει δὲ αὐτὸν καὶ τοῦ πλήθους ὁρῶντος. καὶ οὕτως ἡ τῶν Ἑβραίων πολιτεία εἰς βασιλείαν μετέπεσεν. ἔλεγε δὲ πρὸς αὐτοὺς ὅτι πολλὰ C παρωργίσατε τὸν θεόν, βασιλέα αἰτησάμενοι. καὶ δῆλον ἐντεῦθεν· ὃ γὰρ οὐδέποτέ τις εἶδεν ἐν θέρους ἀκμῇ χειμῶνα, τοῦτο γεγενημένον θεάσασθε. καὶ ταῦτα εἰπόντος τοῦ προφήτου ἀστραπαὶ καὶ βρονταὶ καὶ χάλαζαι καταφέρονται, ὡς ἐντεῦθεν τὸν λαὸν ἁμαρτεῖν εἰς θεὸν ἔλεγεν.

Ὁ μέντοι Σαοὺλ μέλλων κατὰ Παλαιστινῶν ὁρμῆσαι, κελεύει τὸν ἀρχιερέα λαβόντα τὴν ἀρχιερατικὴν στολὴν προφητεύειν αὐτῷ περὶ τῶν μελλόντων. τοῦ δὲ προτρέψαντος D ἐξέρχεται κατὰ Παλαιστινῶν. ὁ μέντοι Σαοὺλ τῇ νίκῃ ἐπαρθεὶς ἐπαρᾶται τοῖς Ἑβραίοις· ἣν τις ἀποσχόμενος τοῦ φο-

10. γενόμενος ἔνθεος P.

eos obtineam." Saulus hic oriundus Beniamitide tribu, Cisi F, forma praeditus longe praestantissima corporeque procero et amplo, forte patris asinas amiserat, et earum indagandarum causa vatem Samuelum convenerat. ibi vates sumptum oleum sacrum in caput iuvenis effundit, eumque peramanter complexus „esto" inquit „rex gentis nostrae divinitus approbatus." simul ei significat omnia quae ipsi essent in itinere illo eventura, futurum scilicet ut in vates incideret, et divino correptum spiritu cum eis vaticinaturum. deinde rursus eum inspectante populo inungit. atque hoc modo Hebraeorum res publica in regni formam est commutata. Samuelus quidem Israelicos aiebat petendo regem gravem in se concitasse indignationem dei. licebat eius rei coniecturam vel ex eo sumere, quod cum nemo aestate media tempestatem eiusmodi vidisset, illa tamen id temporis conspecta sit. quippe cum vates hanc orationem ad populum habuisset, fulgura cum tonitruis et grandine exstiterunt; quo facto profiteri populus se in deum deliquisse.

Secundum haec Saulus cum copiis Palaestinos invasurus pontifici mandat ut sumpta pontificia veste sibi vaticinaretur, quinam eius belli futurus esset exitus. illo regem ad bellum excitante, copias Saulus adversum Palaestinos educit; cumque victoria potitus esset,

νεύειν τοὺς ἐχθροὺς φάγῃ, καὶ μὴ μέχρις οὗ νὺξ ἐπελθοῦσα τῆς ἀναιρέσεως αὐτοὺς ἀποπαύσῃ τῶν πολεμίων, ἐπικατάρατος εἴη. οὕτω τοίνυν τοῦ Σαοὺλ φήσαντος, ἐπεὶ κατά τινα δρυμὸν ἐγένοντο μελισσῶν γέμοντα, ὁ τοῦ Σαοὺλ παῖς οὐκ ἀκηκοὼς τῆς τοῦ πατρὸς ἀρᾶς ἀποθλίψας τι κηρίον τοῦ μέλιτος ἤσθιεν. εἶτα γνοὺς τὸ γεγονὸς οὐκ ὀρθῶς ἔφη τὸν πατέρα τοιαύτην ἀρὰν θεῖναι· εὐψυχότατα γὰρ κατατρέχει τῆς τῶν ἐναντίων, εἴ γε τροφῆς ἐν τῷ μέσῳ φθάσει μεταλαβεῖν. ὁ δὲ Σαοὺλ μετὰ τὸ νικῆσαι καὶ θῦσαι τῷ θεῷ κελεύει P. 174 τὸν ἀρχιερέα καὶ αὖθις γνῶναι εἰ δίδωσιν αὐτοῖς ὁ θεὸς ἐπὶ τὸ στρατόπεδον τῶν ἐχθρῶν ἐλθεῖν καὶ διαφθεῖραι αὐτούς. εἰπόντος δὲ τοῦ ἀρχιερέως μὴ ἀποκρίνεσθαι τὸν θεόν, ὁ Σαοὺλ ἔφη μὴ ἄνευ αἰτίας τοῦτο γίνεσθαι· ἀλλ' ἔστι τι λανθάνον ἐξ ἡμῶν ἁμάρτημα τῆς τοῦ θεοῦ σιωπῆς αἴτιον, καὶ ὄμνυμι, κἂν ὁ παῖς ὁ ἐμὸς Ἰωνάθαν εἴη ὁ τὸ ἁμάρτημα τοῦτο ποιήσας, ἀποκτείνειν αὐτὸν καὶ τὸν θεὸν οὕτως ἱλεώσασθαι. πίπτει οὖν ὁ κλῆρος ἐπὶ τὸν Ἰωνάθαν, καὶ τοῦ πατρὸς ἐρωτῶντος αὐτὸν τί τε πεποίηκε καὶ ὅπως εἰς θεὸν ἐξήμαρτε, μηδὲν ἕτερον ἔλεγεν συνιδεῖν ἢ μέλιτος χθὲς ἀπογεύσασθαι B, τὴν ἀρὰν ἀγνοῶν. διομνύεται οὖν ὁ Σαοὺλ ἀπο-

insolentior factus huiusmodi quadam exsecratione sibi Hebraeos devincit (1 Reg. 14 24), si quis hostibus parcens cibum sumeret, nec in eis occidendis tamdiu perseveraret dum nox superveniens caedendi finem faceret, is ut exsecrabilis foret ac diris devoveretur. haec Saulus cum prolocutus fuisset, forte accidit ut militibus silvam quandam ingressis, quae referta esset apibus, Sauli filius exsecratione paterna non audita favum mellis avulsum comederet. cumque deinceps rem uti gesta fuisset intellexisset, male factum a patre dicebat, qui hac devotione milites obstrinxisset: sic enim comparatum esse ut animo quis fortissimo invadat adversarium, ubi cibum nactus semet aliquantulum recrearit. Saulus victoria potitus, cum rem sacram deo fecisset, iterum pontifici mandat ut deum consuleret, num feliciter hostium castra invasuri essent et cladem eis illaturi. respondente pontifice divinum oraculum silere, „non hoc" ait Saulus „absque certa causa fit, sed necesse est aliquod occultum esse delictum nostrum, cuius gratia nobis deus haud respondeat. equidem sacramento confirmo me, si vel Ionathan filius meus huius peccati sit auctor, omnino eum interfecturum, atque hac ratione deum placaturum." hoc modo factum ut sors ducta in Ionathanem caderet. cumque filium pater interrogaret quid facinoris designasset quave re in deum deliquisset, nullius ille se conscium sibi esse facti respondet quam quod hesterno die mel degustasset, ignarus eius exsecrationis qua populum pater obstrinxisset. hoc audito Saulus eum se necaturum iurat, cum-

V. 135 κτεῖναι αὐτόν. οὐκ ἀνθίσταται ὁ παῖς, τὰ τοῦ ὅρκου βιάζει προβῆναι. ἀλλὰ τὸ πλῆθος ἀλγεῖ, καὶ τὸν Ἰωνάθαν ἐξαιρεῖ τῆς χειρὸς Σαούλ, καὶ ἱκετεύει τὸν θεόν, ἵλεων ἐπὶ τούτῳ ποιεῖ. καὶ περὶ μὲν τούτων οὕτως.

Εἰπεῖν δὲ τὸν θεὸν ἔλεγεν ὁ Σαμουὴλ ὡς ἐπεὶ πολλὰ κακὰ τοὺς Ἑβραίους οἱ Ἀμαληκῖται κατά γε τὴν ἔρημον διέθηκαν, ἡνίκα τῆς Αἰγύπτου ἐξεπορεύοντο, κελεύειν πολέμῳ τιμωρήσασθαι αὐτοὺς τὸν Σαοὺλ καὶ μηδενὸς αὐτῶν C φείσασθαι. νικᾷ τοίνυν αὐτοὺς κατὰ κράτος, λαμβάνει δὲ τὸν αὐτῶν βασιλέα Ἀγὰγ αἰχμάλωτον, οὗ θαυμάσας τὸ κάλλος καὶ τὸ μέγεθος τοῦ σώματος, ὡς Ἰώσηπός φησι, σωτηρίας ἄξιον ἔκρινε. καὶ θυσίας ἀπὸ τῶν λαφύρων ἐκείνων ἀνήνεγκε τῷ θεῷ. ἐφ' ᾧ καὶ πρὸς τὸν Σαμουὴλ ἔφη ὁ θεός „μεταμεμέλημαι ὅτι ἔχρισα τὸν Σαοὺλ εἰς βασιλέα, κἀγὼ ἐξουδένωκα αὐτὸν τοῦ μὴ βασιλεύειν ἐν Ἰσραήλ." ὅθεν καὶ πρὸς τὸν Σαοὺλ οὕτως ἔλεγεν ὁ Σαμουήλ, ἡνίκα τὸν Ἀγὰγ ἐζωογόνησε τῶν Ἀμαληκιτῶν βασιλέα, „μεματαίωσαι σύ, ὅτι οὐκ D ἐφύλαξας τὴν ἐντολὴν ἣν ἐνετείλατό σοι ὁ κύριος. ὅθεν καὶ οὐ στήσεταί σοι ἡ βασιλεία, καὶ ζητήσει κύριος ἄνθρωπον κατὰ καρδίαν αὐτοῦ εἰς ἄρχοντα ἐπὶ τὸν λαὸν αὐτοῦ." πρὸς τούτοις δὲ καὶ τάδε πρὸς αὐτὸν ἔλεγεν, ἡνίκα τὴν θυσίαν ἔφερεν, „οὐ θέλει κύριος ὁλοκαυτώσεις καὶ θυσίας ὡς τὸ ἀκοῦ-

2. προσβῆναι P. 3. ἱκετεύων? 5. Σαοὺλ P.

que nihil adversante filio prorsus iuramento satisfacturus esset, misertus Ionathanis populus eum de Sauli manu liberat deumque supplicando placat. et haec quidem in hunc modum narrata sunto.

Cum autem Saulus praecepisse sibi deum diceret ut quando Amalecitae in deserto Israelicos misere tractassent, ex Aegypto id temporis migrantes, ipse bello sceleratos homines puniret ac omnino eorum nemini parceret, obtemperans mandato divino vincit eos acie, regemque Agagum captivum abducit. verum pulcritudinem eius proceritatemque corporis admiratus, quemadmodum et Iosephus memoriae prodidit, hominem dignum iudicat cuius saluti vitaeque parcatur. simul de spoliis Amalecitarum deo victimas offert. tum vero deus his verbis Samuelum compellare (1 Reg. 15 11) „poenitet me Sauli regis Israelitarum creati: quapropter hominem indignum esse statui qui cum imperio Israelitis praesit." ea de causa vicissim Samuelus ita Saulum alloqui: „quandoquidem Agagum conservasti, gessisti te dementer, non praestando edicto quo te dominus obstrinxit. iccirco regnum penes te non manebit, sed hominem deliget deus animo suo gratum, qui populo suo cum potestate praesit." addit et alia verba, cum Saulus sacrificium suum offerret (1 Reg. 15 22): „deo non tam placent hostiae ac sacrificia quam si quis eius mandato sit obtem-

σαι τῆς φωνῆς αὐτοῦ," καὶ αὖθις „διέρρηξε κύριος τὴν βασιλείαν Ἰσραὴλ ἐκ χειρός σου σήμερον, καὶ δώσει αὐτὴν τῷ πλησίον σου τῷ ἀγαθῷ ὑπὲρ σέ." ὅθεν τοῦ προφήτου πολλὰ φροντίζοντος περὶ τοῦ Σαοὺλ, „παῦσαι" πρὸς αὐτὸν ἔφη ὁ θεός, „καὶ λαβὼν τὸ ἅγιον ἔλαιον εἰς Βηθλεὲμ ἄπελθε πρὸς Ἰεσσαί, καὶ χρῖσαι εἰς βασιλέα ἕνα τῶν υἱῶν αὐτοῦ." P. 175 ἔρχεται οὖν, καὶ πάντων ἄλλων ἀποδοκιμασθέντων τῶν υἱῶν Ἰεσσαί (οὐδὲ γὰρ εἰς αὐτοὺς τὸ ἅγιον ἔβλυσεν ἔλαιον) χρίεται ὁ πάντων ὕστατος Δαβίδ. ἐφ' ᾧ καὶ πνεῦμα ἅγιον ἔκτοτε ἦν ἐν αὐτῷ, τὸν δὲ Σαοὺλ πνεῦμα πονηρὸν ἐπέρχεται. πνιγομένου τοίνυν αὐτοῦ ἔλεγον οἱ ἰατροί, καθά φησιν Ἰώσηπος, ὅτι μὴ ἄλλως τὸ τοιοῦτον καταπαύσεται πάθος, εἰ μή τις οἶδε διὰ κιννύρας ᾄδειν. ὅθεν καὶ ζητηθεὶς εἴ που τοιοῦτός τίς ἐστιν, ἄγεται ὁ Δαβίδ. ποιεῖ οὖν αὐτὸν ὁπλοφόρον, καὶ διὰ τιμῆς ἄγει. καὶ ὁ μὲν Ἰώσηπος οὕτως. τὸ B δὲ δαιμόνιον τὸ συμπνῖγον τὸν Σαοὺλ ἡ μὲν τοῦ Δαβὶδ κιννύρα κατέπαυε, πλὴν ὡς τῷ παναγίῳ πνεύματι κινουμένη· τούτου γὰρ ἐπᾴδοντος ἐκεῖνο καὶ ἄκον ἡσύχαζε.

Μετὰ δὲ ταῦτα κατὰ Ἰουδαίων ἐκστρατεύουσι Παλαιστινοί. ἀφ' ὧν καταβὰς ἀνήρ τις Γολιὰτ τοὔνομα παμμεγέθης (ἦν γὰρ πήχεων τεσσάρων καὶ σπιθαμῆς), ἐνδεδυμένος

perans. certe dominus abrupit a te hodie regnum Israelitarum, idque alteri te meliori tradet." hinc etiam factum ut cum magnopere Sauli causa vates hic sollicitus esset, dominus diceret (1 Reg. 16 1) „desine lugere Saulum, acceptoque oleo sacro Bethlehemam ad Iessaeum proficiscere, deque filiis eius unum in regem ungito." quapropter eo Samuelus se confert; omnibusque caeteris Iessaei filiis reiectis, ut in quibus oleum sacrum non emanaret, tandem natu minimus omnium Davides ungitur. ea de causa deinceps ille spiritum apud se sanctum habebat, cum e diverso malus spiritus Saulum invaderet. quoties autem ille Saulum corriperet, aiebant medici, quemadmodum Iosephus narrat, fieri aliter non posse ut malum istud consopiretur, quam alicuius opera qui fidibus caneret. itaque facta pervestigatione ecquis alicubi peritus eius artis esset, Davides adducitur, quem Saulus armigerum suum creat et honorato loco penes se retinet. sic Iosephus rem gestam commemorat. ac verum quidem est malum istum genium, qui Saulum vexabat, Davidis cithara sedatum fuisse: sed ita factum hoc statuatur, quod ea nimirum a spiritu sancto pulsata fuerit. illo namque carmen accinente malus genius vel invite conquiescebat.

Secundum haec Palaestini expeditionem adversus Iudaeos suscipiunt, deque castris illorum vir quidam prodit nomine Goliathus, ingentis magnitudinis (érat enim sex cubitorum et unius spithamae),

θώρακα σταθμὸν ἄγοντα πέντε χιλιάδας σίκλων καὶ τὰ λοιπὰ ὅπλα ἀναλόγως, φωνὴν μεγάλην ἀφίησι καὶ μονομαχεῖν
C ἐζήτει. καὶ πάντων ἐξαπορουμένων εἰσάγεται ὁ Δαβίδ, καὶ τὸν Σαοὺλ παραμυθησάμενος, μόλις δὲ καὶ πείσας αὐτόν
V. 136 (οὐδὲ γὰρ ὁ Σαοὺλ ἐθάρρει, πρὸς τὴν τοῦ Δαβὶδ ἡλικίαν ἀφορῶν) ὁρμᾷ κατὰ Γωλιὰτ καὶ διὰ σφενδόνης αὐτὸν ἀναιρεῖ. ἔκτοτε οὖν τῶν γυναικῶν λεγουσῶν ὅτι Σαοὺλ μὲν χιλιάδας Παλαιστινῶν κατηκόντισε Δαβὶδ δὲ μυριάδας, πτοεῖται καὶ εἰς τὴν αὐτοῦ βασιλείαν ὁ Σαούλ· ἐφ' ᾧ καὶ ὕποπτον εἶχεν ἔκτοτε τὸν Δαβίδ, καὶ φθόνον ἔτρεφεν οὐ μικρόν. ὅθεν καὶ εἰς ἐκστρατείας αὐτὸν ἀπέστελλεν ὡς ἐντεῦ-
D θεν τῷ πολέμῳ ἀναιρεθῆναι. ὁ δὲ Δαβὶδ τὸν θεὸν ἔχων μεθ' ἑαυτοῦ ἠρίστευε πανταχοῦ, ὡς ἐντεῦθεν καὶ τὴν θυγατέρα Σαοὺλ παρθένον οὖσαν ἔρωτα σχεῖν αὐτοῦ. δῆλα γίνεται ταῦτα καὶ τῷ Σαούλ. καὶ ὃς δραξάμενος ἀφορμῆς πρὸς τὴν κατ' ἐκείνου ἐπιβουλήν, ὡς Ἰώσηπος ἱστορεῖ, ἀποδοῦναι τὴν θυγατέρα ἔλεγεν, ἂν χιλίας μοι κεφαλὰς κομίσῃ τῶν πολεμίων. γίνεται ταῦτα, καὶ εἰς γυναῖκα λαμβάνει τὴν Μελχώ. οὐ φέρει ταῦτα Σαούλ, ἀλλ' ἐπὶ πλέον φθονεῖ ἅτε καὶ περὶ τῆς βασιλείας αὐτοῦ δεδιώς. ἀποκτεῖναι λοιπὸν αὐτὸν μελε-
P. 176 τᾷ. ἀνατίθησι ταῦτα τῷ υἱῷ τε Ἰωνάθαν καὶ τοῖς πιστοτάτοις τῶν οἰκετῶν. ὁ δὲ μηνύει τῷ Δαβὶδ τὰ τῆς βουλῆς, καὶ

indutus aeream loricam quinque milia siclorum pendentem, cuius magnitudini et ponderi arma quoque caetera respondebant. hic ergo vocem immanem tollit, deque castris Israelicorum aliquem ad singulare certamen provocat. omnibus autem perterritis Davides ad Saulum introducitur, qui regem consolatus, eoque vix persuaso, quod parum in Davide, si respiceretur ipsius aetas, fiduciae ponendum existimaret, Goliathum aggreditur hominemque fundae iactu interficit. cum autem ex eo tempore mulieres in carmine quodam canerent Saulum quidem mille Palaestinos fudisse, Davidem vero decem milia, regno suo metuere Saulus incipit, et ab eo die suspectum Davidem habens non parum invidiae adversus eum alit. quapropter ad expeditiones hominem ablegat, ut aliquo pacto in praeliis necaretur. ille vero, qui deum scilicet praesentem haberet, ubique rem praeclare gerit; quo factum est ut ipsa quoque Sauli filia virgo singulari eum amore complecteretur. qua re Saulo patefacta oblatam ad struendum insidias occasionem minime negligit, uti Iosephus commemorat, significari iubens ipsi se filiam suam ei collocaturum in matrimonium, si mille hostium capita regi referret. atque haec ita facta sunt: Micholem uxorem accipit. verum indigne ferens Saulus quod accidisset, maiori aestuat invidia, quasi iam regno suo metuens. quamobrem interficiendum deinceps hominem statuit, simul consilium suum Ionathani

ὑπὲρ αὐτοῦ τῷ πατρὶ διαλέγεται. μετὰ δὲ ταῦτα διώκει τὸν Δαβὶδ καὶ ἅπαξ καὶ δὶς καὶ πολλάκις. τηνικαῦτα τῷ ἀρχιερεῖ Ἀβιάθαρ προσέρχεται· τότε καὶ τοὺς ἄρτους τῆς προθέσεως ἔφαγεν. ἐκεῖθεν αὖθις φεύγει πρὸς Ἀβιμέλεχ· τότε δὲ καὶ τὰ τῶν ἐπιληπτικῶν ὑποκρίνεται. ἐπὶ τούτοις δὲ ὁ Δαβὶδ εὑρὼν τὸν Σαοὺλ καὶ ἅπαξ καὶ δίς, καὶ ἀποκτεῖναι αὐτὸν εὐχερῶς ἔχων, ποιῆσαι τοῦτο οὐκ ἤθελε, τῷ θεῷ πάντα τὰ κατ' αὐτὸν ἀνατιθείς. καὶ περὶ μὲν τούτων οὕτως.

Παλαιστινοὶ δ' αὖθις κατὰ Ἰουδαίων στρατεύονται, ἐφ' B ᾧ καὶ τοὺς αὐτοὺς συμμάχους ὁ Ἀγχοὺς καλεῖ. ὄρει δὲ τῷ Γελβουὲ προσβάλλει καὶ ὁ Σαούλ, καὶ πολυπληθῆ τὴν παρεμβολὴν τῶν ἀλλοφύλων ἰδὼν ἐταράχθη, καὶ ἐξέστη ἡ καρδία αὐτοῦ. καὶ ἐπηρώτησε τὸν κύριον διὰ τοῦ Ἐφούθ, καὶ οὐκ ἀπεκρίθη αὐτῷ· καὶ γὰρ εἰ μὴ εὐδοκίμουν παρ' αὐτῷ, οὐκ εἰσήκουσεν αὐτῶν. ἐφ' ᾧ καὶ ζητεῖ ἐγγαστρίμυθον, εἰ καὶ τὸ γένος αὐτῶν ἔφθασεν ἐκ τῆς πόλεως αὐτοῦ ἐκβαλεῖν ἅτε πρὸς θεὸν πρότερον εὐσεβῶν. ἐγγαστρίμυθοι δὲ ἐλέγοντο διὰ τὸ δαίμονα ἔχειν ἐν τῇ γαστρὶ αὐτῶν ἐγκαθήμενον καὶ C τὰ μέλλοντα μυθευόμενον εἴτ' οὖν μαντευόμενον. τὸ μέντοι γύναιον ἐκεῖνο πείθεται μόλις, καὶ τὴν τοῦ Σαμουὴλ ψυχὴν ἐξ ᾅδου ἀνάγει, ὡς Ἰώσηπος ἱστορεῖ. ὁ γὰρ τὰ θεῖα σοφὸς

7. τῷ θεῷ τὸ κατ' αὐτοῦ F. 8. μὲν deerat.

filio ministrisque fidissimis aperit. at filius ad Davidem paternum consilium enuntiat, eiusque causa patrem alloquitur. ille semel, bis, multoties Davidem persequitur; qui tali rerum suarum statu Abiatharum pontificem accedit et panibus propositionis vescitur. hinc ad Abimelechum fuga se confert, ubi morbo teneri epileptico iudicabatur. interim Davides Saulum semel atque iterum repertum necare cum facili momento posset, nequaquam tamen id facere voluit, deo nimirum permittens quicquid de ipso futurum esset.

Rursum Palaestini copias suas adversum Iudaeos educunt, ideoque suos etiam auxiliares Achis rex convocat. tum Saulus quoque cum suis ad montem Gelboem contendit; cumque maximas in alienigenarum castris esse copias conspexisset, perturbatus est animique gravi terrore correptus. eam ob rem dominum per ephodum consulit, qui nihil ei respondet: quippe ni bona essent apud deum Israelitae in gratia, non exaudiebat eos. igitur feminam inquirit quae oracula per ventrem redderet, quanquam antea, cum adhuc in deum se religiose gereret, totam huiusmodi mulierum nationem e re publica sua expulerat. vocantur autem huiusmodi feminae ventriloquae propterea quod genium in ventre delitescentem habeant, qui de futuris respondeat et vaticinetur. vix Saulus, quod poscebat, a mulierοula tandem

Θεοδώρητος δυσσεβῆ λέγει τὸν λόγον τουτονὶ καὶ ἀνόσιον·
οὐδὲ γὰρ πείθεται νέκυος ψυχὴν ἐξ ᾅδου καὶ τὴν τυχοῦσαν
ἀνάγειν, μήτοι γε τοσούτου προφήτου. ἄλλοι δὲ τὸν λόγον
τοῦτον μὴ θέλοντες ἀνόσιον δέξασθαι, λαοπλάνον τινὰ λέγου-
σι δαίμονα τὰ κατὰ τὸν Σαοὺλ ἀναγγεῖλαι τῇ ἐγγαστριμύθῳ.
ὁ μὲν Θεοδώρητος οὔτε τὸ πρῶτον ὡς δυσσεβὲς καταδέχεται
D οὔτε πάλιν τὸ δεύτερον· εἰ γὰρ δαίμων ἦν ὁ φανείς, οὐκ
ἂν ἀληθῆ ἐφθέγγετο ῥήματα. οὐκοῦν αὐτὸς ὁ θεὸς τὸ εἶδος,
φησί, τοῦ Σαμουὴλ σχηματίσας ἠβουλήθη, ἐξενήνοχε τὴν
ἀπόφασιν· ἔφη καὶ γὰρ διά του τῶν προφητῶν „ἐὰν ἀπέλ-
θητε πρὸς τὸν ψευδοπροφήτην, ἐγὼ κύριος ὁ θεὸς ἀποκρι-
V. 137 θήσομαι δι' αὐτοῦ." οὕτω διὰ τοῦ Βαλαὰμ ηὐλόγησε τὸν
λαόν, καὶ διὰ δυσσεβοῦς μάντεως προηγγέλθησαν τὰ ἐσόμε-
να. γίνεται ταῦτα, καὶ οἱ Παλαιστινοὶ τοῖς Ἑβραίοις προσ-
βάλλουσι. πίπτει λοιπὸν ὁ Σαοὺλ καὶ οἱ παῖδες αὐτοῦ. ὁ
μέντοι Σαοὺλ πολλὰς δεξάμενος πληγάς, καὶ μὴ φέρειν δυ-
P. 177 νάμενος, κελεύει τινὶ τῶν αὐτοῦ τὸ ξίφος αὐτοῦ ἐπενεγκεῖν,
ἵνα μὴ ταῖς ἐχθρῶν χερσὶ π..ραδοθῇ. ὁ δ' οὐκ ἐπείθετο.
ἐπιπίπτει λοιπὸν αὐτὸς τῇ μαχαίρᾳ, καὶ μηδὲ οὕτως ἰσχύων
ἑαυτῷ τὸ τέλος ἐπενεγκεῖν πείθει τινὰ τῶν Ἀμαληκιτῶν, καὶ
τελειοῖ αὐτόν. οἱ δὲ Παλαιστινοὶ σκυλεύοντες τοὺς πολεμί-

6. μὲν] μέντοι? τὸ om P. 9. σχ. ἢ ἠβουλήθη?

impetrat, quae animam Samueli ex orco producit, ut Iosephus memoriae prodidit, quanquam peritissimus ille rerum divinarum Theodoritus orationem huiusmodi vocat impiam et irreligiosam. non enim persuaderi sibi patitur vel vilis alicuius hominis mortui animam ex orco reduci posse, nedum talis ac tanti vatis. alii negantes hanc orationem impiam esse, velut impostorem vulgi daemonem quendam mulierculae vaticinatrici renuntiasse quid Saulo eventurum esset. at Theodoritus neque primum illud admittit, impium esse pronuntians, neque item alterum: nam si genius malus fuisset qui apparuit, verum sane non protulisset. quamobrem statuit deum ipsum repraesentata Samueli specie, pro arbitratu suo, verba istaec effatum esse. nam alicubi per vatem quendam dixit „quodsi falsum vatem accesseritis, ego dominus per ipsum respondebo." sic opera Balaami populo fausta imprecatus est, perque vatem improbum quae futura essent indicavit. respondit heic quoque praedictioni eventus: Palaestini Hebraeos invadunt, Saulus cum filiis occumbit; cumque multis vulneribus adfectus esset, nec amplius imperare animo suo posset, suorum cuidam mandat ut se stricto gladio transadigat, ne hostium in potestatem veniret. sed eo recusante gladium cepit, eique incubuit. cumque ne sic quidem adimere sibi vitam posset, Amalecitarum quendam exorat, qui finem ei vivendi attulit. tum Palaestini spoliatis

*ους ἐντυγχάνουσι τῷ Σαοὺλ τε καὶ τοῖς παισὶν αὐτοῦ, καὶ
κόψαντες τὰς κεφαλὰς αὐτῶν περιῆγον διὰ πάσης τῆς χώ-
ρας, τὰ δὲ σώματα αὐτῶν ἀνασταυροῦσιν ἔξω τοῦ τείχους,
ὡς Ἰώσηπος ἱστορεῖ.*

Οὕτω κατέστρεψε τὸν βίον ὁ Σαοὺλ διὰ τὸ ἐπὶ τοῖς B
*Ἀμαληκίταις παρακοῦσαι τοῦ θεοῦ καὶ διὰ τὸ τῶν ἱερέων
γένος ἀπωλείᾳ παραδοῦναι· διὰ γὰρ τοῦ Σύρου Δωὴκ ὡσεὶ
τν' ἱερεῖς ἀπέκτεινεν αἴροντας τὸ ἐφούθ. ἐκράτησε δὲ τὸν
Ἰσραὴλ ὁ Σαοὺλ ἔτη μ', ὑπερωμίας ὢν παντὸς τοῦ Ἰσραήλ.
τοῖς Ἑβραίοις ὁ θεὸς χαριζόμενος τοιοῦτον ἄνδρα βασιλεύειν
ἐν αὐτοῖς ἐξελέξατο· ἀνδραγαθίας γὰρ τῆς ἐν πολέμοις ἕνε-
κεν, οὐ μὴν εὐσεβείας ᾐτήσαντο βασιλέα. ταύτῃ τοι καὶ τὸν
μέγιστον πάντων ἐκλέγεται, ἐπειδή περ οὐ ψυχῆς ἀρετὴν
ἀλλὰ σώματος θαυμάζομεν μέγεθος.*

Μετὰ δὲ θάνατον τοῦ Σαοὺλ ἐβασίλευσεν ἐν Ἰσραὴλ ὁ C
*υἱὸς αὐτοῦ Μεμφοστέ, ἐν Ἰούδᾳ δὲ ὁ Δαβίδ· παρὰ Σα-
μουὴλ καὶ γὰρ χρισθῆναι προέφθασεν. εἶτα Ῥιχαῦ καὶ Βα-
νέας λάθρα τὸν Μεμφοστὲ ἀνελόντες ἦλθον πρὸς τὸν Δαβὶδ
ὡς δῆθεν εὐδοκιμήσαντες διὰ τὸν φόνον. ὁ δὲ ἀνεῖλεν αὐ-
τοὺς κατὰ δὴ καὶ τὸν Ἀμαληκίτην ἐκεῖνον, δι' οὗ ὁ Σαοὺλ
τὸ τέλος ἐδέξατο. τηνικαῦτα παντὸς τοῦ λαοῦ καθίσταται
βασιλεὺς ὁ Δαβίδ. τὴν δὲ θυγατέρα τοῦ Σαούλ, εἰ μὴ ὡς*

17. *ῥηχὰβ καὶ βαανὰ* F.

hostibus in Saulum eiusque filios incidunt; cumque capita ipsorum resecuissent, ea per omnem ditionem suam circumferebant, corporibus extra muros suspensis, ut Iosephus narrat.

Hoc modo vitam Saulus finiit propterea quod in exscindendis Amalecitis deo non paruisset et sacerdotum nationem delevisset. nam Doeci Syri opera sacerdotes ad trecentos quinquaginta, qui ephodum gestarent, interfecerat. regnum apud Israelicos obtinuit annos 40, humeris Israelitas omnes supereminens. quippe deus Hebraeis gratificari volens eiusmodi virum elegerat, qui eis cum imperio praeesset, quod illi bellicae fortitudinis adversus hostes causa, non pietatis, regem dari sibi petiissent. quo factum ut eis maximum omnium praeficeret, quando sic a natura comparati sumus ut non virtutem animi sed proceritatem corporis admiremur.

Post Sauli mortem filius eius Memphibosetus regnum apud Israelicos occupat, Davide Iudaeorum nationis imperio contento. nam a Samuelo prius apud hos regno inunctus fuerat. deinde Richabus et Baneas Memphiboseto clam interfecto ad Davidem se conferunt, quasi praeclaram eius caedis patratae causa laudem apud illum inventuri. Davides vero utrumque supplicio mortis adficit, quemadmodum et ante puniverat Amalecitam illum, per quem Saulus occi-

Ἰώσηπος ἱστορεῖ, ἀλλ' οὖν ἔπαθλον ἔλαβεν, ἡνίκα τὸν Γολιὰθ ἐσφενδόνησεν· οὕτω γὰρ ἀναμέσον αὐτῶν συμπεφώνητο.
D ὁ γοῦν Δαβὶδ μετὰ τὸ ἀναγορευθῆναι βασιλεὺς ἐφίσταται τῇ Ἱεροσόλυμα, καὶ τοὺς ἐκεῖσε κατοικοῦντας Ἰεβουσαίους τροπωσάμενος βασιλείαν ἑαυτοῦ ποιεῖται τὰ Ἱεροσόλυμα. πρῶτος μὲν οὖν Δαβίδ, ὡς Ἰώσηπος ἱστορεῖ, τοὺς Ἰεβουσαίους ἐκεῖθεν ἐκβαλὼν ἀφ' ἑαυτοῦ τὴν πόλιν προσαγορεύει· Σόλυμα καὶ γὰρ ἐπὶ Ἀβραὰμ ἐκαλεῖτο.

Μετὰ δὲ ταῦτα ὁρᾷ τὴν Βηρσαβεὲ λουομένην ἐν τῷ οἴκῳ αὐτῆς, ὅθεν καὶ ταύτης ἐρᾷ. μίγνυται λοιπὸν αὐτῇ, καὶ τὸν Οὐρίαν οἰκονομεῖ θανάτῳ περιπεσεῖν, ὃς ἀνὴρ αὐτῆς ἦν. οὐ πολὺ τὸ ἐν μέσῳ, καὶ διὰ Νάθαν ἐλέγχεται. εἶτα φεύγει διὰ τὴν τοῦ Ἀβεσσαλὼμ ἐπανάστασιν, καταλείψας τὰς αὐτοῦ δέκα παλλακὰς φυλάσσειν τὸν οἶκον αὐτοῦ. ἡ δὲ αἰτία τοῦ Ἀβεσσαλὼμ πατραλοίαν γενέσθαι αὕτη. τῷ Δαβὶδ
P. 178 θυγάτηρ ἦν σφόδρα περικαλλής, τῷ Ἀβεσσαλὼμ ὁμομήτριος. ταύτης ὁ Ἀμνὼν ἐρᾷ τῶν ἀδελφῶν ὁ πρεσβύτατος. καὶ μὴ ἔχων τὰ τῆς ἐπιθυμίας πληρῶσαι σφόδρα κατετήκετο. ἐφ' ᾧ καὶ νοσεῖν ὑποκρίνεται. ἱκετεύει τὸν πατέρα συμπαραμένειν αὐτῷ τὴν ἀδελφὴν δουλείας ἕνεκεν. γίνεται ταῦτα. ἀποκαλύπτει τὸ πάθος αὐτῇ, ἡ δ' οὐκ ἐπείθετο. βιάζεται αὐ-

sus fuerat. post id temporis Davides universae nationis rex declaratur. Sauli quidem filiam uxorem accepit, aliter tamen quam Iosephus exponat, videlicet praemii loco, cum Goliathum fundae iactu necasset, quemadmodum inter ipsos convenerat. posteaquam vero Davides rex designatus est, Hierosolyma cum copiis invadit, et eiectis incolis oppidi Iebusaeis regiam suam Hierosolymis constituit. primus quidem certe Iebusaeis inde pulsis, ut Iosephus narrat, de suo nomine urbem Davidicam appellavit: nam Abrahami aetate Solyma nuncupabatur.

Secundum haec forte conspecta Bersabea, quae se domi suae abluebat, eius amore captus est; cumque in amplexus mulieris venisset, procurat ut maritus eius Urias in praelio quodam occumberet. non longo tempore interiecto a Nathane vate facinoris illius arguitur. secuta est ipsius fuga propter Abesalomi filii rebellionem; qua quidem in fuga concubinas suas 10 relinquit, quae domum custodirent. causa vero quamobrem Abesalomus hoc parricidium moliretur, haec fuit. habebat filiam Davides elegantissima forma praeditam, quae eadem cum Abesalomo nata matre fuerat. hanc cum Amnon, regiorum filiorum natu maximus, misere deperiret, nec libidinis explendae rationem ullam reperiret, totus contabescebat. tandem morbum simulat, ac patrem orat ut sororem adesse sibi velit in eo morbo ministrandi causa. impetrat a patre quod volebat. amorem suum

τήν, ἐφ' ᾧ καταπειθὴς ὁρᾶται. παραχρῆμα μῖσος τίκτεται V. 138
κατ' αὐτῆς τῷ Ἀμνών, ἐφ' ᾧ καὶ ἐκβάλλει αὐτήν. θλίβεται
οὐ μικρῶς αὕτη, ἀποκαλύπτει ταῦτα τῷ Ἀβεσσαλώμ. πα-
ρατηρεῖται καιρόν, ἐξέρχεται εἰς κουρὰν τῶν θρεμμάτων αὐ- B
τοῦ, συλλαμβάνει μεθ' ἑαυτοῦ καὶ τοὺς ἀδελφούς. τελεῖται
συμπόσιον, καὶ καρωθέντα τὸν Ἀμνὼν κτείνουσιν οἱ οἰκέται
αὐτοῦ. ἐντεῦθεν οὖν ὁ Ἀβεσσαλὼμ πτοηθεὶς φρονεῖν ἤρξα-
το κατὰ πατρός. καὶ πρῶτον μὲν πείθει αὐτὸν ὁ Ἀχιτόφελ
εἰς τὰς παλλακὰς εἰσελθεῖν τοῦ πατρός, ἔπειτα συμβουλεύει
αὐτῷ μετὰ στρατιᾶς ὁρμῆσαι κατὰ τοῦ Δαβίδ. μὴ εἰσακου-
σθεὶς δὲ διὰ τὸ ἀγαθὴν δόξαι τὴν τοῦ Χουσὶ συμβουλήν (ἔτυ-
χε γὰρ φίλος εἶναι τῷ Δαβὶδ ὁ Χουσί) ἀγχόνῃ ἐχρήσατο.
ἐπὶ δὲ τούτῳ διώκεται μᾶλλον ὁ Ἀβεσσαλώμ, καὶ δὴ κατα-
λαμβάνεται. ἀλλ' ὦ Δαβιδικῆς ψυχῆς! καὶ τοσαῦτα γὰρ C
παθὼν παρὰ τοῦ πατραλοίου ἔλεγε „φείσασθε τοῦ παιδαρίου
Ἀβεσσαλώμ." ἀλλὰ καὶ τοῦ Ἰωὰβ κατὰ καρδίας βαλόντος
τὸν Ἀβεσσαλώμ, ἡνίκα τῷ δένδρῳ ἀπῃωρήθη τῶν τριχῶν,
ἐθρήνησεν ἄμετρα.

Τῷ μέντοι Δαβὶδ μελετῶντι ναὸν οἰκοδομῆσαι τῷ κυρίῳ εἶπεν ὁ Νάθαν „πάντα ὅσα ἐν τῇ καρδίᾳ σου βάδιζε καὶ ποίει, ὅτι θεὸς μετὰ σοῦ." ἠγνόησε γὰρ καὶ οὗτος τὸ μέλλον, ὡς ὁ Σαμουὴλ τὸν χρισθησόμενον υἱὸν τοῦ Ἰεσσαί, καὶ

16. βάλλοντος P.

puellae aperit, quae cum eius desiderio non adsentiretur, vitium ei per vim offert. mox concepto in eam odio foras violatam eiicit. illa non parum semet adflictare, fratri Abesalomo rem patefacere; qui temporis opportunitate observata, suorum ad pecorum tonsuram proficiscens fratres suos invitatos secum abducit. hinc epulum instruitur, Amnonemque factum hilariorem Abesalomi fratris famuli ex composito necant. ex eo tempore metuens sibi Abesalomus consilia quaedam contra patrem molitur. ac primo quidem auctor ei fuit Achitophelus ut patris concubinas iniret; deinde ut cum exercitu Davidem invaderet. verum cum ei propterea non obtemperaretur, quod Chusaei consilium melius esse visum fuisset, hominis Davidi valde familiaris, suspendio vitam finit. secundum haec Abesalomus impetu maiori patrem persequitur: sed haeret tandem. atque heic mihi Davidicum animum adspice. quanquam talia tantaque perpessus a parricida fuisset, nihilominus in haec verba suos alloquitur (2 Reg. 18 5) „parcite iuveni Abesalomo." idem, cum Abesalomus arbori crinibus innexis adhaesisset, supra modum calamitatem eius deploravit.

Secundum haec cogitanti cum animo suo Davidi de templo in honorem domini exstruendo Nathan respondet, quicquid secum facere constituisset, id moliri deo secundo pergeret. ignorabat enim

τὸς αἰχμαλωτίζεται, καὶ ὁ λαὸς ἀναιρεῖται μαχαίρᾳ. Παλαιστινοὶ καὶ γὰρ κατὰ Ἰουδαίων ὁρμῶσι, συμπλέκονται ἀλλήλοις, καὶ πίπτουσιν Ἑβραῖοι ὡσεὶ τετρακισχίλιοι. εἶτα τὴν κιβωτὸν ἀράμενοι σὺν αὐτῇ κατὰ τῶν πολεμίων ὁρμῶσι, κρατῆσαι συνήθως θαρρήσαντες. συμβάλλουσιν ἀλλήλοις, καὶ B πίπτουσι μὲν ἐκ τῶν Ἑβραίων οὐκ ὀλίγοι, αἰχμαλωτίζεται δὲ καὶ αὐτὴ ἡ κιβωτός. οὐκ ἀγαθὴ λοιπὸν ἀγγελία καταλαμβάνει τὸν Ἠλεί· καὶ τὴν μὲν τῶν αὐτοῦ παίδων ἀπώλειαν φέρει γενναίως, καὶ ὅτι καὶ σφάλματα προσῆσαν αὐτοῖς, πορνεία καὶ γαστριμαργία (γάμους γὰρ ἀλλοτρίους ἐξώρυττον καὶ τὰ κρέα πρὸ τοῦ ἁγιασθῆναι ἤσθιον), τὴν δὲ τῆς κιβωτοῦ αἰχμαλωσίαν οὐκ ἐνεγκὼν καταπίπτει τοῦ θρόνου καὶ τελευτᾷ· ἔτυχε γὰρ τότε κατά γε τὰς πύλας τοῦ ἱεροῦ καθήμενος ἐπὶ δίφρου, ὀκτὼ καὶ ϛ' βιώσας ἔτη.

Τὴν μέντοι κιβωτὸν οἱ Παλαιστινοὶ λαβόντες εἰς πόλιν Ἄζωτον αἰχμάλωτον ἤγαγον. τότε καὶ Δαγὼν συνετρίβη τῆς C οἰκείας ἐκστὰς ἕδρας καὶ ὡς ἐν σχήματι προσκυνοῦντος πεσών. ἔδειξε γὰρ ὁ θεὸς ἐνταῦθα ὅτι οὐχ ὡς ἀσθενὴς ᾐχμαλωτίσθη ἡ κιβωτός (εἰ γὰρ τοῦτο ἦν, οὐκ ἂν τῇ παρουσίᾳ αὐτῆς ὁ θεὸς αὐτῶν Δαγὼν συνετρίβη, [ὥστε] εἰ μὴ θεία χάρις προσῆν αὐτῇ), αἰχμαλωτισθῆναι δὲ συνεχωρήθη διὰ

21. αὐτῇ] ἐν αὐτῇ P.

demonstrat historia cum iis quae arcae populoque Israelico acciderunt. nam et Elius miserabili fine vitam claudit, et hostium in potestatem arca venit, et gladio populus occiditur. quippe Iudaeos Palaestini bello invadunt, praelio inter se utrique congrediuntur, Hebraeorum ad quattuor milia cadunt. hinc arca Israelici advecta, cum ea in hostes irruunt, quod omnino futurum confiderent ut ea praesente superiores ipsi pro more discederent. conseruntur ergo manus, Hebraeorum plurimi cadunt, arca ipsa ab hostibus intercipitur. quamobrem infeliciter gestae rei tristem nuntium Elius accipit, ac suorum quidem filiorum interitum generoso fert animo, quod ii vitiis suis non caruissent, scortationi ac luxuriae dediti (consueverant enim toros alienos polluere, oblatisque deo carnibus ante vesci quam consecratae forent): verum ob arcae captivitatem gravissime perculsus solio suo delabitur, moxque vivendi finem facit. nam forte tum pro templi foribus in sella versatili consederat annos iam nonaginta et octo natus.

Arcam Palaestini ab se captam in oppidum Azotum avehunt. neque multo post Dagon loco suo motus est, allisusque terrae venerabundi speciem coram arca prostratus exhibuit. voluit autem deus ostendere non ex imbecillitate quadam sua fuisse captam arcam: nam caeteroqui deus adversariorum Dagon arca praesente non fuisset at-

τὴν τῶν Ἰουδαίων κακίαν. τότε δὴ τότε καὶ ὑπὸ δυσεντερίας ἀπέθνησκον οἱ αἰχμαλωτίσαντες αὐτήν, τὰ ἐντὸς ἐξεμοῦντες διεφθαρμένα. ἀλλὰ καὶ μυῶν πλῆθος ἀνελθὸν τὰ τῆς χώρας κατέβλαπτε. μόλις οὖν οἱ Ἀζώτιοι συνῆκαν ὡς ἐκ τῆς κιβωτοῦ τὰ τοιαῦτα προσγίνονται αὐτοῖς· ἀξιοῦσι λοιπὸν D τοὺς Ἀσκαλωνίτας. καὶ ταύτην προσδεξάμενοι ἐν τοῖς ὁμοίοις γίνονται κακοῖς. οἱ δὲ Ἀσκαλωνῖται πρὸς ἑτέρους πέμπουσι, κἀκεῖνοι πρὸς ἄλλους. καὶ πάντες τὰ αὐτὰ πάσχουσι. συνέρχονται οὖν οἱ τῶν παθουσῶν πέντε πόλεων ἄρχοντες, Ἀκαρὼν Γάζης Ἀζώτου καὶ τῶν λοιπῶν, καὶ περὶ τούτου σκοποῦσιν. ὅθεν καὶ βόας ὑποζεύξαντες ἀρτιτόκους, καὶ τὴν κιβωτὸν αὐτοῖς ἐπιτιθέασι, καὶ ἐπὶ τριόδου καταλιπόντες ἐπιτρέπουσιν αὐτοῖς ἣν βούλονται ὁδὸν ἀπελθεῖν· κἂν μὲν τὴν Ἑβραίων ἀπίωσιν, ὑπολαμβάνειν τὴν κιβωτὸν αἰτίαν εἶναι P. 173
τῶν τοιούτων κακῶν, ἂν δὲ ἄλλην τράπωνται, καταδιώξωμεν V. 134
αὐτὴν ἔφασαν ἅτε μὴ τοιαύτην ἔχουσαν δύναμιν. γίνεται ταῦτα, καὶ θείαν τῇ κιβωτῷ προσεῖναι διέγνωσαν δύναμιν.

Οἱ μὲν οὖν Ἑβραῖοι τοιαῦτα πάσχοντες ζητοῦσι βασιλέα, καὶ λαμβάνουσι τὸν Σαούλ, εἰ καὶ μὴ πρᾴως ἔφερεν ὁ θεὸς τοῦ τοιούτου χάριν ζητήματος, ἐφ' ᾧ καὶ πρὸς τὸν Σαμουὴλ

11. τὴν deerat.

tritus. de quo colligere licet praesentem in ea quidem fuisse divinam gratiam, sed ob Iudaeorum sceleratam vitam deum permisisse ut hostium in potestatem veniret. eodem tempore morbo intestinorum adfecti moriebantur quotquot arcam ceperant, visceraque corrupta excernebant. praeterea murium ingens enata copia fines eorum infestabat. quapropter Azotii vix tandem intellecto se malis huiusmodi ob arcam vexari, Ascalonitas orant ut eam ad se reciperent. hoc illi cum fecissent, consimiles calamitates experiuntur. ad alios igitur eam Ascalonitae ablegant, iique vicissim ad alios, omnibus eadem mala perpessis. hanc ob causam congressi optimates illarum quinque urbium, quae hisce suppliciis multatae fuerant, nimirum Accaronis Gazae Azoti et reliquarum, de tota re deliberant, statuuntque duas vaccas foetas currui alligandas esse, cui arca imponatur. hoc facto vaccas in trivio relinquunt, eisque potestatem faciunt eundi quo velint. quodsi pergerent in Hebraeorum fines, omnino existimandum aiunt arcam ipsis eiusmodi malorum causam fuisse, sin alio deflecterent, persequendam, uti quae potestatem eiusmodi nullam haberet. huic consilio cum paruissent, adesse divinam quandam arcae vim ac potestatem deprehenderunt.

In hoc statu cum res Hebraeorum essent, regem dari sibi postulant et Saulum accipiunt, quanquam deus huiusmodi petitionem eorum perquam graviter tulit, ac propterea verbis hisce Samuelum allocutus est. „non te flocciferunt, sed me ipsum, ne regnum scilicet in

puellae aperit, quae cum eius desiderio non adsentiretur, vitium ei per vim offert. mox concepto in eam odio foras violatam eiicit. illa non parum semet adflictare, fratri Abesalomo rem patefacere; qui temporis opportunitate observata, suorum ad pecorum tonsuram proficiscens fratres suos invitatos secum abducit. hinc epulum instruitur, Amnonemque factum hilariorem Abesalomi fratris famuli ex composito necant. ex eo tempore metuens sibi Abesalomus consilia quaedam contra patrem molitur. ac primo quidem auctor ei fuit Achitophelus ut patris concubinas iniret; deinde ut cum exercitu Davidem invaderet. verum cum ei propterea non obtemperaretur, quod Chusaei consilium melius esse visum fuisset, hominis Davidi valde familiaris, suspendio vitam finit. secundum haec Abesalomus impetu maiori patrem persequitur: sed haeret tandem. atque heic mihi Davidicum animum adspice. quanquam talia tantaque perpessus a parricida fuisset, nihilominus in haec verba suos alloquitur (2 Reg. 18 5) „parcite iuveni Abesalomo." idem, cum Abesalomus arbori crinibus innexis adhaesisset, supra modum calamitatem eius deploravit.

Secundum haec cogitanti cum animo suo Davidi de templo in honorem domini exstruendo Nathan respondet, quicquid secum facere constituisset, id moliri deo secundo pergeret. ignorabat enim

D ὡς ὁ Ἐλισσαῖος τὸ τῆς Σομανίτιδος πάθος. νύκτωρ δὲ ἐπιφανεὶς αὐτῷ ὁ κύριος ἔφη „πορεύου, καὶ εἰπὲ τῷ δούλῳ μου τῷ Δαβὶδ „ὅτι οὐ σὺ οἰκοδομήσεις μου οἶκον, ὅτι αἵματα πολλὰ ἐξέχεας ἐπὶ τῆς γῆς ἐναντίον μου." τοῦτο δὲ εἰρῆσθαι δοκεῖ εἰς ὠφέλειαν τῶν τὰς μιαιφονίας ἐργαζομένων· οὐδὲ γὰρ ἂν δίκαιον φόνον ἐμέμψατο τῷ βασιλεῖ ὁ τοῦ Φινεὲς τὸν δίκαιον φόνον θυσίας προσαγορεύσας. ἐφ' ᾧ καὶ δίδωσι Δαβὶδ Σολομῶντι τῷ υἱῷ αὐτοῦ τὸ παράδειγμα τοῦ ναοῦ καὶ τῶν οἴκων αὐτοῦ. πάντα ἐν γραφῇ ἐκ χειρὸς κυρίου δέδωκεν αὐτῷ. ἀλλὰ καὶ αὐτὸς ὁ Νάθαν ἡνίκα πρὸς αὐτὸν ἀπε-
P. 179 στάλη παρὰ θεοῦ, εἶπε „καλὸν τοῦτο ἐποίησας, ὅτι ἐγενήθη ἐν τῇ καρδίᾳ σου περὶ τοῦ οἰκοδομῆσαι οἶκον· ἀλλ' οὐ σύ, οἰκοδομήσει ὁ ἐκ σοῦ δέ."

Εἰ καὶ μακροθυμεῖ ὁ θεὸς τῆς ἁμαρτίας τολμωμένης, ἀλλ' ὀψέ ποτε κολάζει. ἴδε γὰρ ὅτι μετὰ τῶν Γαβαωνιτῶν οἱ Ἰσραηλῖται συνέθεντο μὴ φονεῦσαι αὐτούς, ὁ δὲ Σαοὺλ σὺν τοῖς ἄλλοις ἀλλοφύλοις καὶ αὐτοὺς ἀπέκτεινε. τὰς μέντοι τοῦ τοιούτου τολμήματος δίκας ἐπὶ τοῦ Δαβὶδ εἰσέπραξε, λοιμὸν ἐπενεγκών. καὶ εἰ μὴ τοὺς τοῦ Σαοὺλ ἑπτὰ παῖδας
B ἐφόνευσαν, οὐκ ἂν ἡ θεία ὀργὴ ἔπαυσε. μανθάνομεν οὖν ἐκ τούτου ὡς γένους ὁ δεσπότης οὐκ οἶδε διαφοράν, ἀλλὰ τοῖς

vates quid futurum esset, quemadmodum inungendus Iessaei filius a Samuelo non agnoscebatur, et Elissaeus calamitatem Sumanitidis ignorabat. sed noctu deus Nathani conspectus inquit (1 Paral. 17 4) „abi significatum famulo meo Davidi, non ipsum esse qui aedem domino sit exstructurus„ multum enim ab eo sanguinis esse fusum." quod quidem postremum ad utilitatem eorum dictum esse videtur qui caedibus sese coinquinant. nam caeteroqui minime putandum est deum huic regi caedes iustas exprobrare voluisse, cum perpetratam a Phineaso caedem aequissimam sacrificii nomine dignetur. hanc igitur ob causam Davides Solomoni filio suo tradit exemplar exstruendi templi et aedificiorum eius, idque manu domini expressum. Nathan certe, cum ad Davidem a deo fuisset ablegatus, ostendit eum his rebus filio relinquendis occupatum fuisse. factum, inquit, abs te praeclare, quod huiusmodi curam susceperis de templi structura: non tamen ea per te sed natum ex te filium perficietur.

Observandum obiter quod tametsi deus facinore quodam designato longa utatur patientia, tandem tamen aliquando puniat. eius rei licet a Gabaonitis exemplum petere. pacti cum Gabaonitis fuerant Israelici non se illos intercempturos. at Saulus eos nihilominus una cum exteris nationibus reliquis excidit. eius facinoris poenas deus per illatam regnante Davide famem exegit. quod nisi septem Sauli filii fuissent interempti, ira dei non cessasset. hinc animadvertere licet

ἠδικημένοις, κἂν ἀλλογενεῖς ὦσιν, ἐπαμύνει δικαίως θεός. καὶ αὐτὸς ὁ Δαβὶδ τὸν Οὐρίαν ἀδικήσας ἀλλόφυλον ὄντα (Χετταῖος γάρ) οὐκ ἀτιμώρητος ἔμεινε. τὸ δὲ μοιχίδιον βρέφος, ὃ πρῶτον τῇ Βηρσαβεὲ γέγονε μοιχευθείσῃ τῷ Δαβίδ, ἐπάταξεν ὁ θεός. ζῶν γὰρ ἔμελλεν εἶναι τοῦ εὐσεβοῦς βασιλέως ὄνειδος καὶ τῆς αὐτοῦ παρανομίας ἔλεγχος. κηδόμενος V. 139 οὖν αὐτοῦ ζῆν τὸ τοιοῦτον ὁ δεσπότης οὐκ εἴασεν.

Ἡ δὲ πρώτη βίβλος τῶν Παραλειπομένων αἰνίττεται ὡς C τοῦ Δαβίδ εἰσιν ἅπαντες οἱ ψαλμοί, καθά φησι Θεοδώρητος. λέγει γὰρ ὅτι ἔταξε Δαβὶδ ἐν ἀρχῇ τοῦ αἰνεῖν τὸν κύριον ἐν χειρὶ Ἀσαφὰτ καὶ τῶν ἀδελφῶν αὐτοῦ. ὁ μέντοι Δαβὶδ ἐτῶν τριάκοντα βασιλεύσας, ὥς φησι Θεοδώρητος, περὶ τὰ ἑβδομήκοντα τὸ τοῦ βίου τέλος ἐδέξατο. προσθετέον δὲ τοῖς ἄνω καὶ τάδε καθ' ἱστορίαν ὄντα τοῦ Ἰωσήπου. κατὰ Παλαιστινῶν ἐκστρατεύει ὁ Δαβίδ, καὶ διώξας ἐπὶ πολὺ διέστη τῶν αὐτοῦ πάντων. καὶ ἰδών αὐτὸν μεμονωμένον καὶ D ὑπὸ κόπου ἔκλυτόν τις τῶν ἐναντίων, ὃς καὶ ἀπόγονος τῶν Γιγάντων ἦν, ἠπείγετο θανατῶσαι αὐτόν. καὶ τοῦτο ἂν ἐγεγόνει, εἰ μὴ Ἀβεσαῖος ὁ ἀδελφὸς Ἰωὰβ παρευθὺς εὑρεθεὶς ἐκεῖσε ἀπέκτεινε τὸν πολέμιον, ἐκεῖνον δὲ σῶον ἐπανεσώσατο. ὅθεν καὶ ὥρκωσεν αὐτὸν ὁ λαὸς ἅπας ὡς μὴ τοῦ

13. τὰ] τοὺς P.

dominum generis discrimen nullum admittere, sed adfectos iniuria, tametsi generis diversi et peregrini sint, iusto iudicio suo vindicare. quinetiam ipse Davides, quod Uriam per scelus violasset, hominem caeteroquin alienigenam, ut qui Chettaeus esset, impune non tulit. ex adulterio quidem conceptus infans, primus ei natus ex Bersabea, divinitus morbo adfectus interiit: quippe si superstes mansisset, pio regi fuisset probro et manifestum admissi facinoris indicium atque argumentum. quamobrem divina de Davide cura providentiaque factum est ut eiusmodi puero vita longior non concederetur.

Caeterum in Omissorum primo libro significatur omnes psalmos Davidis esse. testatur idem Theodoritus quoque, primum Davidem ordinasse dicens, Asaphati et fratrum eius opera, ut hymnis deus concelebraretur. cum autem Davides, eodem Theodorito auctore, annos triginta regnasset, septuaginta vixisset, fato functus est. libet hoc loco superioribus haec quoque de Iosephi narrationibus adiicere. accidit aliquando ut copias Davides adversus Palaestinos educeret, cumque persecutus eos diu fuisset, longo intervallo a suis omnibus est divulsus. tum quidam ex hostibus, e gigantum posteritate natus, eum solum desertumque videns ac prae labore viribus destitutum, interficere festinabat; ac factum id sane fuisset, ni Abisaeus Ioabi frater mox adfuisset hostemque peremisset ac Davidem salvum

λοιποῦ σὺν αὐτοῖς ἀπαντᾶν εἰς πόλεμον. στρατοπεδεύουσι καὶ αὖθις κατὰ τῶν Ἑβραίων οἱ Παλαιστινοί, ἐν οἷς ἦν ἀνὴρ τὸ μὲν ὕψος ἓξ πήχεων, δακτύλους δὲ ἐν ἑκατέρᾳ τῶν βάσεων καὶ τῶν χειρῶν περισσοτέρους εἶχε τῶν κατὰ φύσιν· ἀπόγονος γὰρ τῶν Γιγάντων ἦν. τοῦτον ἀποκτείνει μονομαχήσας
P. 180 Ἰωνάθαν τις Σουβαῖος, ὅθεν καὶ νίκης αἴτιος γίνεται. ἔκτοτε οὖν παύονται οἱ Παλαιστινοὶ τοῦ πρὸς Ἑβραίους μάχεσθαι. ἐφ' ᾧ λαβὼν ἄδειαν ὁ Δαβὶδ ὑμνεῖν ἤρξατο τὸν θεὸν καὶ τὰς ᾠδὰς ἔπλεκεν.

Ἰστέον δὲ ὅτι στρατιώτας ἀμάχους μὲν τὴν ἰσχὺν πολλοὺς ὁ Δαβὶδ ἐκτήσατο, ἐξαιρέτως δὲ πέντε. ὁ μὲν γὰρ αὐτῶν χ' ἀνεῖλεν ἐν μιᾷ ἡμέρᾳ, ὁ δὲ κατ' ἐχθρῶν ἐκπηδήσας οὐκ ἂν ἐπαύετο εἰ μὴ ἐννακοσίους ἀνεῖλε. τοσοῦτον γὰρ τολμηροὶ ἦσαν ὡς καὶ τρεῖς ἐξ αὐτῶν πρὸς Βηθλεὲμ ἀπελθεῖν καὶ ἀγαγεῖν ὕδωρ τῷ Δαβὶδ ἐντὸς ὄντι Ἱεροσολύμων,
B εἰσελθόντας αὐτοὺς καὶ ἐξελθόντας διὰ μέσων τῶν Παλαιστινῶν ἔξω παρακαθημένων καὶ μὴ τολμησάντων αὐτοῖς ἀντιπεσεῖν διὰ τοσοῦτον θράσος αὐτῶν. ὃ ὕδωρ οὐκ ἠθέλησε πιεῖν ὁ Δαβίδ, ἀλλ' ἔσπεισε τῷ θεῷ, καὶ τοὺς στρατιώτας ἐθαύμασε.

Μετὰ δὲ ταῦτα χειροτονηθεὶς παρὰ τοῦ Δαβὶδ ὁ Σολομὼν ἐκάθισεν ἐπὶ θρόνου κυρίου εἰς βασιλείαν, τουτέστιν εἰς

suis restituisset. qua de causa populus universus eum iureiurando adstrinxit, quo se deinceps cum caeteris in praelia non profecturum polliceretur. rursum Palaestini castra castris Hebraeorum opposuerant, habebantque secum hominem proceritate sex cubitorum, cui essent in utraque planta pedis et utraque manu digiti plures quam naturae conveniret: erat enim et ipse de gigantum posteris oriundus. hunc, duello congressus, Ionathan Subaeus quidam interficit, eoque pacto victoriae suis auctor exstitit. ab eo tempore Palaestini bello Hebraeos adoriri desierunt, qua occasione Davides otium a negotiis nactus hymnis deum laudare coepit odasque sacras contexere.

Sciendum est autem habuisse quidem milites Davidem complures invicti roboris, verum quinque omnino eximios. horum in numero fuit unus qui sexcentos hostes uno die interemit, item alius qui adversus hostes prosiliens caedendi finem prius non fecit quam nongentos occidisset. tanta itidem praediti erant audacia, ut tres eorum Bethlehemam pergerent ac Davidi tum Hierosolymis degenti aquam adferrent, profecti eo vicissimque reversi per medios Palaestinos, extra oppidum in castris considentes, nec propter insignem hanc audaciam se ipsis obiicere ausos. atque hanc aquam bibere Davides noluit, sed militum virtutem admiratus eam deo libavit.

Secundum haec designatus a Davide Salomo, consedit in throno

τὸν δοθέντα θρόνον αὐτῷ παρὰ κυρίου. τῆς δὲ πρώτης βίβλου τῶν Παραλειπομένων τὸ τέλος δηλοῖ ὅτι καὶ Σαμουὴλ ὁ ὁρῶν καὶ Νάθαν ὁ προφήτης καὶ Γὰδ ὁ ὁρῶν βίβλους εἶχον συγγεγραμμένας. ἰστέον ὅτι Ὀρνίας καὶ Ἀδωνίας ὁ αὐ- B
τὸς ἦν, υἱὸς δὲ Δαβίδ· διώνυμος γάρ. οὗτος δειπνοκλήτορας ἔχων τὸν Ἰωὰβ καὶ τὸν Ἀβιάθαρ περὶ τῆς βασιλείας ἐμελέτα. ὁ δὲ Νάθαν μηνύει τὰ περὶ τούτων τῇ Βερσαβεέ (οἶδε γὰρ τὸν σκοπὸν τοῦ θεοῦ), αὕτη δὲ μηνύει τῷ Δαβίδ. ὁ μέντοι Δαβὶδ δι' ἑαυτοῦ μὲν τὸν Ἰωὰβ τιμωρῆσαι μὴ θελήσας ἅτε ὑπὲρ αὐτοῦ πολλὰ κοπιάσαντα, τῷ Σολομῶντι παραινεῖ ἀποκτεῖναι αὐτόν, ἵνα μὴ τῆς νεότητος αὐτοῦ καταφρονήσῃ. τὰ αὐτὰ δὲ συμβουλεύει αὐτῷ καὶ περὶ τοῦ Σεμεὶ ὡς ἀρχηγοῦ ὄντος, εἰ καὶ αὐτὸς ἐκαρτέρει πολλὰ καὶ C
πολλάκις ὑβριζόμενος παρ' αὐτοῦ. κρατεῖ ὁ Σολομών, καὶ τηνικαῦτα τὸν ἀδελφὸν αὐτοῦ Ὀρνίαν φονεύει. ἀλλὰ καὶ ἐπὶ τῷ Ἰωὰβ ὡσαύτως ποιεῖ, κἂν τῷ θεῷ προσέφυγεν· ὁ γὰρ V. 140
θεῖος νόμος τὸν προσπεφευγότα τῷ ναῷ ἀνδροφόνον ἀναιρεῖσθαι προσέταξεν.

Ὁ Σολομὼν ἐν χιλιόμβοιν ἱερατεύσας ἱκέτευε τὸν θεόν, καὶ σοφίας τυχεῖν ᾔτησε καὶ συνέσεως. ὤφθη δὲ αὐτῷ κύριος ἐν ὕπνῳ καὶ εἶπεν „αἴτησαι τὸ αἴτημα σεαυτῷ." ὁ δὲ εἶπε „σὺ ἔδωκας τὸν δοῦλόν σου ἀντὶ Δαβὶδ τοῦ πατρός μου,

domini ad obtinendum regnum, hoc est in solium Davidi a domino tributum. in Omissorum primo libro perscriptum legimus Samuelum Nathanem Gademque vates commentariis res a Davide gestas complexos esse. sciendum eundem fuisse Orniam et Adoniam, ut qui duplex nomen habuerit. hic cum ad convivium invitasset Ioabum et Abiatharem, de occupando regno sollicite cogitabat. tum Nathan vates horum consilia Bersabeae aperit (norat enim dei mentem atque institutum), Bersabea rem ad Davidem defert. Davides, qui per se Ioabum adfici supplicio nollet, quod is multos labores ipsius causa pertulisset, Solomoni filio consuluit ut eum interficiat, ne iuventutem ipsius flocci faceret. idem ei dat consilii de Semeio plane seditioso homine; quem tamen ipse tulerat, licet multis ab eo fuisset aliquoties iniuriis adfectus. secundum haec regno potitur Solomo, et fratrem suum Orniam interficit. idem Ioabo accidit, quanquam is ad aram dei profugisset. lex enim divina homicidam, qui ad templum fugisset, interfici iubet.

Hinc Solomo cum mille aliquando victimas immolasset, deo supplicat, et sapientiam prudentiamque sibi ut largiatur orat. nam deus ipse per somnum ei se obtulerat et aliquid ab se uti postularet iusserat. ille vero respondens „tu me" inquit (3 Reg. 13 7) „in patris

καὶ ἐγώ εἰμι παιδάριον μικρόν, καὶ ἐγὼ οὐκ οἶδα τὴν εἴσο-
δόν μου καὶ τὴν ἔξοδόν μου, καὶ δώσεις τῷ δούλῳ σου καρ-
δίαν ἀκούειν καὶ διακρίνειν τὸν λαόν σου ἐν δικαιοσύνῃ."
P. 181 καὶ εἶπε κύριος πρὸς αὐτόν „ἀνθ' ὧν ᾐτήσω παρ' ἐμοῦ τὸ
ῥῆμα τοῦτο, καὶ οὐχ ἡμέρας πολλὰς οὐδὲ πλοῦτον οὐδὲ ψυ-
χὰς ἐχθρῶν σου, ἀλλ' ᾐτήσω σεαυτῷ σύνεσιν τοῦ εἰσακού-
ειν ῥῆμα, ἰδοὺ πεποίηκα κατὰ τὸ ῥῆμά σου. ἰδοὺ δέδωκά σοι
καρδίαν φρονίμην καὶ σοφήν, ὅση οὐ γέγονεν ἔμπροσθέν σου,
καὶ μετὰ σὲ οὐ γενήσεται ὅμοιός σοι ἐν βασιλεῦσι. καὶ ἐὰν
πορευθῇς ἐν τῇ ὁδῷ μου ὡς Δαβὶδ ὁ πατήρ σου, πληθυνῶ
τὰς ἡμέρας σου." μετὰ ταῦτα οἰκοδομεῖ ναὸν τῷ θεῷ, καὶ
B αἰτεῖ εἶναι τοὺς ὀφθαλμοὺς αὐτοῦ ἀνεῳγμένους ἐπὶ τὸν θεῖ-
ον οἶκον καὶ εἰσακούειν αὐτῶν. καὶ ὤφθη κύριος τῷ Σολο-
μῶντι δεύτερον, καθὼς ὤφθη ἐν Γαβαώ, καὶ εἶπεν „ἤκουσα
τῆς φωνῆς τῆς προσευχῆς σου, καὶ ἡγίασα τὸν ναὸν τοῦτον·
καὶ ἔσονται οἱ ὀφθαλμοί μου ἐκεῖ καὶ ἡ καρδία μου πάσας
τὰς ἡμέρας. ἐὰν δὲ ἀποστραφῆτε ἀπ' ἐμοῦ, ἐξαρῶ τὸν
Ἰσραὴλ ἀπὸ τῆς γῆς ταύτης, καὶ τὸν οἶκον τοῦτον ὃν ἡγία-
σα τῷ ὀνόματι, ἀπορρίψω αὐτὸν ἐκ προσώπου μου." τοῦ
μέντοι Σολομῶντος προσευξαμένου πῦρ οὐρανόθεν κατηνέχθη
καὶ τὰς προσενεχθείσας θυσίας ἠνάλωσεν. ὅρα λοιπὸν ὅση
C πρότερον ἡ τοῦ Σολομῶντος εὐσέβεια, εἴγε καὶ πῦρ ἐπὶ ταῖς

mei Davidis locum suffecisti, famulum tuum. ego vero puer adhuc sum admodum, et per aetatem res necdum administrare possum. quamobrem famulo tuo da mentem docilem ad regendum populum tuum, utque ius ei dicere ex ipsa aequitate possim." tum deus „quando" ait „tu istud petiisti, non longam aetatem, non divitias, non hostium tuorum necem, sed prudentiam ad discernenda iura postulasti, scito me tibi quod in votis erat concessisse. en tantam mentis prudentiam atque sapientiam tibi largior, ut tibi par inter reges nemo neque ante te fuerit neque post te sit futurus. quodsi traditam a me vitae rationem patris tui Davidis exemplo secutus fueris, etiam tibi aetatem producam." secundum haec fanum exstruit, atque deum precatur ut apertis ac vigilantibus oculis divinam hanc aedem respiciat, et homines in ea supplicantes exaudiat. tum altera vice deus ei perinde se obtulit atque apud Gabaonem factum fuerat, et haec effatus est verba (2 Paral. 7 12) „ego tuas ad me preces et supplicationem exaudivi, et istam a te constructam aedem consecravi. tam oculos ibi quam mentem semper habebo. quodsi a me desciveritis, Israelicos ego de hac terra exstirpabo; et hoc templum, quod nomini meo consecravi, a conspectu meo repudiabo." eodem Solomone preces concipiente ignis de coelo lapsus est et hostias ob-

θυσίαις αὐτοῦ κατεφέρετο. καὶ τὸν μὲν ναὸν λίθοις ἀπελεκήτοις οἰκοδομεῖ (αὐτοφυεῖς γὰρ εὑρέθησαν θείᾳ προνοίᾳ, ὥστε μηδενὸς ἁρμονίαν δεηθῆναι σιδήρου, ὥς φησι Θεοδώρητος), τὸν δὲ τοῦ ἱεροῦ περίβολον τμητοῖς λίθοις ἐδομήσατο, κἀκεῖ καὶ λατόμων δέεται. τὸ μέντοι μῆκος τοῦ ναοῦ ἑξήκοντα πηχέων ἦν, καὶ εἴκοσι τὸ εὖρος. κύκλῳ τοῦ ναοῦ οἰκίσκοι ᾠκοδομήθηθησαν χάριν τῶν Λευιτῶν καὶ τῆς τῶν σκευῶν ἀποθέσεως· τὰ γὰρ ἅγια μόνοις τοῖς ἱερεῦσιν ἦσαν βατά. τὸ δὲ τοῦ ναοῦ ὕψος ρκ´ πήχεων ἦν. πάντα δὲ τὸν ναὸν χρυσὸς συνεκάλυπτε. ταῦτα δὲ πάντα τὰ τοῦ ναοῦ ἡ μὲν D χάρις τοῦ ἁγίου πνεύματος ὑπέδειξε τῷ Δαβίδ, αὐτὸς δὲ τῷ Σολομῶντι. οἰκοδομεῖ δὲ τὸν θεῖον οἶκον ἐκεῖνον μετὰ τλ´ ἔτη τῆς ἐξόδου. παρῆλθον δὲ τοσαῦτα ἔτη, ὅπως ἀποκαμόντες τῇ εἰς τὰ ὄρη περιπλανήσει τὸν ἕνα τόπον τὴν Ἱερουσαλὴμ ἀγαπήσωσι.

Ταῦτα δὲ τὰ κατά γε τὸν παλαιὸν ναόν, ὃς εἰς τρία διήρηται, εἴς τε τὴν τῶν λαϊκῶν δηλαδὴ στάσιν, τὴν τῶν ἱερέων καὶ τῶν Λευιτῶν, ὃς δὴ καὶ τόπος ἅγιος ἐλέγετο, καὶ εἰς αὐτὰ τὰ ἄδυτα, ἃ δὴ καὶ ἅγια τῶν ἁγίων ἐκαλεῖτο, ἐν οἷς οὐδεὶς εἰσήρχετο εἰ μὴ μόνος ὁ ἀρχιερεύς, κἀκεῖνος ἅπαξ P. 182

12. τλ´] 480 numerari Reg. 3. 6 monet Labbeus, nec deesse qui 580 malint. 16. τὰ om P.

latas absumpsit. de quo licet animadvertas quanta Solomonis initio pietas et religio fuerit, quando impetrare potuit ut in victimas ipsius ignis e coelo delaberetur. templum autem de lapidibus exstruxit ascia nulla politis: nam divina providentia factum est ut sic per se nati reperirentur, nullo ut ferro quemadmodum Theodoritus memoriae prodidit, ad eos inter se compingendos et concinnandos opus esset. at vero templi munimentum exterius e caesis lapidibus aedificavit, ibique lapicidarum necessaria erat opera. templi longitudo fuit sexaginta cubitorum, latitudo viginti. in eiusdem circuitu passim aediculae quaedam ad Levitarum usus adstructae sunt, et ut vasa sacra in eis reponerentur: nam hoc sacrarium solis a sacerdotibus adiri fas erat. altitudo fani cubitorum erat centum viginti. et quidem fanum hoc universum auro integebatur. omnia vero istaec in templo construenda spiritus sanctus per gratiam suam Davidi demonstravit, Davides rursum Solomoni filio; qui divinam hanc aedem anno ab Israelicorum ex Aegypto migratione 320 aedificavit. tot autem intercesserunt anni, ut tandem pertaesi obvagationum illarum quosvis in montes locum unicum, videlicet Hierosolyma, diligerent.

Caeterum quae in hoc veteri fano fuerunt, diviso tres in partes, nimirum in locum ubi laici consisterent, et ubi versarentur sacerdotes ac Levitae, qui locus peculiare sacrarii nomen habebat, in Adyta denique sacrarium sanctissimum nuncupata, quae adire nemini prae-

τοῦ ἐνιαυτοῦ, καὶ ταῦτα οὐ χωρὶς αἵματος, καὶ ἐν αὐτοῖς
τοῖς οὐρανοῖς εὑρήσεις. ἐν γὰρ τῷ πρὸς ἡμᾶς οὐρανῷ, τῷ
V. 141 ἀέρι δηλονότι, πάντα δὴ τὰ ἀγελαῖα ζῶα, ἐσώτερον δὲ τοῦ
φαινομένου στερεώματος, ὥς φησιν ὁ Σιναΐτης θεῖος Ἀνα-
στάσιος, τὰς οὐρανίας διαγούσας δυνάμεις, ἴσως δὲ καὶ αὐ-
τὰς τὰς τῶν ἁγίων ψυχάς. ἀνώτερον δὲ τοῦ δευτέρου καὶ
ἀοράτου οὐρανοῦ οὐδεὶς εἰσελήλυθεν εἰ μὴ μόνος ὁ ἀληθὴς
ἀρχιερεὺς Χριστός, ἀντίτυπα τῶν ἀληθινῶν. ὅτι δὲ τὰ τοῦ
B ἐπιγείου τοῦδε ναοῦ κατ' εἰκόνα τῶν ἐπουρανίων ἔκτισται,
καὶ αὐτὸς ὁ πάμμεγας Παῦλος ἐδήλωσεν οὕτως εἰπὼν „οὐδὲ
γὰρ εἰς χειροποίητα ἅγια εἰσῆλθεν ὁ Χριστός, ἀλλ' εἰς αὐ-
τὸν τὸν οὐρανόν, νῦν ἐμφανισθῆναι τῷ προσώπῳ τοῦ θεοῦ
ὑπὲρ ἡμῶν." ὅρα γὰρ νουνεχῶς ὅτι καὶ τὰ φαινόμενα τοῦ
ναοῦ τοῦδε κάλλη τῆς ἀφανοῦς ἐκείνης εὐπρεπείας εἰσὶν ἀπει-
κονίσματα, αἱ δ' οὖν αἰσθηταὶ εὐωδίαι τῆς νοητῆς διαδόσε-
ως ἐκτυπώματα. τὰ δὲ ὑλικὰ φῶτα τῆς ἀΰλου φωτοδοσίας
εἰκόνες τυγχάνουσι· καὶ γὰρ διὰ τῶνδε τῶν ὑλαίων πρὸς
τὴν ἄρρητον ἐκείνην θεωρίαν, καθὰ δήπου καὶ τῷ μεγάλῳ
C δοκεῖ Διονυσίῳ, χειραγωγούμεθα.

Ὅτι δὲ πάντας ὑπερβαίνων ἦν ἐπὶ πᾶσιν ὁ Σολομών, ἡ γραφὴ διδασκέτω σε λέγουσα „καὶ ἐμεγαλύνθη Σολομὼν ὑπὲρ

ter summum pontificem fas erat, ac ne illi quidem aliter quam semel in annos singulos, nec sine sanguine: haec igitur etiam licet in coelis deprehendere. nam in coelo nobis proximo, nimirum in aëre, sunt animalia quaevis promiscue; in altero, quod intra firmamentum adspectabile continetur, ut Anastasius ille Sinaites ait, coelestes illae potestates degunt ac fortassis etiam sanctorum hominum animae; ultra vero illud alterum et inadspectabile coelum nemo pervenit unquam praeter verum illum Christum. et quidem fanum illud terrestre conditum fuisse ad imaginem rerum coelestium etiam maximus ille Paulus noster hisce verbis significavit (Hebr. 9 24) „non in manufactum sacrarium Christus ingressus est, quod veri sacrarii foret exemplar, sed in ipsum coelum, ut nunc deo coram pro nobis appareat." atque heic si diligenter animum advertas, videbis ornamenta fani sub oculos cadentia quasi quasdam expressas imagines esse pulcritudinis illius inadspectabilis. sensiles quidem suffituum fragrantiae repraesentant nobis halitum et suffitum illum intellectilem. facta de terrestri materie lumina sunt imagines lucis illius coelestis et materiei prorsus expertis. nimirum per hasce res materie constantes ac terrenas ad contemplationem illam ineffabilem, quemadmodum et magno illi Dionysio videtur, quasi manu ducimur.

Ut autem ad Solomonem revertamur, superasse illum omnes omnibus rebus sacris ex litteris cognoscas licet. tantum, inquiunt

πάντας τοὺς βασιλεῖς Αἰγύπτου πλούτῳ καὶ φρονήσει, καὶ
πάντες οἱ βασιλεῖς τῆς γῆς ἐζήτουν τὸ πρόσωπον Σολομῶντος
τοῦ ἀκοῦσαι τῆς φρονήσεως αὐτοῦ. ἐπληθύνθη γὰρ ἡ σοφία
αὐτοῦ ὑπὲρ πάντα φρόνιμον Αἰγύπτου." τὰς τοῦ Σολομῶν-
τος βίβλους, ἀφ' ὧν καὶ οἱ τῶν ἰατρῶν παῖδες τὰς ἀφορμὰς
ἔλαβον. μετὰ γὰρ τὸ λαβεῖν ἐκ θεοῦ τὴν σοφίαν τρισχιλίας
μὲν παραβολὰς καὶ πεντακισχιλίας ᾠδὰς ἐλάλησε περὶ πάν- D
των τῶν τε ἐκ γῆς φυομένων καὶ πάντων τῶν ζώων. ἐπὶ
γὰρ τούτῳ καὶ ὁ συγγραφεύς φησιν ὅτι ἐλάλησεν περὶ τῶν
ξύλων ἀπὸ τῆς κέδρου τῆς ἐν τῷ Λιβάνῳ καὶ ἕως τῆς ὑσσώ-
που τῆς ἐκπορευομένης ἐκ τοῦ τοίχου. παρὰ δὲ Ἐζεκίου κε-
καῦθαί φησιν ὁ πολυμαθὴς καὶ πολυΐστωρ Εὐσέβιος. ὅσα
καὶ γὰρ ἐν γῇ καὶ θαλάσσῃ, ἐν ἀέρι, ἀφορμαὶ τῆς ἐκείνου
φιλοσοφίας ἐγένοντο. οὕτω μὲν οὖν ὁ Ἐζεκίας καὶ ἐπὶ τοῦ
Δαβὶδ ἐποίησε ψαλμοῖς. τούτων καὶ γὰρ ἐν ταῖς αἰχμαλωσίαις
ἀπολωλότων, Ἔσδρας τις ἀνὴρ εἰς ἄκρον τῆς Ἑβραΐδος δια-
λέκτου ἐληλακὼς τ' ὅλους ἀπηριθμήσατο ἢ καὶ πλείους συλλέξας.
ἀλλ' ὁ Ἐζεκίας τοὺς πλείους τῶν ψαλμῶν ἀθετήσας ὡς μὴ P. 183
τοῦ Δαβὶδ εἶναι ὡμολογημένους, τοὺς ρν' καὶ μόνους ἀπέ-
κρινεν, ὡς ὁ σοφώτατος Ψελλὸς ἱστορεῖ. ἐφυσιολόγησε δὲ
Σολομὼν καὶ περὶ λίθων, οὐχ ὅπως ἐχρώσθησαν μόνον ἢ

9. τοῦτο P.

(3 Reg. 4 34), divitiis et sapientia cunctos Aegypti reges excelluit Solomo, ut omnes orbis terrarum reges conspectum eius requirerent audiendae sapientiae causa, qua longe amplissima praeditus quosvis sapientes Aegyptios post se relinquebat. idem Solomo cum divinitus sapientiam tantam nactus fuisset, sententiarum tria milia protulit, et odarum quinque milia de omnibus e terra nascentibus et cunctis animalibus composuit. hoc enim indicare volens auctor historiae verbis huiusmodi usus est „disseruit de arboribus, a cedro Libani usque ad hysopum, in parietinis qui nascitur." ex his libris Solomonicis medicorum natio multa commentandi occasiones sumpsit: nam quaecunque in terra, in mari, in aëre existunt, Solomoni ad philosophandum materiem suppeditarunt. nonnulla tamen Solomonis praeseferentia fuisse ab Ezecia concremata, doctissimus ille plurimarumque rerum cognitione praeditus Eusebius memoriae prodidit. idem hic Ezecias in Davidicis etiam psalmis praestitit: nam cum in captivitatibus illi amissi forent, Esdras quidam, vir ad summum Hebraicae linguae peritus, trecentos, immo plures collectos recensuit: verum Ezecias compluribus ex hisce psalmis plane reiectis, ut qui citra controversiam Davidis appellari nequirent, solos 150 reliquos suffragio suo approbavit, quemadmodum Psellus ille doctissimus scripsit. praeterea Solomo de gemmis quoque disseruit earumque natura, non tantum quo illae pacto

συνεπάγησαν, ἀλλὰ καὶ ὅπου ἑκάστη συντελεῖ. τὴν μὲν σω-
φροσύνης ἔφησε φυλακτήριον, τὴν δὲ πρὸς τὰ θειώδη ἀντέ-
χειν πυρσά, ἑτέραν δὲ φυγαδεύειν πνεύματα πονηρά. ἀλλὰ
καὶ περὶ δαιμόνων ἐτέθη βιβλίον αὐτοῦ, ὅπως τε κατάγονται
B καὶ ἐν οἵοις εἴδεσι φαίνονται. φύσεις δὲ τούτων καὶ ἰδιότη-
τας ἔγραψε, πῶς τε δεσμοῦνται καὶ πῶς ἐμφιλοχωροῦντες
ἀπολύονται. ὅθεν ἔργα τούτοις ἀχθοφόρα ἐπέταττεν, ὑλοτο-
μεῖν τε, ὡς λόγος, ἠνάγκαζε, καὶ κατωμαδὸν τὰ ἄχθη φέ-
V. 142 ρειν παρεβιάζετο. ᾠδηκότα τε σπλάγχνα ἢ ἐπῳδαῖς ἢ βοτά-
ναις περιτιθεὶς ἐθεράπευεν. ἀλλ' ὅ γε θεῖος Ἐζεκίας θεῷ
ἑαυτὸν ἀνατιθείς, καὶ πάντα τῆς ἐκεῖθεν προνοίας ἐξαρτή-
σας, τῶν ὑπὲρ φύσιν τῷ Σολομῶντι φιλοσοφηθέντων ὠλιγώ-
ρησεν. ὧν δὲ ἱστόρησεν ὁ Ψελλός, καὶ ὁ Ἰώσηπος μάρτυς
ἐστὶ λέγων „καὶ ἐπῳδὰς κατὰ δαιμόνων καὶ ἐξορκισμοὺς ἐπε-
C νόησεν, αἷς" φησὶν „οἶδα χρώμενον Ἐλεάζαρ τὸν Ἰουδαῖον,
δακτύλιον ἐντιθέντα τῇ ῥινὶ τοῦ πάσχοντος, καθὰ Σολομὼν
ὑπέδειξε· καὶ ὀσφραινόμενον τὸ δαιμόνιον εὐθέως ἐκεῖθεν
ἠλαύνετο. δῆλον δὲ τοῦτο γίνεσθαι διά τινος ὑποτεθέντος
ἀγγείου μεστοῦ ὕδατος· συνεταράσσετο γὰρ τὸ τοιοῦτον ὕδωρ
ἐκείνου ἐξερχομένου." ταῦτα δὲ πάντα τὰ περὶ Σολομῶντος
ἱστορούμενα καὶ αὐτὸς ἐκεῖνος ἐπιβεβαιοῖ ἐν τῇ βίβλῳ αὐτοῦ

9. ᾠδικώτατά P.

colores hos vel illos accipiant vel gignantur et coalescant, verum etiam quis uniuscuiusque sit usus: aliam enim pudicitiae custodem esse pronuntiavit, aliam sulfureis inflammationibus resistere, aliam malos genios abigere. quinetiam librum de geniis composuit, quo nimirum pacto e sublimi deducantur et qualibus formis appareant. eorundem naturas atque proprietates complexus est, tum quo pacto vinculis adstringantur et certis locis adsueti abigantur. hinc factum ut operas quasdam gestandorum onerum eis imponeret: nam et materiem, ceu perhibent, eos caedere cogebat, et humeris onera portare. idem hominum viscera exulcerata vel carminibus vel herbis adhibitis sanabat. verum divinus homo Ezecias, qui se totum deo consecrasset ac mancipasset eiusque ad providentiam cuncta referret, parvi ea fecit quae supra naturam Solomo philosophatus esset. haec autem a Psello tradita veritati consentanea esse Iosephus quoque verbis hisce testatur: etiam carmina quaedam adversus genios et eorundem adiurationes excogitavit; quibus, inquit, memini Iudaeum quendam Eleazarum utentem, annulum naribus hominis agitati malo a genio sic admovisse, quemadmodum indicavit Solomo; quem cum genius olfecisset, continuo ex eo migravit. et migrationem hanc fieri de vase quodam, aqua repleto, perspicue animadverti poterat: nam aqua genio exeunte turbabatur. atque haec omnia de Solomone com-

τῇ λεγομένῃ Σοφίᾳ Σολομῶντος, καὶ τάδε κατὰ ῥῆμα διεξιὼν „ὁ θεός ἔδωκέ μοι τῶν ὄντων γνῶσιν ἀψευδῆ, εἰδέναι τε σύστασιν κόσμου, θέσεις ἀστέρων καὶ φύσεις ζώων, διαφο- D ρὰς φυτῶν καὶ δυνάμεις ῥιζῶν, καὶ γνῶσιν τὴν ἐν κρυπτῷ." οὐκοῦν ἀξιόπιστα πάντα τὰ περὶ Σολομῶντος λεγόμενα.

Σοβὰ ἔθνος Αἰθιοπικόν. τούτων ἐβασίλευσεν ἡ θαυμαστὴ ἐκείνη Σίβυλλα. μήτε γὰρ νόμον εἰδυῖα μήτε προφητῶν ἀκούσασα διὰ τοῦ Σολομῶντος τὸν τῆς σοφίας ὕμνησε χορηγόν· „γένοιτο" γὰρ ἔφη „κύριος ὁ θεός σου εὐλογημένος, ὃς ἠθέλησεν ἐν σοὶ δοῦναί σε ἐπὶ θρόνου Ἰσραήλ." ἐν οἷς δὲ τὸν Σολομῶντα ἐπείραζεν αὕτη, καὶ τοῦτο ἐπενόησεν. εὐόπτους παῖδας ἄρρενάς τε καὶ θηλείας ὁμοτρόπῳ στολῇ καὶ P. 184 κουρᾷ τῇ αὐτῇ καλλωπίσασα παρέστησεν αὐτῷ, ζητοῦσα ἑκατέρου γένους αὐτὴν διάκρισιν ποιήσασθαι. ὁ δὲ νίψασθαι τούτους προστάξας τὸ πρόσωπον, ἑκατέρων τὴν φύσιν διέγνωκε, τῶν μὲν ἀρρένων ἀνδρικῶς τὰς ὄψεις καταψώντων, τῶν δὲ θηλειῶν ἁπαλῶς. ἡ δὲ ἐκπλαγεῖσα εἶπεν ὅτι πλείονα ἑώρακα ὑπὲρ ὃ ἤκουσα. καὶ δοῦσα αὐτῷ χρυσίου τάλαντα ρκʹ καὶ ἡδύσματα καὶ λίθους τιμίους καὶ δὴ καὶ τὴν τοῦ ὀποβαλσάμου ῥίζαν, ἀφ' οὗ ἡ Παλαιστίνη τοῦτο γεώργιον ἔσχεν, ὥς φησιν Ἰώσηπος, ὑπέστρεψε. τὸ δὲ τάλαντον ἔχει λίτρας

memorata confirmat ipse in eo libro qui Sapientia Solomonis appellatur (7 20), his ipsis verbis „deus mihi dedit rerum cognitionem verissimam ut mundi compagem perspectam habeam, siderumque situs et naturas animantium et stirpium differentias et radicum vires et abditorum cognitionem." quibus sane verbis ostenditur omnia de Solomone prodita fidem mereri.

Caeterum Sabaei natio sunt Aethiopica. eorum regina fuit admiranda illa Sibylla, quippe quae cum legem ignoraret nec vates audisset, per Solomonem sapientiae subministratorem deum praedicavit. celebretur, ait (3 Reg. 10 9), dominus deus ille tuus, qui tibi sic faverit ut te Israelicorum solio imponeret. haec inter alia quibus Solomonem tentavit, etiam huiusmodi quiddam excogitavit. formosos aliquot pueros, tam mares quam femellas, uniusmodi vestitu et eadem tonsura cum exornasset, Solomoni eos exhibuit, utriusque sexus discrimen in his ut indicaret postulans. tum ille iussis pueris facies suas abluere, naturam in utrisque suam deprehendit, cum mares quidem viriliter vultus suos fricarent, feminae vero molliter ac delicate. illa vero obstupescens inquit „maiora vidi quam auditu acceperim." simul ei largita centum viginti auri talenta, cum aromatibus gemmis et opobalsami radice, unde Palaestina deinceps hoc germen, Iosepho teste, habuit, ad suos est reversa. talentum vero libras 125

B ρκ' καὶ ε', ὡς ἐντεῦθεν λαβεῖν αὐτὸν ἐξ ἐκείνης χρυσίου ρ̄ ρ̄ ρ'.

Οὐ μόνον δὲ ταῦτα, ἀλλὰ καὶ ἕως ηὐσέβει, πάντας τοὺς ἀπ' Εὐφράτου μέχρι Νείλου δασμοφοροῦντας εἶχεν. ἔκτοτε δὲ τοῖς δυσμενέσιν εὐεπεχείρητος γέγονε. καὶ κατ' ἀρχὰς μὲν ὁ Σολομὼν ἐθαυμάζετο, τὰς παροιμίας γράφων καὶ τὸν ναὸν ἀνιστῶν, ὥς φησιν ὁ μέγας Κύριλλος, ἡνίκα καὶ Ὅμηρος τὰς τῶν Τρώων ἐτραγῴδει συμφοράς, μετὰ ρξ' ἔτη τῆς Ἰλίου ἁλώσεως. ὕστερον δὲ ἀσεβείᾳ περιέπεσε. δῆλον δὲ τοῦτο καὶ ἐξ ὧν ἡ θεία γραφὴ διέξεισι περὶ αὐτοῦ λέγουσα „καὶ
C ἐξέκλιναν αἱ ἀλλότριαι τὴν καρδίαν Σολομῶντος ὀπίσω θεῶν ἑτέρων." οὐχ ἧττον δὲ καὶ ἐξ ὧν ὁ προφήτης Ἀχίας ἔφη πρὸς τὸν ἐκείνου δοῦλον Ἱεροβοάμ, μανθάνομεν ὅτι τοῖς εἰδώλοις λελάτρευκεν ὁ Σολομών. ἔφη δὲ οὕτως „τάδε λέγει κύριος. ἰδοὺ ἐγὼ ῥήσσω τὴν βασιλείαν ἐκ χειρὸς Σολομῶντος, καὶ δώσω σοι τὰ δέκα σκῆπτρα, καὶ δύο σκῆπτρα δώσω αὐτῷ διὰ Δαβὶδ τὸν δοῦλόν μου καὶ διὰ Ἱερουσαλὴμ
V. 143 τὴν πόλιν μου, ἀφ' ὧν ἐγκατέλιπέ με καὶ ἐδούλευσε τῇ Ἀστάρτῃ βδελύγματι Σιδωνίων, καὶ τῷ Χαμὼς εἰδώλῳ Μωάβ, καὶ
D τῷ Μελχὼ προσοχθίσματι υἱῶν Ἀμμών." καὶ Ἀστάρτην μὲν αὐτὸν εἶναι τὸν Ἑωσφόρον μυθολογοῦσι, τὴν καὶ Ἀφρο-

continet. de quo colligi potest eum a regina centenarios auri nostros centum accepisse.

Neque vero tantum Solomo praestabat his rebus, verumetiam quamdiu religiosus in deum erat, omnes ab Euphrate ad Nilum usque nationes tributarias habebat. sed ab eo tempore suis inimicis male vivendo talem se praebuit ut eis resistere non posset. nimirum ab initio admirationi mortalibus erat, cum Proverbia litteris mandabat et exstruebat fanum, sicut eximius ille Cyrillus ait, eodem scilicet tempore quo Homerus Troianorum calamitates suis exponebat tragice versibus, annis ab urbe Troiana capta 160. verum deinceps ita se gessit ut in summam impietatem prolaberetur. licet id colligas ex huiusmodi verbis, quae sacris in litteris exstant „deflexa mens Solomonis est per exteras uxores ad alienos deos." quinetiam illustrius intelligi potest ex Achiae vatis ad famulum Solomonis Ieroboamum oratione Solomonem deastris religioso cultu honorem exhibuisse. sunt enim haec ipsius verba „significat haec tibi dominus. ego Solomoni regnum de manu extorquebo, et tibi decem scipiones dabo. unum illi scipionem relinquam propter Davidem famulum meum et propter Hierosolymam urbem meam, quandoquidem ille relicto me Astarten Sidoniorum piaculum et Chamosum Moabitarum deastrum et Melchomum Ammonitarum offendiculum coluit." Astarten sunt qui

δίτην. βδέλυγμα καὶ προσόχθισμα τὰ εἴδωλα καλεῖ ἡ γραφή. καὶ πρὸς αὐτὸν δὲ τὸν Σολομῶντα οὕτω φαίνεται λέγων ὁ θεός „ἀνθ' ὧν ἐγένετο ταῦτα μετὰ σοῦ, καὶ οὐκ ἐφύλαξας τὴν ἐντολήν μου καὶ τὰ προστάγματά μου, ἃ ἐνετειλάμην σοι, διαρρήσσων διαρρήξω τὴν βασιλείαν σου ἐκ χειρός σου, καὶ δώσω ταύτην τῷ δούλῳ σου." ἐπειδὴ γάρ, φησί, τὴν πρέπουσαν ἐμοὶ τῷ κτίστῃ τιμὴν καὶ δόξαν τῇ δούλῃ κτίσει ἀπένειμας, δώσω κἀγὼ τὴν δόξαν σου τῷ δούλῳ σου. ὅθεν καὶ ἐπαρθεὶς ὁ Ἱεροβοὰμ ἤρξατο ἀπὸ Σολομῶντος τὸν λαὸν P. 185
ἀφιστᾶν. τοῦτο μαθὼν ὁ Σολομὼν ἐζήτει τὸν Ἱεροβοὰμ συλλαβεῖν· ἐφ' ᾧ καὶ φεύγει πρὸς Αἴγυπτον, τὴν τελευτὴν Σολομῶντος καρτερῶν. καὶ κατὰ μὲν τὴν θείαν γραφὴν ἐβασίλευσε Σολομὼν ἔτη μ', κατὰ δὲ τὸν Ἰώσηπον ἔτη ὀγδοήκοντα. ἐτελεύτησε δέ, ὡς ἐκεῖνος ἔφησεν, ἐτῶν ἐνενήκοντα καὶ τεσσάρων.

Πλὴν ἡ γραφὴ καὶ τάδε περὶ αὐτοῦ διέξεισι. καὶ ὁ βασιλεὺς Σολομὼν ἦν φιλογύναιος, καὶ ἔλαβε γυναῖκας ἀλλοτρίας πολλάς, καὶ τὴν θυγατέρα Φαραώ, Μωαβίτιδας, Ἀμμα- B
νίτιδας, Σύρας καὶ Ἰδουμαίας, Χετταίας καὶ Ἀμορραίας· καὶ ἦσαν αὐτῷ γυναῖκες ἄρχουσαι ψ' καὶ παλλακαὶ τ'. τότε ᾠκοδόμησεν ὑψηλὰ τοῖς εἰδώλοις πασῶν τῶν γυναικῶν αὐτοῦ. ὡς ἐντεῦθεν καὶ τὸν παραβάτην Ἰουλιανὸν ὁρμηθῆναι

Luciferum esse tradunt, eandem scilicet deam cum Venere. piaculum et offendiculum appellant litterae sacrae deastros ac simulacra. quinetiam deus ipse Solomonem verbis hisce compellat (3 Reg. 11 11) „quoniam tu commisisti ut praecepto meo non obtemperares et mandata mea tibi praescripta non servares, eripiam ego tibi de manu tua regnum tuum, idque servo tuo dabo." nimirum hoc dicere vult: quia debitum mihi creatori honorem gloriamque creaturae servae detulisti, ego quoque gloriam maiestatemque tuam ad servum tuum transferam. quibus sane verbis elatus Ieroboamus populum a Solomone coepit abducere; quo ille cognito, quo pacto Ieroboamum comprehenderet, cogitabat. verum is fuga in Aegyptum evasit, ibique Solomonis exitum exspectavit; qui de sacrarum quidem litterarum auctoritate regnavit annos 40, sed iuxta Iosephum 80. idem tradit Solomonem mortuum esse cum natus esset annos 94.

Narrant etiam litterae sacrae Solomonem mulierum amori fuisse deditum et uxores exteras complures duxisse, nimirum filiam Pharaonis, Moabitides aliquot et Ammanitides et Syras et Idumaeas et Chettaeas et Amorraeas, ita ut principes uxores 700, concubinas 300 habuerit. ex eo tempore sublimibus in locis delubra simulacrorum cunctis uxoribus suis exstruxit. unde sumpsit occasionem desertor ille fi-

καὶ εἰπεῖν ὅτι τὸν Σολομῶντα σοφὸν μὴ λέγετε, καθάπερ ὁ μέγας διέξεισι Κύριλλος· εἰ δὲ πεπιστεύκατε εἶναι σοφόν, μήτοι παρὰ γυναικὸς ἐξηπατῆσθαι νομίζετε, κρίσει δὲ οἰκείᾳ καὶ παρὰ τοῦ φανέντος αὐτῷ θεοῦ πειθόμενον λελατρευκέναι τοῖς ἄλλοις θεοῖς. πρὸς οὖν ταῦτα ὁ θεῖος οὗτος ἀνὴρ ἀνταποκρινόμενος καὶ τάδε προστίθησιν „ἀπὸ μὲν ὧν ἔγραφε, C σοφὸς ἂν λέγοιτο παρ' ἡμῶν δὴ καὶ νοοῖτο κατὰ ἀλήθειαν ὁ Σολομών· ὅτι δὲ πεπλημμέληκεν ὁμολογουμένως τοῖς ψευδωνύμοις λατρεύσας θεοῖς, ἀρνήσαιτ' ἂν οὐδείς. ὅθεν οὔτε προφήταις ἁγίοις οὔτε μὴν ἀποστόλοις ποιοῦμεν αὐτὸν ἐναρίθμιον, εἴγε καὶ μᾶλλον κατὰ μὲν τὴν νεότητα τὰ πρὸς δόξαν θεοῦ πληροῦν ἠπείγετο, κατὰ δὲ τὸν τοῦ γήρους καιρὸν πάγην αὐτῷ τὴν ἀπὸ γυναικὸς ὁ Σατανᾶς κατεσκεύασε." τούτοις μὲν οὖν καὶ Ἰώσηπος συμφωνεῖ διεξιὼν οὑτωσί „ἀλλ' οὐ τοιοῦτος ὁ Σολομὼν ἐν τῷ καιρῷ τοῦ γήρους, ὁποῖος ἄρα καὶ ἐν τῇ νεότητι αὐτοῦ ἦν. προβαινούσης γὰρ τῆς ἥβης, καὶ τοῦ λογισμοῦ διὰ τὸν χρόνον ἀσθενοῦντος ἀντέχειν πρὸς D τὴν μνήμην τῶν θείων ἐντολῶν, τοῦ ἰδίου τε θεοῦ κατωλιγώρησε καὶ εἰς γυναῖκας ἀλλοφύλους ἐξώκειλε, τοῖς θεοῖς αὐτῶν πρότερον καταθύσας. καὶ πρὸ τούτων δὲ εἰς τὴν φυλακὴν τῶν νομίμων ἐξήμαρτεν, ὅτε τὰ τῶν χαλκῶν βοῶν ὁμοιώματα κατεσκεύασεν καὶ τῶν λεόντων τῶν περὶ τὸν θρό-

dei Iulianus, ut diceret Christianos Solomonem minime debere sapientem appellare. nam hoc eius verbum Cyrillus memoriae prodidit. quodsi omnino, inquit, sapientem fuisse persuasi estis, nolite putare deceptum a muliere fuisse, sed potius existimate certo iudicio et auctoritate illius dei fretum, qui ei semet videndum obtulerat, diis peregrinis serviisse. quibus verbis Cyrillus respondens, huiusmodi quaedam subiicit: „nos Solomonem propter ea quae scripsit, et dicere sapientem et reipsa statuere possumus. eundem colendis deastris haud dubie deliquisse, nemo certe negarit. qua de causa nec inter sacros eum vates nec inter apostolos numeramus. vel potius ita statuimus, in iuventute studiosissimum fuisse ut quae ad dei gloriam pertinerent efficeret, in senecta vero Satanam ei per mulieres insidias struxisse." quibus sane postremis Cyrilli verbis etiam hoc Iosephi testimonium consentit. nequaquam, ait, talis in senecta Solomo fuit, qualem in iuventute se gesserat. nam aetate iam provectiore, cum eius ratio paulatim debilitaretur in retinenda divinorum mandatorum memoria; deum suum non magnifecit, et exteras ad mulieres non solum deflexit, verumetiam diis earum sacra fecit. quinetiam antea deliquit in legis edicta, cum aheneorum boum simulacra leonumque circa solium suum fingeret, quantumvis ei bis deus in somno apparuisset. quam ob causam deus Aderem Idumaeum adversus eum concitavit. Solomonis autem solium

νον τὸν ἴδιον, καὶ ταῦτα δὶς αὐτοῦ τοῦ θεοῦ καθ' ὕπνους
φανέντος. ὅθεν καὶ Ἄδερ τὸν Ἰδουμαῖον ἐγείρει κατ' αὐτοῦ
ὁ θεός." ὁ μέντοι θρόνος τοῦ Σολομῶντος ἐλεφάντινος ἦν,
ἀναβαθμίδας ἔχων ἕξ. καὶ ἐν μιᾷ ἑκάστῃ αὐτῶν λέοντες εἱ-
στήκεισαν ἑκατέρωθεν, πρὸς τούτοις δὲ καὶ ὁμοίωμα μόσχου
ἦν παρ' αὐτῷ. εἰ δὲ ταῦτα οὕτως ἔχει, καθὼς ἄνωθεν εἴ-
ρηται, προσέχειν ἄξιον, ἀγαπητέ, καὶ μὴ συναρπάζεσθαι P. 186
τοῖς λέγουσιν ὅτι μετανοίᾳ περὶ τὸ γῆρας ὁ Σολομὼν ἐχρή- V. 144
σατο. εἰ γὰρ τοῦτο ἦν, προφήταις ἂν ἁγίοις ἐναρίθμιος ἦν,
καὶ οὐκ ἂν αὐτὸν ὁ θειότατος Κύριλλος τῆς τῶν προφητῶν
ἐποίει μερίδος ἀλλότριον.

Μετὰ δὲ ταῦτα κρατεῖ ὁ τοῦ Σολομῶντος υἱὸς Ῥοβοάμ,
ἐφ' οὗ καὶ διασχίζεται ὁ λαὸς ἅτε μὴ θελήσαντος ἀναπαῦσαι
αὐτοὺς βεβαρημένους ἤδη ὄντας τῷ τοῦ Σολομῶντος ζυγῷ,
καὶ δύο μὲν φυλαί, ἥ τε τοῦ Ἰούδα καὶ ἡ τοῦ Βενιαμίν,
αὐτῷ ἐναπέμειναν, αἱ δὲ λοιπαὶ δέκα ὑπετάγησαν τῷ Ἱερο- B
βοὰμ ἐν Σαμαρείᾳ διάγοντι. διὰ γὰρ τὸν φόβον τοῦ Σολο-
μῶντος ἐν Αἰγύπτῳ διέτριβεν, ἐκείνου δὲ παρελθόντος εἰς
Σαμάρειαν ἔρχεται. καὶ ὁ μὲν ὑπ' αὐτὸν λαὸς καὶ Ἰσραὴλ
ἐλέγετο· ἀπὸ γὰρ τοῦ Ἐφραῒμ υἱοῦ Ἰωσὴφ ὁ Ἱεροβοὰμ κα-
τήγετο. τοῦτον δὲ τὸν λαὸν ᾐχμαλώτευσεν ὁ πρὸ τοῦ Σεν-
ναχηρεὶμ κρατῶν τῶν Ἀσσυρίων Σαλμανασάρ, ἐν οἷς ἦν καὶ
ὁ δίκαιος Τωβήτ. ἀφ' ὧν πολλοὺς ἔργον φόνου πεποίηκεν ὁ

istud eboreum erat, et gradus sex habebat, in quorum graduum quolibet utrinque leones stabant, et praeter hos vituli quoque simulacrum habebat. quae hactenus indicata si vera sunt, caveto, dilecte fili, ne cui fidem habeas qui Solomonem in senectute poenitentia ductum fuisse dixerit. nam si hoc accidisset, omnino inter sacros vates referretur, nec vir ille divinus Cyrillus eum de vatum numero excluderet.

Post Solomonem Roboamus eius filius imperio potitus est, quo regnante populus duas in partes se disiunxit, quod Roboamus eos nimium a Solomone gravatos servitutis iugo tractare mitius nollet. tum duae tantum tribus, nimirum Iudaica et Beniaminea, reliquae ipsi manserunt, caeteris decem tribubus Hieroboami Samariae degentis imperio se subiicientibus. is metu Solomonis in Aegypto prius vixerat, verum eo rebus humanis exempto se Samariam contulerat. subiectus illius regno populus Israelici et Ephraemi appellationem habebat propterea quod ab Ephraemo Iosephi F. generis originem Ieroboamus traheret. eum populum Salamanassar rex Assyriorum, qui proxime Senacheribum antecessit, in captivitatem abduxit; quorum in numero fuit iustus ille Tobaeus. magna vero pars illorum a Senacheribo est

Σινναχηρείμ, ὅτε μετ' αἰσχύνης ἐξ Ἱερουσαλὴμ ὑποστρέφει, εἰ καὶ τὸ τέλος οὐκ εἰς καλὸν ἀπέβη αὐτῷ· εἰς γὰρ τὸν θεὸν βλασφημήσας ὑπὸ τῶν ἰδίων τέκνων ἀνῄρητο τὴν ζωήν.

C Ὁ Ἱεροβοάμ, ἵνα μὴ ἀποσχίζηται ὁ λαὸς θέλων εἰς Ἱεροσόλυμα ἔρχεσθαι διὰ τὸν ναόν, τῆς ἀσεβείας κατάρχεται πρῶτος καὶ τὰς χρυσᾶς δαμάλεις ἵστησι. τηνικαῦτα καὶ ὁ προφήτης Ἰωήλ, ὁ καὶ ἄνθρωπος τοῦ θεοῦ, ἐξ Ἰούδα παρεγένετο εἰς Βαιθὴλ ἐν λόγῳ κυρίου, καὶ εἶπε „θυσιαστήριον, θυσιαστήριον, ἰδοὺ τίκτεται τῷ οἴκῳ Δαβίδ, Ἰωσίας ὄνομα αὐτῷ, καὶ θύσει ἐπὶ σὲ τοὺς ἱερεῖς τῶν ὑψηλῶν, καὶ ὀστᾶ ἀνθρώπων ἐπὶ σὲ κατακαύσει." τότε δὴ τότε καὶ τὴν χεῖρα τοῦ Ἱεροβοὰμ ξηρανθεῖσαν διὰ τὸ κινηθῆναι κατὰ τοῦ προφήτου αὐτὸς ὁ προφήτης ἰάσατο. προφήτης δέ τις ὢν ἐκεῖσε ἐβιάσατο τὸν ἄνθρωπον τοῦ θεοῦ φαγεῖν ἄρτον μετ' αὐτοῦ, καὶ D ταῦτα τοῦ θεοῦ πρὸς αὐτὸν εἰπόντος ἀπελθεῖν μὲν εἰς Βαιθήλ, καὶ μήτε ἄρτον φαγόντα μήτε ὕδωρ πιόντα ὑποστρέψαι. ἐφ' ᾧ καὶ καθημένων ἐπὶ τραπέζης λόγος κυρίου ἐγένετο πρὸς τὸν προφήτην ἐκεῖνον, ἵνα εἴπῃ πρὸς τὸν ἄνθρωπον τοῦ θεοῦ „ἀνθ' ὧν ἐπέστρεψας καὶ ἔφαγες ἄρτον καὶ ἔπιες ὕδωρ ἐν τῷ τόπῳ τούτῳ, οὐ μὴ εἰσέλθῃ τὸ σῶμά σου εἰς τὸν τάφον τῶν πατέρων σου." ἐφ' ᾧ καὶ ὑποστρέφων ὑπὸ λέοντος κατὰ τὴν ὁδὸν θανατοῦται. καὶ ὁ μὲν θὴρ

interfecta, cum ille singulari cum ignominia Hierosolymis reverteretur, tandem et ipse tristi fine vitam claudens. quia enim contumeliosis in deum verbis usus fuerat, a propriis filiis vita spoliatus est.

Ieroboamus autem, ne regnum amitteret populo Hierosolymam proficiscente fani gratia, primus impietatis cuiusdam auctor exstitit, iuvencasque aureas duobus in locis constituit. quo facto Ioelus vates et homo divinus e Iudaea Bethelem se confert, deque mandato dei verbis huiusmodi utitur (3 Reg. 13 2) „o ara, ara. en Davidis e familia quidam nascetur, cui nomen erit Iosias. is super te sacerdotes excelsorum mactabit et ossa humana in te comburet." quae verba cum pronuntiasset, etiam manum Ieroboami, quae propterea prorsus emarcuerat, quia sustulisset illam adversus vatem, vates ipse sanavit. tum vates quidam alius, qui iis in locis degeret, hominem illum divinum urget ut secum vesceretur, quanquam Ioelo mandasset deus ut Bethelem proficisceretur, non tamen ibi vel cibo vel potu sumpto reverteretur. itaque cum mensae adsiderent, deus alteri vati praecepit ut divinum hominem Ioelum verbis huiusmodi compellaret „quandoquidem in oppidum te contulisti, et cibo potuque te recreasti hoc in loco, corpus tuum sepulcro maiorum tuorum non inferetur." itaque deinceps factum est ut ad suos revertens in itinere a leone perime-

ἀπέπνιξε μόνον αὐτόν, ἐπὶ πλέον δὲ χωρῆσαι οὐκ ἐτόλμησε· τὸ γὰρ σῶμα τοῦ προφήτου δίκας εἰσπραχθὲν διὰ τὴν παρακοήν, αὐτὴν δηλαδὴ τὴν πνιγμονήν, ἐδικαιώθη ἔκτοτε, καὶ P. 187 οὐκέτι βορὰ τῷ λέοντι προὔκειτο. καὶ τὸν μὲν προφήτην ἐκεῖνον ψευδοπροφήτην εἶναι λέγει καὶ πονηρὸν καὶ ἀπατεῶνα τοῦ Ἱεροβοὰμ ὁ Ἰώσηπος. ὁ δὲ Θεοδώρητος ἀληθῆ προφήτην τὸν τοιοῦτον εἶναι λέγει, παράγων καὶ τὴν γραφὴν οὕτω λέγουσαν „διεσώθη τὰ ὀστᾶ τοῦ προφήτου τοῦ πρεσβύτου τοῦ κατοικοῦντος ἐν Βαιθήλ, μετὰ τῶν ὀστῶν τοῦ ἀνθρώπου τοῦ θεοῦ τοῦ ἥκοντος ἐξ Ἰούδα καὶ λελαληκότος πάντα τὰ ἔργα ἃ ἐποίησεν Ἰωσίας." ὡσαύτως καὶ τὸν ἄνθρωπον τοῦ θεοῦ ὁ μὲν Ἰώσηπος Ἰαδὼν αὐτὸν ὀνομάζει, ἡ δὲ βίβλος τῶν Παραλειπομένων Ἰωὴλ αὐτὸν ἡμᾶς καλεῖσθαι B ἐδίδαξεν.

Ἐπαινεῖ ἡ γραφὴ καὶ τοῦ Ἀσᾶ τὴν προτέραν εὐσέβειαν· „ἐποίησε" γάρ φησιν „Ἀσᾶ τὸ εὐθὺ ἐνώπιον κυρίου τοῦ θεοῦ αὐτοῦ." V. 145 ὅθεν καὶ τοὺς ὁμόρους πάντας ὑπέταξεν. ἀλλὰ καὶ ἑορτὴν ἐπινίκιον ἐκτελέσας ὀμόσαι παρεσκεύασεν ἅπαντας ὡς τῆς ἐννόμου πολιτείας οὐκ ἀποστήσονται. ἀλλὰ καὶ τὴν μητέρα αὐτοῦ τῇ Ἀστάρτῃ λατρεῦσαι προελομένην τῆς βασιλείας ἐγύμνωσεν. οὐκ ἐν πᾶσι δὲ τέλειος ἦν· οὐδὲ γὰρ ἐξῆρε τὰ ὑψηλά. καὶ τοῦ Βασᾶ δὲ στρατεύσαντος κατ' αὐ- C

12. γαδὼν F. 16. ἀσσᾶ F. 22. βασσᾶ F.

retur. ac interfecit ille quidem vatem, sed ulterius progredi non est ausus. quippe corpus vatis supplicio propter inobedientiam adfectum, quod supplicium erat ipsa necatio, deinceps immune factum, a leone devorari non poterat. caeterum vatem hunc alterum Iosephus tradit fuisse talem, qui falso nomen hoc mentiretur et improbus esset ac Ieroboami regis impostor. verum Theodoritus eum in verorum vatum numerum refert, atque id ut probet, litterarum sacrarum auctoritatem allegat, in quibus memoriae proditum sit vatis illius senis, qui habitaverit Bethele, ossa cum ossibus divini hominis, e Iudaea profecti, et omnia prolocuti quae Iosias deinceps exsecutus est, sepulta fuisse. itidem divinum hunc hominem Iosephus quidem Iadonem appellat, Omissorum vero liber docet ei nomen Ioeli fuisse.

Secundum haec praedicant litterae sacrae regis Asae pietatem, quam ab initio declaraverit. recte, inquiunt (3 Reg. 15 11), se gessit Asa erga dominum deum suum. quo factum ut finitimos omnes imperio suo subiiceret. quinetiam triumphali festo instituto cunctos sacramento devinxit se a praescripta in lege disciplina vivendique ratione non discessuros. praeterea matrem suam quae Astartae cultum probaret, regno abdicavit. non tamen in omnibus perfectum sese gessit. nec enim sacella editorum sustulit, ac deinceps Basa Israeli-

τοῦ, οὐ τὸν θεὸν εἰς συμμαχίαν ἐκάλεσεν ἀλλὰ τὸν βασιλέα Συρίας. ἐφ' ᾧ καὶ δι' Ἀνανῆ τοῦ προφήτου τὴν ἀπιστίαν διήλεγξεν ὁ θεὸς εἰπὼν „ἐν τῷ πεποιθέναι σε βασιλεῖ Συρίας, καὶ μὴ ἐπὶ κύριον τὸν θεόν σου, ἤτοι ὁ Βασᾶν κατὰ σοῦ, διὰ τοῦτο ἐσώθη ἡ δύναμις βασιλείας Ἰσραήλ." ὁ δὲ Ἀσᾶ μὴ θρηνήσας ἐπὶ τούτοις, ὡς δέον ἦν, τὸν προφήτην ἐφυλάκισε, καὶ νοσήσας ὕστερον οὐ τὸν κύριον ἐζήτησεν ἀλλὰ τοὺς ἰατρούς, ἴσως δὲ τοὺς φαρμακούς.

D Ἐπαινεῖ δὲ καὶ τὸν Ἰωσαφὰτ ὡς τὴν ἀρετὴν ἐζηλωκότα κατ' ἀρχὰς τοῦ Δαβίδ. τὸ γὰρ „ὑψώθη αὐτοῦ ἡ καρδία" οὐ κατηγορία ἀλλ' ἔπαινος· ἐπήγαγε γὰρ „ἐν ὁδοῖς κυρίου." ἐπιμέμφεται δὲ αὐτῷ τὴν γαμικὴν ἐπιμιξίαν ἣν πρὸς τὸν Ἀχαὰβ ἐποιήσατο· Γοθολίαν γὰρ τοῦ Ἀχαὰβ τὴν θυγατέρα κατεγγύησε τῷ παιδὶ αὐτοῦ. ὅπερ δὲ ἀφῆκεν ἡ τῶν βασιλειῶν ἱστορία, ἐνταῦθα ῥηθήσεται. ἐπανιόντι γὰρ αὐτῷ ἀπὸ τῆς τοῦ Ἀχαὰβ παρατάξεως τῷ Ἰωσαφὰτ ἀπήντησεν Ἰηοῦ προφήτης ὁ τοῦ Ἀνανῆ, καὶ εἶπεν αὐτῷ „βασιλεῦ Ἰωσαφάτ, εἰ ἁμαρτωλῷ σὺ βοηθεῖς; εἰ μισουμένῳ ὑπὸ κυρίου
P. 188 σὺ φιλιάζῃ; διὰ τοῦτο ἐγένετο ἐπὶ σὲ ὀργὴ παρὰ κυρίου. ἀλλ' οἱ λόγοι ἀγαθοὶ εὑρέθησαν ἐν σοί, ὅτι ἐξῆρας τὰ ἄλση ἀπὸ τῆς γῆς Ἰούδα." ἐντεῦθεν οὖν μανθάνομεν ὡς ἐλαττοῖ τὰς

eorum rege cum exercitu adversus ipsum profecto auxilium opemque dei non imploravit, sed Syriae regem arcessiit. iccirco per Ananem vatem deus ipsius diffidentiam huiusmodi verbis obiurgavit (2 Paral. 16 7): „quoniam Syriae regi, non domino deo tuo innixus es, propterea manus tuas Israelici regis exercitus evasit." tum Asa nequaquam deplorato delicto suo, quemadmodum facere debuerat, etiam fatidicum in carcerem coniecit. deinde morbo correptus non ad opem domini confugit sed ad medicos; quorum appellatione fortassis venefici et excantores veniunt.

Laudant et litterae sacrae Iosaphatum, ut qui virtutem exemplo Davidis, unius ex maioribus suis, unice dilexerit. nam quod in eis perscriptum legimus (2 Paral. 17 6) „elatum est cor eius," id vero non ad vituperationem spectat sed ad laudem atque commendationem: subiiciuntur enim huiusmodi quaedam verba, „in praescriptis et institutis a domino." unum in eo reprehenditur, coniugalis videlicet vinculi et affinitatis coniunctio cum Achaabo instituta. quippe Gotholiam Achaabi filiam suo filio coniugem dedit. atque hoc loco recitandum est, quod scripta de regibus historia memoriae non prodidit. cum ex acie Iosaphatus reverteretur, qua suppetias Achaabo tulerat, Hieus vates Ananis F. occurrit, ac regem in hunc modum compellavit „tene, Iosaphate rex, homini scelerato ferre auxilium? tene cum exosis domino amicitiam colere? ergo istius rei domino

ἐπὶ τοῖς ἁμαρτήμασι τιμωρίας τὰ πρῶτα κατορθώματα. ὁ τοίνυν Ἰωσαφὰτ δεξάμενος τὸν ἔλεγχον διωρθώσατο ἐπὶ πᾶσι, καὶ κριτὰς τῇ πόλει ἐπέστησεν, ἵνα δικαίως πάντα πράττοιντο. ἀλλὰ καὶ πολεμίων ἐπιστάντων πρὸς θεὸν κατέφυγεν, ὃς καὶ παρεθάρρυνεν αὐτὸν διὰ τοῦ Ἰεζεκιὴλ λέγων „μὴ φοβηθῆτε τὸ πολὺ πλῆθος, ἀλλ' αὔριον ἐξέλθετε." πρώτους δὲ τοὺς Λευίτας ὁ βασιλεὺς ἐξήγαγεν· ὅθεν καὶ οἱ πολέ- B
μιοι ἀλλήλους κατέκοψαν. ὅρα δὲ καὶ ἑτέραν βίβλον προφητικήν· λέγει γὰρ ἡ ἱστορία „καὶ οἱ πολλοὶ λόγοι Ἰωσαφὰτ οἱ πρῶτοι καὶ οἱ ἔσχατοι οὐκ ἰδοὺ γεγραμμένοι εἰσὶν ἐν λόγοις Ἰηοῦ υἱοῦ Ἀνανῆ."

Καλῶς δὲ ὁ θεῖος ψάλλει Δαβὶδ „λύτρωσαί με ἀπὸ συκοφαντίας ἀνθρώπων." „ηὐλόγησε" γάρ φησιν „Ναβουθαὶ θεὸν καὶ βασιλέα, τουτέστιν ἐβλασφήμησε, κατὰ τὸ ἐν Ἰὼβ γεγραμμένον „ἦ μὴν εἰς πρόσωπόν σε εὐλογήσει," ἐφ' ᾧ καὶ C
τὸν βίον ἐξέλιπεν, τῆς Ἰεζάβελ τοῦτο οἰκονομησάσης. ἐφ' ᾧ V. 146
καὶ παρρησιάζεται ὁ μέγας Ἠλίας πρὸς Ἀχαὰβ λέγων „τάδε λέγει κύριος· ὡς σὺ ἐφόνευσας καὶ ἐκληρονόμησας, διὰ τοῦτο τάδε λέγει κύριος. ἐν παντὶ τόπῳ ᾧ ἔλειξαν αἱ ὕες καὶ

irato poenas dares: sed exstiterunt in te laudabilia quaedam, quod lucos scilicet e solo ditioneque Iudaica exterminaveris." quibus ex verbis discere licet praeclara hominum facta, quae prius sint praestita, delictorum sequentium poenas imminuere. Iosaphatus quidem certe cum hanc reprehensionem benigne tulisset, cunctis in actionibus se deinceps egregie gessit, ac iudices reipublicae praefecit. eisdem imperans ut omnia de iuris et aequi praescripto facerent cumque hostes ipsum invasissent, ad deum confugit. is hominis animo robur addidit, huiusmodi verbis per Iezecielum vatem editis (3 Reg. 20 15) „nolite tantam istam multitudinem metuere, sed cras ad illam egredimini." quo facto rex primos omnium Levitas eduxit, nec multo post ipsimet hostes se mutuis vulneribus conciderunt. licet autem ex indiciis quibusdam colligere, quendam alium quoque librum de Iosaphato scriptum fuisse: nam huiusmodi verba exstant in historiae monumentis (2 Paral. 20 34) „an non multae Iosaphati orationes et facta tum ineuntis aetatis tum defectae in libris Hiei vatis, Ananis F. perscripta sunt?"

Caeterum praeclare divinus ille Davides canit (Psalm. 118 134) „libera me ab hominum calumnia." nam de Nabuthaeo perscriptum legimus, fuisse qui verbis huiusmodi hominem deferrent (3 Reg. 21 13) „Nabuthaeus deo et regi bene precatus est," hoc est maledixit. sic enim verbum istud hoc loco debet accipi, quemadmodum et in Iobo legimus (Iob. 1 11) „in os profecto bene tibi precabitur." hoc pacto delatus vitam amisit; Iezabele rem consilio et astu suo procurante

οἱ κύνες τὸ αἷμα Ναβουθαί, ἐκεῖ λείξουσιν οἱ κύνες τὸ αἷμά σου, καὶ αἱ πόρναι λούσονται ἐν τῷ αἵματί σου." σφόδρα δὲ κατανυγεὶς ἐπὶ τούτοις ὁ Ἀχαὰβ οὐκ εὐθὺς ἐτιμωρήθη
D διὰ τὴν κατάνυξιν. ἀλλὰ καὶ τὸν υἱὸν Ἀδὲρ τὴν Σαμάρειαν παρακαθίσαντα μετὰ τριάκοντα καὶ δύο βασιλέων εἰς χεῖρας αὐτοῦ τοῦ Ἀχαὰβ ἔδωκεν ὁ θεός. διότι δὲ ζωογονήσας αὐτὸν παρὰ τὴν κέλευσιν ἀπέστειλε μετὰ δορυφορίας, ὠργίσθη ὁ θεός, καὶ διὰ τοῦ προφήτου (Μιχαίας δὲ οὗτος, ὥς φησιν Ἰώσηπος) τοῦ παταχθέντος τὴν κεφαλὴν αὐτοῦ ὑπό τινος ὁδίτου εἶπε πρὸς αὐτὸν „διότι ἐξήνεγκας σὺ ἄνδρα ὀλέθριον ἐκ τῆς χειρός σου, καὶ ἔσται ἡ ψυχή σου ἀντὶ τῆς
P. 189 ψυχῆς αὐτοῦ, καὶ ὁ λαός σου ἀντὶ τοῦ λαοῦ αὐτοῦ." καὶ μετὰ τρία ἔτη λαβὼν μεθ' ἑαυτοῦ τὸν Ἰωσαφὰτ βασιλέα Ἰούδα, ἠρώτησε τετρακοσίους προφήτας αὐτοῦ λέγων „εἰ πορευθῶ εἰς Ῥεμὰ Γαλαὰδ εἰς πόλεμον ἢ ἐπίσχω." καὶ εἶπον „ἀνάβαινε" οἱ ψευδοπροφῆται τοῦ Βάαλ. ἐπὶ τούτοις τοῦ Ἰωσαφὰτ εἰπόντος, εἰ ἔστιν ἐνταῦθα προφήτης κυρίου, ἐρωτήσωμεν τὸν κύριον δι' αὐτοῦ, „ἔστι μὲν" ἔφη ὁ Ἀχαάβ, „καὶ Μιχαίας καλεῖται, οὔ ποτε δὲ προφητεύει τὰ θυμήρη." καλεῖται λοιπόν, καὶ πρῶτα μὲν ἔλεγε πρὸς αὐτὸν „ἀνάβαινε, καὶ

5. περικαθίσαντα? 9. ὑπὸ] ἀπὸ P.

hinc factum ut magnus ille vates Elias verbis talibus Achaabum compellare non dubitaret (3 Reg. 21 19) „haec tibi dominus denuntiat. tune hominem occideris et eius bona possideas? atenim a domino sic habeto. quo in loco linxere porci et canes Nabuthaei sanguinem, ibidem canes tuum quoque cruorem lingent, seque scórta tuo sanguine abluent." quibus verbis Achaabus admodum contristatus non mox poenus luit propterea quod moerore adfectus fuisset. quinetiam deus Aderis filium, qui Samariam obsidebat, cum duobus et triginta regibus in potestatem ei dedit; quem ubi vita donatum praeter edictum divinum, satellitibus etiam adiunctis, dimisisset, iram dei adversus se concitavit. nam is continuo per vatem Michaeam (hoc enim ipsius nomen Iosephus memoriae prodidit) quodam a viatore laesum ac vulneratum in capite, verbis huiusmodi allocutus est (3 Reg. 20 42): „quoniam tu exitialem virum de manu emisisti, tam vita illius tua vita quam populus populo rependetur." post haec tribus elapsis annis, sumpto secum Iosaphato Iudaeae rege, vates suos quadringentos consulit, censerentne sibi cum exercitu pergendum adversus Rema Galaaditidis oppidum, an expeditionem potius omittendam. respondent Baalis vates omnino pergendum. at cum Iosaphatus quaereret ecquis praeterea domini vates adesset (eius enim opera dominum esse consulendum), „est" inquit Achaabus (3 Reg. 22 8) „adhuc quidam vates, cui Michaeae nomen. sed nunquam ille animo meo grata vaticinatur."

ος εὐοδώσει ἐν χειρὶ βασιλέως," εἶτα ὁρκωθεὶς τὰ θεῖα προεμήνυε. τοῦ γοῦν Ἀχαὰβ πρὸς τὸν Ἰωσαφὰτ εἰπόντος „οὐκ B εἰπόν σοι ὅτι οὐ προλέγει μοι καλὰ ἀλλ' ἢ κακά;" ὁ προφήτης ἔφη „οὐκ ἐγώ. ἄκουσον τὸν λόγον κυρίου. εἶδον κύριον τὸν θεὸν τοῦ Ἰσραὴλ καθήμενον ἐπὶ θρόνου αὐτοῦ, καὶ πᾶσα ἡ στρατιὰ τοῦ οὐρανοῦ παρειστήκει αὐτῷ, καὶ εἶπε 'τίς ἀπατήσει τὸν Ἀχαὰβ βασιλέα τοῦ Ἰσραήλ, καὶ ἀναβήσεται εἰς Ῥεμὰ Γαλαάθ, καὶ πεσεῖται ἐκεῖ;' καὶ ἐξῆλθε πνεῦμα, καὶ ἔστη ἐνώπιον κυρίου, καὶ εἶπεν 'ἐγὼ ἀπατήσω αὐτόν.' καὶ εἶπε κύριος πρὸς αὐτό 'ἐν τίνι;' καὶ εἶπεν 'ἐξελεύσομαι, καὶ ἔσομαι πνεῦμα ψευδὲς ἐν τῷ στόματι πάντων τῶν προφητῶν C αὐτοῦ, καὶ ἀπατήσω αὐτόν.' καὶ εἶπε; 'δυνήσῃ ἐξελθεῖν, καὶ ποίησον.'" ταῦτα δὲ πάντα, καθά φησι Θεοδώρητος, προσωποποιία ἐστὶ διδάσκουσα ἡμᾶς τὴν θείαν συγχώρησιν. οὕτω μὲν οὖν καὶ τὰ κατὰ τὸν Ἰώβ, ἐν οἷς ἡ γραφή φησι τοὺς ἀγγέλους ἐνώπιον παραστῆναι τοῦ θεοῦ καὶ τὸν διάβολον ἐν μέσῳ αὐτῶν, καὶ οὕτω διαλεχθῆναι πρὸς τὸν κύριον, προσωποποιίαν εἶναί φησιν ὁ θεῖος Χρυσόστομος. τὸν μέντοι Βάαλ θεὸν εἶναι λέγει Τυρίων ὁ Ἰώσηπος, τὴν δὲ Ἀστάρτην Σιδωνίων, Βααλὴμ δὲ τὸν τοῦ Βάαλ σηκόν. καὶ περὶ μὲν τούτων οὕτως, ὁ δὲ Ἰωσαφὰτ καὶ προφήτην ζητήσας καὶ D

hilominus arcessitur; et primo quidem respondet eundum esse, quod domino favente regi feliciter res omnes sint successurae. verum deinceps eum obtestante per sacramentum rege, divinam mentem aperit. tum Achaabo ad Iosaphatum dicente: „nonne praedixi vatem hunc mihi nihil boni denuntiare, sed tantum infausta?" subiecit Michaeas „videbam dominum, deum Israelitarum, in solio suo considentem, cumque universae copiae coelestes ipsi adstarent, haec fatus est: quis Achaabum regem Israelicum decipiet, ut cum exercitu Rema Galaaditidis oppidum proficiscatur atque ibi pereat? tum se spiritus quidam proripuit, et coram domino se sistens in hunc modum locutus est: „ego vero hominem decipiam." cui dominus „et quo tandem pacto?" „abibo" inquit „et ero spiritus mendax in ore cunctorum vatum eius, eoque modo ipsum fallam." tum dominus „abi ergo" ait, „quodque dixisti, facito." sunt autem haec omnia, quemadmodum Theodoritus scripsit, merae personarum fictiones, quae nos de permissione divina erudiunt. eodem modo cum in narratione de Iobo litterae sacrae referunt angelos coram domino adstitisse, ac inter eos ipsum quoque diabolum, qui deum compellaverit, divinus ille Chrysostomus personarum fictionem agnoscit. caeterum Baal Iosepho deus est Assyriorum, Astarte vero Sidoniorum, Baalim denique sacellum Baal interpretatur. ac de his quidem haec indicata sunto. Iosaphatus autem requisito vate ac huiusmodi rebus ex eo cognitis nihilo-

τοιαῦτα μαθὼν ὅμως συναπῆρεν εἰς πόλεμον μετὰ τοῦ Ἀχαάβ·
πλὴν διὰ τὴν ἄλλην αὐτοῦ ἀρετήν, ὡς ἄνωθεν εἴρηται, διε-
φυλάχθη. ὁ μέντοι Μιχαίας φυλακῇ ἐμβληθεὶς παρὰ τοῦ
Ἀχαὰβ ἔλεγε μετὰ παρρησίας „ἐὰν ἐπιστρέφων ἐπιστρέψῃς
V. 147 ἐν εἰρήνῃ, οὐ λελάληκεν ἐν ἡμῖν ὁ κύριος." ἀλλὰ καὶ ἡ ἐπὶ
τοῦ Ἀχαὰβ διὰ τοῦ Ἠλίου θεία πρόρρησις πέρας ἔσχε.
τρωθεὶς ἐπὶ πολὺ τῷ ἅρματι ἵστατο, ἵνα μὴ τροπὴν ἐργα-
σηται τῇ φυγῇ. τὸ δὲ αἷμα φερόμενον ἐνεπάγη τῷ ἅρματι.
τοῦτο παρὰ κρήνῃ ὁ ἡνίοχος ἔπλυνεν, οἱ δὲ κύνες ἐξέλειχον.
P. 190 αἱ δὲ πόρναι περὶ τὴν ἕω κατὰ τὸ ἔθος ἐλούσαντο· πηγι-
μαῖον γὰρ ἦν τὸ ὕδωρ, κεχρωσμένον δὲ τῷ αἵματι.

Ἰωρὰμ δὲ τοῦ κηδεστοῦ Ἀχαὰβ ζηλώσας τὴν ἀσέβειαν ἀξίαν τὴν τιμωρίαν εὕρατο. ὁ γὰρ μέγας Ἠλίας διὰ γραμμάτων μεμήνυκε τὴν ἀπόφασιν „τάδε λέγει κύριος· ἀνθ' ὧν οὐκ ἐπορεύθης ἐν ὁδῷ Ἰωσαφὰτ τοῦ πατρός σου, ἀπέκτεινας δὲ τοὺς ἀδελφούς σου, ἰδοὺ κύριος πατάσσει πληγὴν μεγάλην ἐν τῷ οἴκῳ σου, καὶ σὺ ἔσῃ ἐν ἀρρωστίαις πονηραῖς, ἐν ἀρρωστίᾳ κοιλίας, ἕως ἂν ἐξέλθῃ τὰ ἔντερά σου." ἐπεστράφησαν τοίνυν ἀλλόφυλοι κατ' αὐτοῦ, καὶ πάντας ἐξην-
B δραπόδισαν, καὶ τὰ τέκνα αὐτοῦ πάντα κατέκτειναν ἄνευ
τοῦ Ὀχοζίου. ἐπέσκηψε καὶ ἡ νόσος, καὶ οὐδὲ μετὰ θανα-

minus cum Achaabo ad bellum profectus est. quia tamen alioqui vir magnae virtutis erat, ut supra quoque diximus, incolumis domum evasit. Michaeas in carcerem ab Achaabo coniectus magna cum oris libertate dixit „quodsi prospere domum reversus fueris, deum per me minime locutum esse fatebor." enimvero divinum illud oraculum de Achaabo, quod Elias edidit, eventus ipse comprobavit. nam cum vulnus accepisset, diu admodum in curru stetit, ne conspecta regis fuga milites hosti terga darent. ibi sanguis e vulnere profluens curru adhaesit; quem deinceps auriga ad fontem abluit et canes linxerunt. mane vero meretrices ad fontem Achaabi sanguine tinctum accedentes etiam in eo corpora sua pro more abluerunt.

Secundum haec rex Ioramus impietatem Achaabi soceri sui aemulatus meritas omnino poenas luit. nam magnus ille vates Elias huiusmodi verbis eum per litteras compellavit (2 Paral. 21 12): „haec tibi dominus significat. quoniam institutum paternae Iosaphati vitae non es sectatus, sed fratres tuos interfecisti, en magna calamitate dominus familiam tuam adficiet, ac tu gravibus admodum morbis laborabis, quos inter erunt viscerum tormina, tam diu durantia donec intestina egeras." non multo post exterae nationes in eum copias educunt, omnes e medio tollunt, liberos regios interficiunt, Ochozia solo excepto. simul et morbus hominem invadit, ac ne regiam quidem

του βασιλικῆς ἠξιώθη ταφῆς. ἀληθῶς φοβερὸν τὸ ἐμπεσεῖν εἰς χεῖρας θεοῦ ζῶντος.

Μετὰ τοῦτον Ὀχοζίας ζηλωτὴς καὶ αὐτὸς τῆς πατρικῆς ἀσεβείας. ἀποστέλλονται τοίνυν πρὸς τὸν μέγαν Ἠλίαν δύο πεντηκόνταρχοι μετὰ σοβαρότητος καλοῦντες αὐτὸν ἐπὶ τῷ ἐρωτηθῆναι τῆς νόσου τοῦ βασιλέως ἕνεκεν· ἐφ' ᾧ καὶ πῦρ καταγαγὼν ἄνωθεν κατέκαυσεν αὐτούς. ἀλλ' ἐνταῦθα οἱ ὠμότητα τοῦ προφήτου κατηγοροῦντες αὐτοῦ κατηγοροῦσι τοῦ C θεοῦ· δι' αὐτοῦ γὰρ τὰ πάντα. στέλλεται οὖν τρίτος πεντηκόνταρχος, καὶ ἠπίοις λόγοις χρησάμενος τὴν τιμωρίαν διέφυγεν. κατερχόμενος οὖν καὶ συναντήσας τοῖς ἀποσταλεῖσιν ἐπὶ τὰ εἴδωλα εἶπε „παρὰ τὸ μὴ εἶναι θεὸν ἐν Ἰσραήλ, πορεύῃ ζητῆσαι μυῖαν θεὸν Ἀκαρῶν; ἡ κλίνη ἐφ' ἧς ἀνέβης, οὐ καταβήσῃ." ἴστωσαν οὖν ἐντεῦθεν οἵῳ κρίματι περιπίπτουσι, καὶ ὅπως ἀγανακτεῖν παρασκευάζουσι τὸν θεόν, οἱ τὰς ἐλπίδας αὐτῶν ἀστρολόγοις καὶ μάντεσιν ἀναθέμενοι. D ἄξιον δὲ θρηνῆσαι τῶν δυσσεβῶν τὴν ἀλογίαν. οὐ γὰρ μόνον τὰ μέγιστα τῶν ζώων ἐθεοποίησαν, ἀλλὰ καὶ τὰ σμικρότατα καὶ μύσους μεστά. τί γὰρ μυσαρώτερον μυίας; ἀλλ' ὅμως καὶ τὴν εἰκόνα ταύτης θεὸν ἀνηγόρευσαν, καὶ ἣν ζῶσαν ταῖς ῥιπίσιν ἐλαύνουσι, ταύτης τὸν τύπον θεὸν ὠνομάκασιν.

sepulturam a morte consecutus est. nimirum reapse formidabile est in dei viventis manus incidere (Hebr. 10 31).

Successit in regno filius Ochozias, et ipse paternae impietatis aemulator. hoc tempore missi sunt ad magnum illum vatem Eliam duo quinquagenum militum praefecti, qui eum superbe arcessunt de regis morbo consulendum. tum ignem ille caelitus deducens universos concremavit. hoc loco qui crudelitatem vatis accusant, deum ipsum criminantur: nam per eum haec omnia facta sunt. tandem et tertius quidam militum quinquagenum praefectus ablegatur, qui vatem mitibus verbis allocutus supplicium quo priores adfecti fuerant evasit. quamobrem vates de monte descendens, cum incidisset in homines ablegatos a rege ad consulendos deastros, huiusmodi verba protulit (4 Reg. 1 16): „quandoquidem delinquere non dubitasti, et quasi deus apud Israelicos nullus foret, muscam Accaronis deum consuluisti, ex eo lecto, quem semel iam conscendisti, non evades." de quo licet aestiment quali iudicio et poena pereant, quantamque dei concitent in se iracundiam, qui spes suas in astrologos et vates collocant. estque adeo non abs re deploranda hominum impiorum bruta fatuitas. non enim tantum olim illi maxima quaevis animalia pro diis habuerunt, sed etiam minima, eaque piacularia. nam quid, obsecro, musca potest esse foedius et abominabilius? nihilominus illi muscae simulacro divinitatem tribuerunt; quamque vivam flabellis abigebant, eius imagini appellationem dei concesserunt.

Ὁ δέ γε τῶν προφητῶν κορυφαῖος Ἠλίας, ὁ παρρησίαν ἔχων τοσαύτην ὥστε καὶ πρὸς Ἀχαὰβ οὕτως εἰπεῖν „ζῇ κύριος ὁ θεός μου, εἰ ἔσται τὰ ἔτη ταῦτα δρόσος ἢ ὑετὸς εἰ μὴ διὰ λόγου στόματός μου," ὁ τοὺς ἱερεῖς τοῦ Βάαλ ἐπὶ
P. 191 τοσοῦτον καταισχύνας ὥστε καὶ πάντας αὐτοὺς τῇ προτροπῇ αὐτοῦ παρὰ τῶν Ἰσραηλιτῶν ἀποκτανθῆναι, ἵνα μήτι πάθῃ ὑπέρογκον, τοσοῦτον παρὰ τῆς Ἰεζάβελ συγχωρεῖται διώκεσθαι ὡς καὶ πρὸς τὸν θεὸν εἰπεῖν „ἱκανούσθω δή, λάβε τὴν ψυχήν μου ἀπ' ἐμοῦ. μὴ κρείσσων ἐγὼ ὑπὲρ τοὺς πατέρας
V. 148 μου;" ἀπορήσειε δ' ἄν τις πῶς ἅγιος ὢν ὁ προφήτης καὶ κατὰ νόμον πολιτευόμενος ἤσθιε τὴν διὰ κοράκων τροφήν. αὐτὸς ὁ νομοθέτης ταύτην αὐτῷ διὰ τῶν κοράκων προσέφερε, καὶ
B ἄρτον μὲν ἕωθεν, δείλης δὲ κρέα. οἱ γὰρ νόμοι οὗτοι διὰ τὴν τῶν Ἰουδαίων ἀσθένειαν ἐτέθησαν. καὶ γὰρ καὶ Σαμψὼν διὰ μὲν τὴν μέθην καὶ τὴν λαγνείαν ἐγυμνώθη τῆς χάριτος, φαγὼν δὲ τὸ κηρίον τοῦ μέλιτος, ὃ ἐν νεκρῷ λέοντι ἐξύφαναν μέλισσαι, κατηγορίαν οὐδεμίαν ἐδέξατο.

Πρόσεχε δέ, ἀγαπητέ. ἡνίκα προσῆλθε τῇ Σαραφθίᾳ ὁ προφήτης καὶ ἄρτῳ ἐδεξιώθη αὐτοσχεδίῳ ἐν τῷ καιρῷ τοῦ λιμοῦ, τοῖς ἀγγείοις ἐκείνοις ἐπηύξατο οὕτως εἰπὼν „ἡ ὑδρία τοῦ ἀλεύρου οὐκ ἐκλείψει, καὶ ὁ καμψάκης τοῦ ἐλαίου οὐκ

20. ὑπηύξατο P.

Caeterum ille vatum princeps Elias, cui tanta libertas oris erat ut huiusmodi verbis Achaabum alloqueretur (3 Reg. 17 1) „ita vivat dominus deus ille meus, ut annis hisce nec rorem nec pluviam habituri sumus, nisi me iubente," qui praeterea Baalis sacrificos tanto pudore adfecit ut omnes etiam ipso exhortante ab Israelitis occiderentur, Elias ergo, ne quam in superbiam fastumque prolaberetur, tantum permittente deo persecutionis est a Iezabele perpessus, ut etiam deum his verbis appellaret (3 Reg. 19 4) „tandem satis hoc esto tibi, vitam quaeso meam mihi auferto. egone meis maioribus praesto?" possit autem mirum alicui fortasse videri, qui factum sit ut vates hic, vir omnino sanctus et legis e praescripto se gerens, cibum a corvis praebitum comederet. nimirum ipse legislator eum per corvos sic alebat, ut matutino quidem tempore panem, vespertino carnes acciperet. leges hae scilicet propter Iudaeorum imbecillitatem latae fuerunt. iccirco videmus Samsonem propter temulentiam lasciviamque divinitus sibi concesso beneficio fuisse spoliatum, cum nequaquam propterea culpetur quod favum mellis ab apibus in leonis cadavere congestum comederit.

Hoc etiam, dilecte fili, factum scito. cum Saraphtiam vates Elias pervenisset ac famis tempore qualicunque pane exciperetur, huiusmodi votum de vasis ipsis concepit (3 Reg. 17 14) „hydria qua farina continetur, ne deficiat, et cadus olei nunquam minus habeat." fue-

ἐλαττονήσει." ἀλλ' ἐνταῦθα ζητῆσαι ἄξιον εἴπερ ἀληθῶς ἐν τῷ καμψάκῃ ἐκείνῳ ἔλαιον ἦν. ἔγωγε γὰρ τοῦ προφήτου C ἀκούων λέγοντος „καὶ ὁ καμψάκης τοῦ ἐλαίου οὐκ ἐλαττονήσει, ἕως οὗ δώσει τὸν ὑετὸν αὐτοῦ ἐπὶ τῆς γῆς" οὐκ οἶμαι τὸν προφήτην περὶ ἐλαίου εὔξασθαι. τοσούτου γὰρ ὄντος αὐχμοῦ, καὶ τῶν ἀνθρώπων ἐκλειπόντων τηνικαῦτα τῇ ἀνυδρίᾳ, τίς ἡ ὠφέλεια εἴπερ ὁ καμψάκης ἐπήγαζεν ἔλαιον; οὐκ ἦν λοιπὸν ὁ καμψάκης ἐκεῖνος ἐλαίου καμψάκης, ὅτι μηδὲ χρεία ἐλαίου τοῖς ἕνεκεν ὕδατος κάμνουσιν. ἐπεὶ δὲ τὸ ἔλαιον ἀγαλλίασιν ὑπεμφαίνει παρὰ τῇ γραφῇ, διὰ τοῦτο καμψάκην ἐλαίου τὸν καμψάκην ἐκεῖνον ὁ προφήτης ἐκάλεσεν. D οὐδὲ γὰρ ἕτερον ἀγαλλίασιν ἐπὶ τοσοῦτον εἰσφέρει ὡς αὐτὸ τὸ ὕδωρ ἐν αὐχμώδει καιρῷ. καὶ πειθέτω σε ἡ ἁγία γραφὴ μέλι τὸ ὕδωρ καλέσασα. οἱ γὰρ Ἑβραῖοι δίψει συσχεθέντες ἀφορήτῳ κατὰ τὴν ἔρημον, καὶ ὕδωρ εὑρόντες, μέλιτος ἐδόκουν ἐμπίμπλασθαι. πρὸς γοῦν τὴν διάθεσιν τῶν πινόντων ἀφορῶσα ἡ γραφὴ μέλι ὕδωρ ἐκάλεσεν.

Μετὰ δὲ ταῦτα κρατεῖ Ἰωᾶς, ὃς ἐποίησε τὸ εὐθὲς ἐνώπιον τοῦ θεοῦ πάσας τὰς ἡμέρας Ἰωδάε τοῦ ἀρχιερέως. οὗτος ζήσας ἔτη ρλ' καὶ θανὼν θήκης ἠξιώθη βασιλικῆς. αὐ- P. 192 τοῦ δὲ θανόντος ἐξέκλινεν Ἰωᾶς εἰς ἀσέβειαν. ἐφ' ᾧ καὶ στέλλονται προφῆται πρὸς αὐτὸν τὸν Ἰωᾶν, μεθ' ὧν καὶ ὁ

rit autem heic operaepretium quaerere num reapse in illo cado fuerit oleum. equidem cum vatem dicere audio „cadus olei nunquam minus habeat, donec huic regioni deus pluviam suam concesserit," nequaquam existimo vatem hoc de oleo votum concepisse. nam cum tantus esset aestus, hominesque propter aquae inopiam id temporis perirent, quid quaeso fructus attulisset, si cadus oleum de perpetuo quasi fonte quodam suppeditasset? de quo licet intelligere non fuisse cadum illum plenum oleo, quandoquidem oleo non indigebant qui aquae penuria graviter laborabant. verum certa quadam de causa cadum illum vates olei cadum appellavit. non enim quicquam esse potest quod homines tantopere possit exhilarare ut aqua magni alicuius aestus tempore. licet hoc de sacris literis intelligas, quae alicubi aquam mel nuncupant: nam cum Hebraei adfligerentur intolerabili quadam in solitudine siti, aqua reperta melle satiari se putabant. quo fit ut respicientes litterae sacrae ad illorum adfectionem qui aquam hauriebant, eam ipsam appellatione mellis dignatae sint.

Secundum haec imperio potitus est Ioas, qui erga deum se recte gessit, quamdiu pontifex maximus Ioiadas superstes fuit; qui cum annis centum et triginta vivendo expletis fato functus fuisset, tantum honoris est consecutus, ut regio sepulcro inferretur. cum autem rebus humanis exemptus esset, ad impietatem deinde rex Ioas deflexit.

τοῦ Ἰωδάε Ζαχαρίας, ὃν καὶ κατέλευσαν ἔνδον τοῦ ὑπαί-
θρου ἐν τῷ ναῷ. καὶ ἀποθνήσκων εἶπεν „ἴδε, κύριε, καὶ
κρῖνε." καὶ οὐ διήμαρτε τῆς αἰτήσεως· ἀρρωστίᾳ γὰρ πε-
ριπεσὼν ὑπὸ τῶν ὑπηκόων ἐσφάγη. ὁ δὲ τούτου υἱὸς Ἀμα-
σίας βασιλεύσας καὶ τῇ θείᾳ συμμαχίᾳ τοὺς Ἰδουμαίους νι-
κήσας καὶ τοὺς θεοὺς αὐτῶν ἀνδραποδίσας ὕστερον ἱερούργει
αὐτοὺς ὁ ἀνόητος ἐτίμησε, τὴν νίκην αὐτοῖς λογισάμενος.
B πρὸς ὃν ὁ προφήτης „ἔγνων ὅτι ἐβουλεύσατο κύριος τοῦ δια-
φθεῖραί σε·" ὁμοίως γὰρ πατρὶ ἐτελειώθη.

Ἐπαινεῖ δὲ τὸν Ὀζίαν ἡ θεία γραφή· „ἦν" γάρ φησιν
„ἐκζητῶν τὸν κύριον ἐν φόβῳ κυρίου ἐν ταῖς ἡμέραις Ζαχαρίου."
μετὰ δὲ ταῦτα ἐπιθυμήσας εἰσελθεῖν εἰς τὰ ἄδυτα καὶ θυμιᾶ-
σαι, καὶ ἐλεγχθεὶς ὑπὸ τοῦ ἀρχιερέως καὶ τῶν ὀγδοήκοντα
ἱερέων. εἶπον γὰρ πρὸς αὐτόν „οὐκ ἔξεστί σοι, Ὀζία, θυμιᾶν,
ἀλλὰ τοῖς ἱερεῦσι τοῖς υἱοῖς Ἀαρών·" ὁ δὲ „οὐχὶ βασι-
V. 149 λεύς εἰμι καὶ ἁλουργίδα βασιλικὴν περιβέβλημαι;" ἐλεπρώθη
C οὖν ἐπὶ τούτῳ. ἐντὸς δὲ τούτου καθημένου διὰ τὴν λέπραν,
ὁ υἱὸς αὐτοῦ Ἰωαθὰμ τὴν βασιλείαν διιθύνων ἦν. ἕτερος δὲ
Ζαχαρίας ἦν ὁ τοῦ Ἰωδάε, ὃν Ἰωᾶς κατέλευσε, καὶ ἕτερος
ὁ ἐπὶ τοῦ Ὀζίου. οἶμαι δὲ τοῦτον εἶναι, φησὶ Θεοδώρητος,
περὶ οὗ πρὸς Ἡσαΐαν ἔφη ὁ κύριος „ποίησόν μοι μάρτυρας

1. κατέλευσεν F, κατελίθωσαν margo P. 6. ἱερουργίᾳ? 19. κατέλευσε] κατελίθωσε P.

quam ob causam vates nonnulli ad eum ablegantur, quos inter et Ioiadae pontificis filius Zacharias fuit, quem Ioas rex in parte templi sub dio sita lapidibus adobruit. cum moreretur, huiusmodi verbis usus est (2 Paral. 24 22) „inspicito haec, domine, ac punito." neque petitio ipsius irrita fuit: nam rex in morbum cum incidisset, suis a subditis est interfectus. eius filius Amasias cum regnum occupasset et ope divina victoriam de Idumaeis reportasset eorumque divos evertisset, tandem fatuus homo consecratos religiose coluit et partam victoriam ipsis acceptam retulit. quapropter ei vates quidam denuntiavit statuisse deum Amasiam e medio tollere (2 Paral. 25 16). neque multo post consimili mortis genere quo pater extinctus est.

Celebrant deinde litterae sacrae regem Oziam, nimirum quod dei studiosus et metuens fuerit, quamdiu Zacharias fuerit superstes. ab eo tempore incensus est libidine quadam ingrediundi adyta et suffitum in eis faciendi; quo in conatu a pontifice ac sacerdotibus 80 reprehensus, qui dicerent nequaquam ipsi fas esse suffitum ut istic faceret, cuius rei posteris Aaronis sacerdotibus ius esset, lepra correptus est. cum autem leprae causa domi conclusus delitesceret, Ioathamus ipsius filius regnum administrabat. ac Zacharias hic, qui Ozia regnante vixit, alius fuit ab Ioiadae pontificis filio, quem Ioas rex lapidibus obruit. Theodoritus ait existimare se Zachariam hunc illum ipsum esse, de

πιστοὺς ἀνθρώπους, τὸν Οὐρίαν τὸν ἱερέα καὶ Ζαχαρίαν υἱὸν Βαραχίου."

Ἄχαζ δὲ ὁ τοῦ Ἰωάθαμ πάντας ὑπερενίκησε τῇ ἀσεβείᾳ, ἐφ' ᾧ καὶ πολλὰ κακὰ εὕρατο. καὶ οὐδὲ οὕτω συνῆκεν, ἀλλὰ „ζητήσω" ἔλεγεν „τοὺς θεοὺς τῶν ἐθνῶν τοὺς τύπτοντάς με, καὶ θύσω αὐτοῖς, καὶ ἀντιλήψονταί μου." ἀλλὰ καὶ τοὺς υἱοὺς αὐτοῦ διῆγεν ἐν πυρί. τί δὲ τοῦτό D ἐστιν; ὡς μὲν Ἰώσηπος ἱστορεῖ, ἕνα τῶν υἱῶν αὐτοῦ ὡλοκαύτωσε τῷ Βαάλ. ἐγὼ οἶμαι, φησὶ Θεοδώρητος, τὸ μέχρις ἡμῶν φθάσαν τῆς πλάνης εἶδος ἐντεῦθεν αἰνίττεσθαι. ἅπαξ γὰρ τοῦ ἔτους πυρὰς ὁρῶμεν ἀναπτομένας, καὶ ταύταις τινὰς ὑπεραλλομένους παῖδάς τε καὶ ἄνδρας, ἀλλὰ καὶ βρέφη παραφερόμενα διὰ τῆς φλογὸς ὑπὸ τῶν μητέρων αὐτῶν. ἐδόκει δὲ τοῦτο ἀποτροπιασμός τις εἶναι καὶ κάθαρσις. ταύτην οἶμαι κατὰ τοῦ Ἄχαζ γεγενῆσθαι τὴν κατηγορίαν, ὃν καὶ ἀποθανόντα τιμῆς βασιλικῆς οὐκ ἠξίωσαν.

Ἐζεκίας δὲ ὁ τούτου υἱὸς τὴν ἀκροτάτην κατώρθωσεν P. 193 ἀρετήν, καὶ πάντα ὅσα ἐποίησε Δαβὶδ ὁ πατὴρ αὐτοῦ. σὺν τοῖς ἄλλοις καὶ τὸν χαλκοῦν ὄφιν συνέτριψεν, ὃν ἐποίησε Μωσῆς· ἕως γὰρ τῶν ἡμερῶν ἐκείνων ἦσαν οἱ υἱοὶ Ἰσραὴλ θυμιῶντες αὐτῷ. καὶ ἄλλην πᾶσαν ἐπιμέλειαν ποιεῖται τοῦ

12. ὑπερβαλλομένους F.

quo dominus ad Esaiam verbis hisce mentionem fecerit (Is. 8 2) „adhibeto mihi testes, viros fide dignos, Uriam sacerdotem et Zachariam Barachiae filium."

Post hunc Achazus Ioathami filius impietate cunctos superavit. ac ne sic quidem prudentior factus „quaeram" inquit „deos gentiles, qui me flagellant, eisque sacra faciam, ac impetrabo tandem ut opem mihi ferant." quinetiam liberos suos per ignem traiecit. quid autem istuc verbum sibi quaeso vult? Iosephus tradit Achazum quendam suorum filiorum Baali calido sacrificio concremasse. verum Theodoritus aliter censet. „arbitror," inquit, „hisce verbis significari speciem quandam erroris, qui ad nostra usque tempora duravit. videmus enim semel in anno rogos accendi, quibus iniiciantur pueri quidam et viri. quinetiam infantes ab ipsis matribus per flammam transportantur. quae res videtur esse quasi quaedam averruncatio et lustratio. hanc ob causam Achazum ipse reprehendi putat, quem morte sublatum regio funere sui non cohonestarunt.

At filius ipsius Iezechias summa virtute praeditus fuit, omniaque praestitit quae olim Davides, unus ex maioribus ipsius, praestiterat. inter alia serpentem aheneum a Mose factum attrivit. nam ad illa usque tempora suffitum ei faciebant Israelitae. idem summam templi curam habuit cumque sacerdotes mactandis victimis non sufficerent,

ναοῦ. τότε δὴ τῶν ἱερέων μὴ ἐξαρκούντων εἰς τὰς θυσίας, ὡς ἡ τῶν Παραλειπομένων βίβλος φησί, συνεβοήθησαν καὶ οἱ Λευῖται. ὅπερ καὶ νῦν ἔστιν ἰδεῖν· πρεσβυτέρου γὰρ μὴ παρόντος καὶ τῆς χρείας κατεπειγούσης ἀναγκάζεται καὶ διάκονος προσφέρειν τῷ δεομένῳ τὸ βάπτισμα. τοῦ Σεναχηρεὶμ
B στρατεύσαντος κατ' αὐτοῦ, ἀπέστειλε πρὸς Ἡσαΐαν λέγων „ἡμέρα θλίψεως καὶ ἐλεγμοῦ καὶ παροργισμοῦ ἡ ἡμέρα αὕτη, ὅτι ἦλθον οἱ υἱοὶ ἕως ὠδίνων, καὶ ἰσχὺς οὐκ ἔστι τῇ τικτούσῃ." ἐμπιπράμεθα, φησί, καὶ ἐξαπτόμεθα τῷ θυμῷ τῶν τοῦ Ῥαψάκου βλασφημιῶν ἀκούσαντες· κολάσαι δὲ τοὺς δυσσεβεῖς οὐ δυνάμεθα. ἔλεγε γὰρ ὁ Σεναχηρεὶμ διὰ τοῦ Ῥαψάκου „μὴ ἀπατάτω σε ὁ θεός σου ἐφ' ᾧ πέποιθας." ἀλλ' ὁ θεὸς ἀνελθόντι τῷ βασιλεῖ εἰς τὸν ναὸν καὶ εὐξαμένῳ αὐτίκα στέλλει τὸν Ἡσαΐαν, μηνύων τὰ ἐσόμενα αὐτῷ χρηστά. τηνικαῦτα
C καὶ γὰρ ἔλεγεν „ὑπερασπιῶ τῆς πόλεως ταύτης δι' ἐμὲ καὶ διὰ Δαβὶδ τὸν παῖδά μου." ἵνα γὰρ μὴ νομίσῃ Ἐζεκίας ὅτι διὰ τὴν αὐτοῦ δικαιοσύνην ἡ δέησις αὐτοῦ εἰσηκούσθη, ταῦτα λέγει κύριος. ἐμάθομεν οὖν ἐντεῦθεν ὅτι καὶ τεθνηκότες οἱ δίκαιοι τῶν ζώντων προΐστανται. ὁ μέντοι Ἐζεκίας καὶ τῷ θεῷ ἐθάρρει καὶ τὰ παρ' ἑαυτοῦ συνεισέφερε. καὶ πρῶτον τὰς πρὸ τῆς πόλεως πηγὰς ἐνέφραξεν, ἔπειτα τοὺς πύργους ἀνέστησεν εἰς ὕψος, καὶ προτείχισμα προσῳκοδόμησεν

ut in Omissorum libro narratur (2 Paral. 30 15), Levitas eis operas subsidiarias facere iussit, quod quidem nunc etiam fieri videmus: nam cum senior non adest atque usus ita postulat, etiam diaconus requirenti baptismum impertiri cogitur. cum autem Senacheribus expeditionem adversus ipsum suscepisset, ad Esaiam cum hisce verbis misit (4 Reg. 19 3) „dies angustiae et explorationis et iracundiae hodiernus dies est. nam partus quasi quidam instat, nec matri tantum est virium ut eniti possit." quibus verbis hoc scilicet voluit: ardent animi et ira succensi sunt, ex quo Rapsacis blasphemias audivimus; neque tamen impios homines poenis adficere possumus. iusserat enim Senacheribus ei per Rapsacem dici ne se decipi a deo suo pateretur, cuius ope fretus esset. verum deus progresso in templum regi atque ibi precato vatem Esaiam mox adesse iubet, ac futuram ipsi prosperitatem significat, huiusmodi usus inter alia verbis „propugnabo hanc urbem tam mea quam Davidis famuli mei causa." quae quidem ita divinitus prolata sunt, ne putaret Iezechias orationem suam iustitiae causa, qua praeditus erat, exauditam esse. praeterea licet hinc intelligere iustos homines etiam vita functos viventium patronos agere. caeterum Iezechias et fidebat deo et suam quoque diligentiam adhibebat. primum enim fontes, qui ante urbem erant, obstruxit; deinde turres in altum excitavit, itemque munitionem quandam aliam aedificavit. deinde ac-

ἕτερον. τότε συνέβη καὶ τὰ πρὸς θάνατον μαλακισθῆναι αὐ-
τόν, ὥστε ταπεινωθέντα ἐπιστρέψαι πρὸς κύριον, ὡς ἐν τῇ V. 150
βίβλῳ τῶν Παραλειπομένων ἱστόρηται· „καὶ ἐταπεινώθη” D
γάρ φησιν „Ἐζεκίας ἀπὸ τοῦ ὕψους τῆς καρδίας αὐτοῦ.” τοῦ
γὰρ πατρὸς αὐτοῦ Ἀχὰζ τὴν προφητείαν δεξαμένου „ἰδοὺ
ἡ παρθένος ἐν γαστρὶ ἕξει” αὐτός τε ἐνόμισεν εἶναι ὁ Ἐμμα-
νουήλ, καὶ ὡς εἰς αὐτὸν τὰ τῆς ἐπαγγελίας ἐκβήσεται· ἐφ’
ᾧ παρθενίαν ἀσκῶν γάμοις ὁμιλῆσαι οὐκ ἤθελεν. ἀλλὰ καὶ
τὴν τῶν ἀλλοφύλων ἰδὼν ἀπώλειαν (ὑπ’ ἀγγέλου καὶ γὰρ
ἐν μέσῃ νυκτὶ πέ χιλιάδες ἀνῃρέθησαν) ἐπηύξανε μᾶλλον τὴν
αὐτοῦ ἀπόνοιαν. ἐφ’ ᾧ συνετίζεται παρὰ κυρίου, σήψει πο-
δὸς ὑποβληθείς· σημεῖόν τε δίδωσιν αὐτῷ ὡς οὐκ ἀποθα-
νεῖται οὕτως ἔχων. „ἰδοὺ ἐγὼ στρέφω τὴν σκιὰν τῶν ἀνα- P. 194
βαθμῶν οὓς κατέβη ὁ ἥλιος τοὺς δέκα ἀναβαθμοὺς τοῦ οἴκου
τοῦ πατρός σου.” φασὶ γὰρ τὸν Ἄχαζ ἐκ μηχανῆς τινὸς ἐν
τῷ οἴκῳ αὐτοῦ ἀναβαθμοὺς κατασκευάσαι τινὰς οἷον ὡρολο-
γοῦντας καὶ τὸν τοῦ ἡλίου δρόμον ἐκμετροῦντας. τότε λοι-
πὸν ὁ θεὸς εἰς πίστιν τῶν λεγομένων (προσετέθη γὰρ αὐτῷ
καὶ ἕτερα ζωῆς ἔτη πεντεκαίδεκα) ἀνόπιν ἰέναι ποιεῖ τὴν τοῦ
ἡλίου σκιάν, ἐπειδὴ καὶ ὁ Ἐζεκίας ἀπὸ δυσμῶν τοῦ βίου ἐπὶ
δευτέραν ἀρχὴν ἐπαλινδρόμει ζωῆς· ἐφ’ ᾧ τὸ τοῦ ἡλίου B
σημεῖον, καὶ οὐχ ἕτερον, δίδωσιν ὁ θεός. γίνεται οὖν ἡ

10. πέ F, ρπέ Labbeus.

cidit ut cum praesenti mortis periculo langueret. quamobrem demisso animo semet ad dominum convertit, quemadmodum in Omissorum libro memoriae proditum est (2 Paral. 32 26). Iezechias, inquit, ex imo pectore se demisit. quia enim pater ipsius oraculum acceperat huiusmodi (Isaiae 7 14) „en virgo praegnans erit,” seipsum putarat illum Emmanuelum esse, ac promissionis eventum in se finem habiturum. quapropter virginitatem colens nullo coniugii studio tenebatur. praeterea cum extraneorum interitum conspexisset, ex quibus una nocte 185 milia sunt ab angelo interempta, magis etiam in opinione sua stolida confirmabatur. quapropter a domino ad frugem revocatur, pede sic adflicto ut iam putresceret. sed tamen ei deinde signum quoddam dedit, ex quo se mortem id temporis non obiturum intelligeret. „en” inquit, „ego convertam umbram graduum, quos iam decem sol descendit in iis qui sunt in domo tua paterna gradibus.” tradunt enim Achazum per machinam quandam in domo sua gradus quosdam effecisse, qui horas commonstrarent et solis cursum metirentur. itaque deus ut iis quae praedixerat fidem faceret (adiecturum enim se promittebat ipsius vitae quindecim annos), effecit ut umbra solis retro graderetur, quando etiam Iezechias ipse ab occasu vitae suae ad alterum quasi quoddam vitae principium revertebatur. qua-

ἡμέρα ἐκείνη κατὰ τὸν Ἱππόλυτον τριάκοντα καὶ δύο ὡρῶν·
τοὺς γὰρ δέκα ἀναβαθμοὺς διαδραμὼν ὁ ἥλιος τοὺς αὐτοὺς
πάλιν ἀνέδραμεν, εἶτα τῇ ἰδίᾳ διατάξει χρησάμενος ἐπὶ δυ-
σμὰς ἦλθε τοὺς δώδεκα πάλιν διαδραμών. καὶ οὕτω μὲν ὁ
Ἱππόλυτος, ὁ δὲ πατριάρχης Ἀντιοχείας Εὐστάθιος εἴκοσι
καὶ δύο λέγει γενέσθαι τὴν ἡμέραν ἐκείνην ὡρῶν· ἐν ῥιπῇ
γὰρ ὀφθαλμοῦ λέγειν ἔοικεν, οὐ μὴν ἐν ὥραις δέκα τὸν τοῦ
C ἡλίου γενέσθαι ἀναποδισμόν. οὕτω μὲν οὖν κδ' ὡρῶν ἡ ἡμέ-
ρα ἐκείνη γέγονε, καθ' ἣν ὁ τοῦ Ναυῆ Ἰησοῦς ἐν αὐτῷ τῷ
μεσουρανήματι τὸν ἥλιον ἔστησεν ἡμέρας ὅλης διάστημα·
διὰ γὰρ ἓξ ἀνῆλθεν ὡρῶν, καὶ δι' ὁμοίων αὖθις μέσον τοῦ
οὐρανοῦ. γίνωσκε δέ, ἀγαπητέ, ὅτι οὔτε προηγουμένως ἔστη
ὁ ἥλιος, οὔτε τὸ θαῦμα περὶ μόνον τὸν ἥλιον γέγονεν ἀλλὰ
περὶ αὐτὸν τὸν πρῶτον οὐρανόν· αὐτοῦ γὰρ κωλυθέντος τῆς
πρόσω φορᾶς τῷ θείῳ προστάγματι,, ἀνάγκη πᾶσα στῆναι
καὶ τὸν αὐτῷ συγκινούμενον ἥλιον. καὶ πείθου τῷ μεγάλῳ
D Μαξίμῳ ἐν τοῖς πρὸς Θαλάσσιον οὕτω κατὰ ῥῆμα διεξιόντι
περὶ τούτου. „ἡλίου δὲ καὶ σελήνης δρόμον ἀκώλυτον ἐπέ-
σχε παραδόξως ὁ θεός, τὴν ἀεικίνητον τοῦ παντὸς φύσιν
στήσας ἀκίνητον. ταῦτα δὲ ὁ τῶν ὅλων θαυματουργεῖ θεός,

14. γὰρ] καὶ P.

propter hoc ei de sole signum deus, non aliud dedit. ac diem quidem illum tradit Hippolytus triginta duas horas habuisse: sol enim gradus decem permensus deinceps per eosdem recurrebat, quo facto suum ad cursum ordinarium reversus 12 reliquis gradibus peragratis ad occasum pervenit. haec Hippolyti est sententia. verum Eustathius, Antiochenus ille patriarcha, vult diem illum non habuisse plures quam viginti duas horas. videtur enim ita sensisse, quasi solis retro facta regressio non horis decem sed oculi uno momento acciderit. eodem modo dies ille viginti quattuor horarum fuit, quo Iesus Navae filius in ipso meridie totum diei spatium solem subsistere iussit. nam sol id temporis intervallo sex horarum ad meridiem usque progressus erat, ac totidem horas habuit donec ad occasum perveniret; in ipso autem meridie, quemadmodum diximus, totius diei spatium in medio coeli substitit. debes vero scire hoc loco, dilecte fili, solem principaliter non institisse, nec prodigium ad unum solem referri debere, sed etiam ad primum illud coelum. nam illo per divinum mandatum impedito quominus in motu suo progrederetur, omnino necesse erat solem quoque subsistere, qui una cum ipso movetur. hoc verum esse, velim eximius ille Maximus tibi persuadeat; qui in eis ad Thalassium quae scripsit, hac de re verbis huiusmodi disseruit. deus solis et lunae cursum, qui alias impediri nequit, id temporis nova et inusitata ratione quadam inhibuit, cum naturam universi huius, nunquam non mobilem, motus expertem esse iussit. et fecit profecto deus ille re-

ἵν' ἐντεῦθεν δείξῃ σαφῶς ὡς οὔτε ὅρος οὔτε ἀνάγκη τοῖς
ἄστροις ἐπίκειται, καθάπερ ᾠήθησαν οἱ πολλοί, βλέποντες
ὡσαύτως ἀεὶ κινουμένους αὐτούς. ἵστησι λοιπὸν αὐτούς,
τὴν ἐπὶ πᾶσι προσοῦσαν αὐτῷ παριστῶν ἐξουσίαν, καὶ φέρε-
σθαι αὖθις ἐᾷ κατὰ τὸν ἀρχῆθεν αὐτοῖς ἐπιτεθέντα θε-
σμόν."

Οὐκοῦν ἀποστέλλει πρὸς Ἐζεκίαν Μαροδὰχ ὁ βασιλεὺς P. 195
Βαβυλῶνος τῆς νόσου τε ἕνεκα καὶ τοῦ περὶ τὸν ἥλιον θαύ-
ματος. ἀλλ' ἐκεῖνος τἄλλα πάντα παρεάσας τὸν πλοῦτον αὐτοῦ V. 151
τοῖς πρέσβεσιν ἔδειξεν. ἐφ' ᾧ καὶ τάδε παρὰ Ἡσαΐου τοῦ
προφήτου πρὸς αὐτὸν ἐλαλήθη „ἰδοὺ ἔρχονται ἡμέραι, καὶ
ληφθήσονται πάντα τὰ ἐν τῷ οἴκῳ σου καὶ εἰς Βαβυλῶνα ἀπε-
λεύσονται. καὶ οἱ υἱοί σου, οὓς γεννήσεις, ἔσονται εὐνοῦ-
χοι ἐν τῷ οἴκῳ βασιλέως Βαβυλῶνος." υἱοὺς δὲ λέγει τοὺς
τρεῖς παῖδας σὺν τῷ προφήτῃ Δανιήλ· ἀπόγονοι γὰρ οὗτοι
τοῦ Ἐζεκίου γεγόνασιν. εἴωθεν οὖν ἡ γραφὴ τοὺς ἀπογόνους
ἐπονομάζειν υἱούς, καθὰ δὴ καὶ τὸν Δαβὶδ πατέρα τοῦ Ἐζε- B
κίου καλεῖ· οὐδὲ γὰρ υἱὸς τοῦ Δαβὶδ ὁ Ἐζεκίας, ἀλλ' ἀπό-
γονος πάντως αὐτοῦ. ὁ μέντοι Μαροδάχ, ὡς ἄνωθεν εἴρη-
ται, τοῦ περὶ τὸν ἥλιον χάριν θαύματος πρὸς Ἐζεκίαν ἀπέ-
στειλε· τὸν γὰρ ἀναποδισμὸν αὐτοῦ τοσοῦτον εἶναι λέγει

rum universitatis huiusmodi prodigium ea potissimum de causa, ut luculente declararet neque certae legi neque necessitati sidera esse obnoxia, quemadmodum plerique sunt arbitrati, cum cernerent semper eodem illa modo moveri. quamobrem aliquando ea subsistere iussit, ut potestatem suam in res universas ostenderet; ac deinde rursus eadem ferri motu suo permisit, quem ab initio rerum ipsis praescripserat.

Secundum haec Marodachus rex Babyloniorum ad Ezechiam legatos suos mittit, tum eius morbi causa ex quo convaluerat, tum prodigii quod in sole acciderat. tum caeteris rebus Ezechias omissis et neglectis opes suas legatis ostentat. quamobrem Esaias vates eum verbis huiusmodi compellavit (4 Reg. 20 17) „scito fore tempus cum omnia quae domi tuae sunt, auferentur et Babylonem transferentur. quin et de filiis tuis a te ortis atque genitis sumentur, qui in regis Babyloniorum domo sint eunuchi." quibus in verbis filiorum appellatione veniunt tres illi pueri, quibuscum et Danielus vates fuit: nam illi Ezechiae nepotes ac posteri exstiterunt; et frequens est litteris sacris posteros nepotesque vocare filios, sicut et Davidem Ezechiae patrem nuncupant: atqui non filius Davidis erat Ezechias, sed eius e posteris ortus. caeterum Marodachus alia nulla de causa legatos ad Ezechiam miserat, ut supra quoque indicatum est, quam quod miraculum illud in sole accidisset. nam solis illam regressionem tam

παραδοξότατον ὁ Ἀρεοπαγίτης θεῖος Διονύσιος, ὥστε καθ' ὑπερβολὴν ἐκπλῆξαι τοὺς Βαβυλωνίους καὶ ὡς ἰσοθέῳ τινὶ τῷ Ἐζεκίᾳ καθυποτάξαι αὐτούς.

Μετὰ δὲ Ἐζεκίαν κρατεῖ Μανασσῆς ὁ υἱὸς αὐτοῦ. οὗτος σὺν ταῖς λοιπαῖς αὐτοῦ κακίαις προσεκύνησε καὶ πάσῃ
C τῇ στρατιᾷ τοῦ οὐρανοῦ, τουτέστι τοῖς ἀστράσι, καὶ ἐκληδονίζετο, ἤγουν διὰ λόγων παρετηρεῖτο τὰ ἐκβησόμενα, εἰ καί τινες ἕτεροι κληδόνα λέγουσι τὴν διά τινων ἐπῳδῶν ὁλκὴν τῶν δαιμόνων καὶ καταφοράν· ἐφ' ᾧ καὶ κληδὼν ἐτυμολογεῖται παρ' αὐτοῖς παρὰ τὸ κλῶ τὸ καλῶ. καὶ οἰωνίζετο δὲ πρὸς τοῖς ἄλλοις ὁ Μανασσῆς, ἤγουν τὰς τῶν ὀρνέων πτήσεις παρετηρεῖτο κἀντεῦθεν τοῦ μέλλοντος καταστοχαζόμενος ἦν. καὶ τοῦτό ἐστιν ὅπερ ὁ ποιητὴς Ὅμηρος ἔλεγεν „ἀλλ' ἄγε δή τινα μάντιν ἐρείομεν ἢ ἱερῆα ἢ καὶ ὀνειροπόλον· καὶ
D γάρ τ' ὄναρ ἐκ Διός ἐστιν." πρόσεχε οὖν ὅτι καὶ διὰ τῆς τοιᾶσδε πτήσεως τῶν ὀρνέων καὶ δι' ἥπατος προβάτων καὶ δι' ὀνείρων αὐτῶν ἐδόκουν οἱ παλαιοὶ τὸ μέλλον προορᾶν. καὶ οἱ μὲν ἀρχαιότεροι ἐκεῖνοι, καθάπερ εἴρηται, καὶ πτήσεσιν ὀρνέων καὶ ἄλλοις τοιούτοις, κατά γε δοκοῦν αὐτοῖς, τοῦ μέλλοντος ἐστοχάζοντο.

Ὅτι δὲ τὸ παρατηρεῖσθαι τοιῶσδε ἢ τοιῶσδε κεκώλυται, δῆλον μὲν καὶ ἐξ ἄλλων πολλῶν, οὐχ ἧττον δὲ καὶ ἐξ ὧν ὁ

novam prorsus et inusitatam fuisse tradit Areopagita Dionysius, ut Babyloniis stupori esset, eisque praeberet occasionem ultro se summittendi Ezechiae tanquam homini divino.

Post Ezechiam Manasses eius filius imperio potitur. hic inter alia facinora quae commisit, etiam copias coeli universas adorabat, hoc est sidera et hariolationibus utebatur, hoc est omina de futurorum eventu observabat, quod Graeci κληδονίζεσθαι dicunt. quanquam alii quidam volunt κληδόνα vocari geniorum per excantationes certas attractionem et e sublimi deductionem; qua de causa tradunt eius vocis originem esse a verbo κλῶ, quod idem sit cum καλῶ, significationem evocandi habente. praeterea Manasses auguriis utebatur, hoc est avium volatus observabat, deque illis coniecturas rerum futurarum sumebat. atque hoc illud ipsum est, cuius in hisce versibus mentionem Homerus fecit: „quin vel sacrificium vel vatem arcessimus ultro, vel coniectorem, faciat qui somnia plana. a Iove namque ipso proficisci somnia scimus." nimirum hinc animadvertere potes, existimasse priscos illos homines futurorum cognitionem percipi de tali vel tali avium volatu vel ex pecudum iecinoribus vel ipsis denique somniis.

At vero quod volatus avium, pecudum iecinora somniaque hoc

μέγας διείληφε Βασίλειος. ἐπεξηγούμενος γὰρ τὸ ἐν τῇ κατὰ τῆς Ἰουδαίας δευτέρᾳ ὁράσει τοῦ προφήτου Ἠσαΐου ῥητὸν τὸ κατὰ λέξιν οὑτωσὶ διαλαμβάνον ὅτι ἐνεπλήσθη ὡς τὸ ἀπ' ἀρχῆς ἡ χώρα αὐτῶν κληδονισμῶν, ὡς ἡ τῶν ἀλλοφύλων, P. 196 καὶ τάδε διέξεισιν. ὁρᾷς ἡλίκον κακὸν τὸ κληδονίζεσθαι. ἔξω τῆς παρὰ θεοῦ ἐπιμελείας ποιεῖ τὸν προσέχοντα αὐτῷ. πολλοὶ τῶν Χριστιανῶν ἀδιαφόρως ὠτακουστοῦσι καὶ φήμας θηρῶνται καὶ συμβόλοις προσέχουσιν. ἀλλ' ἄκουε ὅτι ἀπερρίφη ὁ λαὸς ὁ ταῦτα περιεργαζόμενος. πολλαὶ γὰρ ἐκ τοῦ Μωσαϊκοῦ νόμου μαντεῖαι καὶ κληδόνες καὶ οἰωνισμοὶ καὶ ὀρνιθοσκοπίαι διαβέβληνται ὡς δαιμόνων εὑρέματα. 'οὐκ οἰωνιεῖσθε' γάρ φησιν, 'οὐδὲ ὀρνιθοσκοπεῖσθε. τὰ γὰρ ἔθνη, οὓς κύριος ὁ θεὸς ἐξολοθρεύει ἀπὸ προσώπου αὐτοῦ, οὗτοι κληδόνων καὶ μαντειῶν ἀκούσονται. σοὶ δὲ οὐχ οὕτως δέ- B δωκε κύριος ὁ θεός σου.' ἄτοπον γὰρ τὸν ἔχοντα τὴν ἐκ τῶν δικαιωμάτων τοῦ θεοῦ συμβουλὴν πρὸς τὴν ὑπὲρ τῶν πρα- V. 152 κτέων σκέψιν συμβούλους ἑαυτοῦ παραλαμβάνειν τὰ ἄλογα, μᾶλλον δὲ οὐδὲ συμβούλους, ἀλλὰ διδασκάλοις χρῆσθαι καὶ νομοθέταις. καὶ τὸν μὲν ἑαυτοῦ κίνδυνον παρακείμενον καὶ ἐν ὀφθαλμοῖς ὄντα οὐκ οἶδεν ἡ ὄρνις, σοὶ δὲ τὸ μέλλον προαγορεύσει; εἰ δὲ ἀπὸ δαιμόνων ἐνεργείας ἀπατηλῶς περιπέτον-

illove modo observari nefas sit ac prohibitum, cum aliis ex argumentis et indiciis est perspicuum, iisque non paucis, tum ex illis quae magnus noster Basilius est complexus. declarans enim hoc in secunda visione adversus Iudaeos Esaiae (2 6) vatis dictum, cuius haec ipsa verba sunt „referta est regio ipsorum hariolationibus, sicut olim, cum eam extranei possiderent," huiusmodi quaedam subiicit. vides quantum malum sit hariolatio, quod scilicet faciat ut homo ipsi deditus dei cura prorsus excidat. at vero multi Christianorum citra ullum discrimen auribus ostenta captant, omina venantur, animum notis et signis advertunt. sed audi tu, quid hoc loco dicatur, nimirum populum illum reiectum esse qui haec curiose observaverit. etenim complures divinationes, ut hariolationes ominationes auguria, lege Mosaica tanquam malorum geniorum inventa prohibentur. nam exstant haec in ea verba (Deut. 18 10) „non ulla vel omina vel auguria captabitis. quippe nationes istae, quas dominus vestra causa de medio tollit, hariolationibus et aliis vaticiniis utuntur. vobis autem dominus deus ille vester id nequaquam permittit." absurdum enim fuerit, ut qui de praescriptis a deo consilium habere potest, ad considerationem rerum agendarum animalia bruta pro consiliariis adhibeat, immo eis ne pro consiliariis quidem sed magistris et legum quasi latoribus utatur. itidem propositum sibi periculum et ante oculos imminens ignorat avis: tibi vero quod futurum sit indicabit? quodsi

ται, μή μοι καθέζου δεσποτῶν ἀπάταις προσκεχηνώς, μηδὲ C γίνου διαβολικαῖς ἔκδοτος ἐνεργείαις, ὃς ἐπειδὰν ἅπαξ λάβῃ ψυχὴν εὐάγωγον εἰς ἀπώλειαν, πάντα τρόπον αὐτῇ καταχρώμενος οὐκ ἀνίησιν. ἀλλὰ καὶ κράζοντες κόρακες καὶ ἀετοὶ ἀλύοντες δι' ἀπορίαν θήρας τὴν δεισιδαίμονα καρδίαν πτήσσουσι. καὶ τοσαύτη τοῦ ἐχθροῦ εἰς τὸν ἄνθρωπον ὕβρις, ὥστε καὶ γαλῆ παραφανεῖσα καὶ κύων διακόψας καὶ ἄνθρωπος ἐπιφανεὶς ἕωθεν τοὺς ἐντυγχάνοντας πάντη ποιοῦσιν ἐκπλήττεσθαι. τί ἐλεεινότερον τοῦ τοιούτου βίου, πάντα ὑποπτεύειν, ὑπὸ πάντων ἐμποδίζεσθαι, δέον πανταχόθεν τὴν D ψυχὴν αὐτοῦ πρὸς τὸν θεὸν ἐπανάγειν; ὅταν ἴδῃς ὄρνιθας διαπετομένους τὸν ἀέρα, μὴ τὰ σχήματα τῶν πτήσεων περιεργάζου, ἀλλὰ ταῦτα καταλιπὼν τοῦ δημιουργοῦ τὴν ἐπ' αὐτοῖς σοφίαν καὶ διακόσμησιν θαύμαζε, πῶς βάρος τοσοῦτον δι' ἀέρος φέρεται, πῶς ἡ ἁπαλὴ τοῦ ἀέρος φύσις ὄχημα γίνεται τῷ πτερῷ, πῶς τῇ μὲν ἐκτάσει τῶν πτερῶν ἐπινήχονται τῷ ἀέρι, τῇ δὲ οὐρᾷ οἷον πηδαλίῳ τὴν πτῆσιν ἑαυτῶν ἀπευθύνουσι. καὶ τοιαύτη μὲν ἡ σοφία τοῦ θεοῦ· ὁ δὲ μικρόψυχος καὶ ταπεινὰ φρονῶν τὰς τῶν ἀλόγων κινήσεις τῷ ἰδίῳ σκοπῷ συναρμόζειν ἐπιχειρεῖ, καὶ καταλιπὼν τὸν θεὸν δαίμοσιν ἐπιβούλοις ἐκδέδωκεν ἑαυτόν. καὶ περὶ μὲν τούτων οὕτως.

1. δεσμωτῶν ?

aves malorum efficacitate fraudulenta geniorum hinc inde volant, noli horum dominorum, a quibus agitantur, fraudibus inhiando desidere, nec te diabolicis imposturis capi patitor. quippe diabolus ubi semel nactus est animum proclivem ad proprium interitum, omnibus eo modis abuti non desinit. videmus autem crocitantes corvos et aquilas propter inopiam cibi oberrantes cordi superstitioso pavorem incutere. tantaque adeo nostri hostis illius est in hominem petulantia, ut alicunde se offerens mustela vel prospectans canis vel ab ortu adventans homo magnam in eis formidinem excitent in quos forte inciderunt. quid eiusmodi vita miserabilius esse possit, in qua omnia suspecta sint et negotia quaevis ab omnibus impediantur? potius undiquaque noster animus ad deum revocandus est. cum aves aëra pervolantes intueris, noli figuram volatus curiose perscrutari, sed illis rebus omissis declaratam in eis sapientiam creatoris et ordinationem admirare, qui scilicet fiat ut tantum pondus aëre permeet, quo pacto tenera istaec aëris natura volucrum alis pro vehiculo sit, qui per alarum extensionem in aëre natent ac motu caudae ceu clavi cuiusdam volatum suum dirigant. in his enim dei sapientia conspicitur. at homo quispiam pusilli animi et humilia tantum respiciens animalium rationis expertium motus instituto suo accommodare nititur, deoque relicto malis se geniis dedit, qui reapse nihil aliud sunt quam insidiatores. ac de his quidem rebus in hunc modum dictum esto.

Ὁ δέ γε διαληφθεὶς βασιλεὺς καὶ ἐγγαστριμύθους ἐποίησε, P. 197 καὶ γνώστας ἤτοι μάντεις ἐπλήθυνε, καὶ τὸ πάντων ἀνοσιώτερον, ἐν τῷ θείῳ νεῷ τὸ τῆς ἀκολάστου δαίμονος ἔστησεν ἄγαλμα. οὐ μόνον δὲ εἰδώλοις ἐλάτρευεν ἐν ἔτεσι πεντήκοντα καὶ δύο, ἀλλὰ καὶ αἷμα ἀθῷον ἐξέχεεν, εἴτε προφητῶν εἴτε καὶ ἄλλων τινῶν εὐσεβῶν. καὶ αὐτὸν δὲ τὸν Ἠσαΐαν ξυλίνῳ λέγουσι πρῖσαι πρίονι. πλὴν ὥς φησι Γεώργιος, Μαροδὰχ βασιλεὺς Ἀσσυρίων δεσμώτην ἤγαγε τὸν Μανασσῆν, καὶ βαλὼν ἐν φυλακῇ ἄρτῳ πιτυρίνῳ καὶ ὕδατι σὺν ὄξει ἔτρεφεν. ὡς δὲ καὶ ὁ θειότατός φησιν Ἀναστάσιος ἐξ B ἱστορικῶν τινῶν τοῦτο μαθών, καὶ ζωδίῳ χαλκῷ παρὰ τοῦ βασιλέως Βαβυλῶνος ἐμβάλλεται· ἀλλ' ἔνδον τοῦ ζωδίου ὢν ἐπέγνω τε τὸν θεὸν καὶ τὴν ᾠδὴν ἔψαλλεν. ἐφ' ᾧ καὶ δυνάμει θείᾳ διερράγη τὸ εἴδωλον, καὶ ἄγγελος κυρίου κατήγαγεν αὐτὸν εἰς Ἱεροσόλυμα. καὶ ἔζησε τὸ λοιπὸν ἐν μετανοίᾳ, καὶ τὰ προλαβόντα διωρθώσατο. τοσαῦτα δὲ εἰς θεὸν ἐπλημμέλησεν ὡς καὶ τὸν θειότατον Ἀναστάσιον οὕτως εἰπεῖν „εἰ Μανασσῆν ἔσωσεν ὁ θεός, τολμῶ εἰπεῖν ὡς καὶ τὸν διάβολον ἔσωσεν ἄν, εἴπερ ἐπιστρέψαι ἠθέλησεν."

Μετὰ δὲ Μανασσῆν ἐβασίλευσεν Ἀμμὼς ὁ υἱὸς αὐτοῦ. C οὗτος τὴν μὲν πατρικὴν ἀσέβειαν ἐμιμήσατο, οὐ μὴν δὲ τὴν

Caeterum hic ipse rex, quo de agimus, etiam ventriloquos instituit et gnostarum sive divinatorum numerum auxit; quodque omnium maxime impium erat, impudicae deae simulacrum divino in templo statuit. neque tantum deastros religiose coluit totos quinquaginta duos annos, verumetiam sanguinem innoxium tam vatum quam aliorum quorundam piorum hominum fudit. quin et ipsum Esaiam perhibent ab eo serra lignea dissectum esse. sed tandem, ut Georgius auctor est, Marodachus rex Assyriorum Manassem ab se captum et in vincula coniectum abduxit, ac pane de furfure confecto et aqua aceto permista aluit. praeterea divinus ille Anastasius commemorat, accepta haud dubie huiusmodi narratione quibusdam ex historicis, Manassem in animal quoddam aheneum a rege Babylonio conclusum fuisse; in quo deinceps deum agnovit et carmen illud suum cecinit. quapropter divina vi simulacro rupto angelus eum Hierosolyma reduxit, ubi deinceps in anteactorum poenitentia vixit et priora delicta emendavit. tot autem tantaque facinora Manasses patravit, ut divinus ille Anastasius dicere non dubitaverit „si Manassem deus servavit, equidem ausim dicere quod etiam diabolum ipsum servaturus fuerit, si reverti ad deum voluisset."

Post Manassem Amosus filius eius imperium obtinuit. is paternam quidem impietatem est aemulatus, at non poenitentiam. fuerit autem

μετάνοιαν. ἄξιον δὲ ζητῆσαι διὰ τί τοῦ μὲν Μανασσῆ τὴν
ἐπιστροφὴν ἀνέμεινεν ὁ θεός, τοῦ δὲ υἱοῦ αὐτοῦ Ἀμμὼς
V. 153 οὐχί, ἀλλ' ἐθέρισεν αὐτὸν ἔτη δύο βασιλεύσαντα. φησὶ γὰρ
ἡ γραφὴ „καὶ παρελογίσατο Ἀμμὼς λογισμὸν πονηρόν, καὶ
εἶπεν· ὁ πατήρ μου πολλὰ ἐκ νεότητος παρηνόμησε, καὶ ἐν
γήρει μετενόησε. καὶ νῦν ἐγὼ πορεύσομαι καθὼς ἐπιθυμεῖ
ἡ ψυχή μου, καὶ ὕστερον ἐπιστρέψω πρὸς κύριον." διὰ
D τοῦτο οὐκ ἀνέμεινεν ὁ θεός, διότι οὐκ ἐσωφρονίσθη ἀφ' ὧν
ὁ πατὴρ αὐτοῦ πέπονθεν.

Μετὰ τοῦτον Ἰωσίας ὁ ἔγγονος αὐτοῦ. οὗτος τοῦ προγόνου Δαβὶδ ἐκτήσατο τὴν εὐσέβειαν. καὶ πρῶτον μὲν ἐπεμελήθη τοῦ ναοῦ, κατασκάψας πρὸς τοῖς ἄλλοις καὶ τὸν οἶκον ὃν ᾠκοδόμησε Σολομὼν τῇ Ἀστάρτῃ προσοχθίσματι Σιδονίων· ἔπειτα δὲ τῶν ἐν τῷ Δευτερονομίῳ θείων λόγων ἀκούσας καὶ τὴν ἐσθῆτα διέρρηξε καὶ ἐπὶ πλεῖστον ἐθρήνησε. διά τοι τοῦτο καὶ ὁ θεὸς κατὰ μὲν τοῦ λαοῦ καὶ τοῦ ναοῦ τὴν ψῆφον ἐξήνεγκε, τῷ δὲ βασιλεῖ χρηστὰ προηγόρευσεν· „ἀνθ'
P. 198 ὧν" γάρ φησιν „ἤκουσας τῶν λόγων μου καὶ ἡπαλύνθη ἡ καρδία σου καὶ διέρρηξας τὰ ἱμάτιά σου καὶ ἔκλαυσας ἐνώπιόν μου, οὐκ ὄψονται οἱ ὀφθαλμοί σου πάντα τὰ κακὰ ἃ ἐγὼ ἐπάγω ἐπὶ τὸν οἶκον τοῦτον." καὶ τὰ μὲν σκεύη τῶν

pretium operae inquirere quamobrem deus Manassis quidem poenitentiam exspectaverit, sed non itidem filii quoque ipsius Amosi, quem annis duobus regno potitum, ut sacrae litterae loquuntur, instar maturae segetis demessuit. nimirum cogitationem quandam pravam apud animum instituit Amosus, cum secum ita loqueretur „pater meus a puero multa scelerate fecit, ac in senecta poenitentiam egit. quamobrem et ipse hac in aetate pro animi mei libidine me geram, et deinceps ad dominum me convertam." hac igitur de causa deus poenitentiam ipsius non exspectavit, quando paternis calamitatibus nullo modo factus erat melior.

Eum Iosias filius in regno secutus est. is Davidis, sui generis auctoris, pietate praeditus fuit. ac primum quidem templi curam habuit, everso inter alia etiam illo fano quod Solomo Sidoniorum piaculo Astartae condiderat. deinde cum perscripta in Deuteronomio divina oracula ipsi recitata fuissent, non solum vestem suam dilaceravit, sed etiam maximopere lacrymis suam miseriam deploravit. quamobrem deus adversus ipsum quidem fanum atque populum sententiam suam pronuntiavit, verum regi prospera quaeque praedixit. „quoniam" inquit „praeceptis meis auditis cor tuum se demisit, tuque vestimenta tua dilacerasti et coram me lamentatus es, oculi tui cuncta illa mala non adspicient, quibus ego familiam hanc adfecturus sum."

εἰδώλων ἐν τῷ χειμάῤῥῳ τῶν Κέδρων συνέτριψεν, ἐν δὲ τῇ Βαιθὴλ τοὺς τῶν εἰδώλων ἱερέας κατέκαυσε, κατὰ τὴν προφητείαν Ἰωὴλ ἐκείνου τοῦ ἀνθρώπου τοῦ θεοῦ. ἐπὶ μέντοι τῶν χρόνων τοῦ βασιλέως Ἰωσίου, ὥς φησι Γεώργιος, ἐκτίσθη τὸ Βυζάντιον ὑπὸ Βύζου βασιλέως Θρᾴκης.

Ἰστέον ὅτι τρίτον ἐπόρθησε τὴν Ἱερουσαλὴμ ὁ Ναβουχοδονόσορ, ἐπὶ Ἰωακεὶμ Ἰεχονίου, καὶ ὕστερον ἐπὶ Σεδεκίου, B ὥς φησι Γεώργιος. ὁ δὲ Θεοδώρητος Ἰωακεὶμ καὶ Ἰεχονίαν τὸν αὐτὸν εἶναι λέγει, τῷ θειοτάτῳ Ἱερεμίᾳ ἑπόμενος. ὁ δὲ Σεδεκίας κατὰ τὸν μέγαν Ἐπιφάνιον τυφλωθεὶς καὶ εἰς Βαβυλῶνα ἀπαχθεὶς ἐνεβλήθη μύλωνι ἐπὶ ἔτεσιν εἴκοσι καὶ ἕξ, εἰ καὶ ὕστερον ἐτιμήθη. γίνονται οὖν ὁμοῦ τῶν ἐν Ἱερουσαλὴμ βασιλευσάντων ἀπὸ Δαβὶδ ἄχρι Σεδεκίου τὰ ἔτη υϟ᾽ καὶ η᾽, οἱ δὲ βασιλεῖς εἴκοσι καὶ δύο πάντες ἐξ ἑνὸς γένους τοῦ Δαβίδ. οἱ δὲ ἐν Σαμαρείᾳ βασιλεύσαντες ιη᾽, ἀπὸ Ἱεροβοὰμ ἕως Ὠσηέ, ἐφ᾽ οὗ πέπαυται καὶ ἀπώλετο Σαμάρεια ὑπὸ Σαλμανασάρ. ἀντὶ δὲ τῶν Σαμαρειτῶν Ἀσσύριοι ἐκεῖ- C σε κατῴκησαν, ἐξ ὧν οἱ αἱρετικοὶ Σαμαρεῖται καὶ Σαδδουκαῖοι. οὗτοι μὲν οὖν ὑπὸ λεόντων βιβρωσκόμενοι ἐξαπίνης αὐτοῖς ἐμπιπτόντων, καὶ μαθόντες ἀπὸ γερόντων ἀρχαίων τὸν τιμώμενον ἐκεῖσε θεόν, καὶ ὅτι παρ᾽ ἐκείνου τὰ τοιαῦτα πάσχουσι, τὴν τοῦ Μωσέως ἐπικτῶνται πεντάτευχον· καὶ

idem rex simulacrorum vasa in torrentem Cedronem confracta deiecit, et Bethele deastrorum sacrificos concremavit, quemadmodum Ioelus homo divinus futurum vaticinatus fuerat. eiusdem Iosiae regis imperio, quemadmodum Georgius memoriae prodidit, urbs Byzantium a Byzo Thracum rege condita est.

Secundum haec sciendum Hierosolymam a Nabuchodonozore ter spoliatam esse, videlicet regnantibus Ioacimo Iechonia et Sedecia, quemadmodum Georgius scripsit. Theodoritus autem, divinissimum vatem Ieremiam secutus, ex Ioacimo et Iechonia facit unum eundemque regem. Sedecias vero, sicut Epiphanius meminit, effossis oculis Babylonem abductus et in pistrinum coniectus ibidem annos viginti sex contrivit, ac tandem honorifice vicissim est habitus. sunt igitur anni regum, quotquot a Davide ad Sedeciam usque Hierosolymis imperarunt, in unum collecti 498, et reges ipsi viginti duo, Davidici generis omnes. Samariae vero regnarunt 18, ab Hieroboamo usque ad Oseam, sub quo Salmanasar Samariam delevit ac regnum eius evertit, Samaritanorum loco deductis eo coloniis Assyriorum, a quibus ortae sunt Samaritanorum et Sadducaeorum haereses. cum autem a leonibus hi devorarentur subito in ipsos irruentibus, deque senioribus edocti fuissent quinam iis in locis deus antiquitus coli consuevisset, a quo malis eiusmodi adficerentur, quinque Mosis volumi-

*οὕτω τὸν ἀληθινὸν θεὸν ἐπιγνόντες ἀβλαβεῖς τοῦ λοιποῦ διε-
τηρήθησαν, εἰ καὶ εἰς αἱρέσεις ἐντεῦθεν ἐξώκειλαν ἅτε μὴ
κατ' ὀρθὸν λόγον ταῖς ἱεραῖς βίβλοις ἐγκύπτοντες. τὰ δὲ ἔτη
τῶν βασιλευσάντων ἐν Σαμαρείᾳ σν' καὶ γ', ἐκ διαφόρων μὲν
γεγονότων, πάντων δὲ πεποιηκότων τὸ πονηρὸν κατὰ τὴν
D ἁμαρτίαν Ἱεροβοάμ.*

*Τὴν μὲν οὖν ἀπὸ Περσίδος τῶν Ἰουδαίων ἐπάνοδον ἐξη-
γήσατό τε ὁ Ἔσδρας καὶ συνεγράψατο. ἡ δὲ πρόφασις τῆς
ἐπανόδου κατὰ τὸν Ἰώσηπον αὕτη. τρεῖς στρατιῶται φυ-
λάσσοντες τὸν βασιλέα, ἐν οἷς ἦν καὶ Ζοροβάβελ, ἤρισαν ἐν
προβλήματι τεθείσης συμφωνίας αἰτῆσαι τὸν νικῶντα ἅπερ
V. 154 ἂν ἐθελήσει παρὰ τοῦ βασιλέως. τοῦ τοίνυν ἑνὸς εἰπόντος
νικᾶν τὸν οἶνον, καὶ τοῦ ἑτέρου τὸν βασιλέα, ὁ Ζοροβάβελ
εἶπε νικᾶν τὰς γυναῖκας, καὶ ὑπὲρ πάντα τὴν ἀλήθειαν. καὶ
ἐπεὶ ταῦτα εἰρηκὼς νενίκηκε, καὶ ἤκουσεν αἰτήσασθαι ἃ βού-
P. 199 λεται, ἠξίωσεν αὐτὸν ἀφεθῆναι τὴν αἰχμαλωσίαν. ὃ δὴ καὶ
γέγονε· τηνικαῦτα καὶ γὰρ ἐπληροῦντο τὰ ο' ἔτη τῆς θείας
ὀργῆς. καὶ οἱ μὲν οἰκοδομοῦντες τὸν ναὸν ἦσαν Ζοροβάβελ
καὶ Ἰησοῦς ὁ τοῦ Ἰωσεδέκ, οἰκοδομηθῆναι δὲ ὁ τοιοῦτος
ἔφθασε ναὸς τὴν δευτέραν ταύτην οἰκοδομὴν ἐν χρόνοις μς'
διὰ τὸ παρὰ τῶν γειτονούντων ταύτην κωλύεσθαι· ἡ γὰρ
πρώτη ἐν χρόνοις εἴκοσι ἐγένετο παρὰ Σολομῶντος, ὡς Ἔσδρας*

8. τε] τότε P.

na receperunt, eoque modo agnito vero numine nihil ab eo tempore mali perpessi sunt, quanquam in sectas quasdam deinceps etiam exorbitarunt, ut qui recta ratione libros sacros non inspicerent ac pervolverent. anni autem illorum qui Samariae regnarunt sunt 253, ac fuerunt hi diversis orti familiis, et omnes ad exemplum Hieroboami se impie gesserunt.

Iudaeorum autem e Perside reditum scriptis libris Esdras est complexus. eius autem reversionis haec fuit occasio, sicuti Iosephus quidem memoriae prodidit. tres milites, satellites regii, quorum erat in numero Zorobabelus, contendebant inter sese per occasionem pacti conventi, ut qui vicisset, potestatem haberet a rege petendi quicquid vellet. cum igitur unus dixisset vincere vinum, alter regem, Zorobabelus feminas vincere statuit, ante omnia vero veritatem. quod verbum ubi protulisset, victoriam caeteris eripuit petereque iussus est quod lubuisset. tum ille nationem suam captivam in libertatem restitui postulavit, idque continuo factum est: quippe tum etiam 70 illi anni divinae irae completi erant. exstruebant autem deinceps Hierosolymitanum templum Zorobabelus et Iesus Iosedeci F. neque perfici secunda istaec structura potuit ante annum quadragesimum sextum, quod a finitimis nationibus impediretur. prior vero intra vigesimum

ἱστορεῖ. καὶ τὴν μέντοι ἀπὸ Βαβυλῶνος τῶν Ἰουδαίων ἐπάνοδον, καὶ μὴν καὶ τὴν τῶν νεκρῶν παγκόσμιον ἀνάστασιν αἰνιττό- B μενος ὁ θεὸς ὑπέδειξε τῷ Ἰεζεκιὴλ πεδίον πλῆρες ὀστῶν νεκρῶν, ἃ παραδόξως ἐζωογονήθησαν. ὁ μὲν οὖν Ἔσδρας εὐφυὴς ὢν προσεκόμισε τότε τὸν νόμον, καὶ ἀνέγνω, καὶ ὑπετύπωσε πάντα τὰ κατὰ τὸ ἱερόν, καὶ τοὺς λαβόντας ἀλλογενεῖς γυναῖκας ἐν τῷ καιρῷ τῆς αἰχμαλωσίας ἐκβαλεῖν πεποίηκε. καὶ οὕτω πάντες καθαρισθέντες ἐποίησαν τὸ πάσχα. ἀλλὰ καὶ αὖθις γυναῖκας ἑωρακὼς Ἀζωτίους Ἑβραίοις ἐπιμιγείσας, καὶ θρηνήσας, ἔπεισε τὸν λαὸν ταύτας ἐκβαλεῖν ὡς γάμον παράνομον. λέγεται δὲ καὶ τοῦτο, ὡς εἰ μὴ ἦν ὁ Ἔσδρας, οὐκ C ἂν οὐδὲ ἓν βιβλίον διά γε τὴν τῶν Ἰουδαίων ῥαθυμίαν καὶ τὴν πολυχρόνιον αἰχμαλωσίαν μέχρι τοῦ νῦν διεσώζετο. προσσχεῖν δὲ ἄξιον καὶ τῷ μεγάλῳ Κυρίλλῳ ἐν τοῖς κατὰ Ἰουλιανοῦ καὶ τάδε περὶ τούτου διειληφότι. ἐπεὶ δὲ πρὸς τὴν ἐνεγκοῦσαν ἀπεκομίζοντο οἱ Ἰουδαῖοι καὶ νόμῳ τῷ διὰ Μωσέως παιδαγωγεῖσθαι πάλιν ἐσπούδαζον, τότε δὴ τότε παρ' αὐτοῖς ἐδέχετο σκῆπτρον Ζοροβάβελ ὁ τοῦ Σαλαθιὴλ ἐκ φυλῆς Ἰούδα, ὥστε εἰ καὶ καταλῆξαί φησιν ὁ παράφρων εἰς Σεδεκίαν τὴν τοῦ Δαβὶδ βασιλείαν, ματαιάζειν ἔοικε προφανῶς, εἴγε μετὰ τὸν τῆς αἰχμαλωσίας καιρὸν τοῖς τῆς βασι- D λείας θώκοις ὁ Ζοροβάβελ ἐνιδρυμένος ἐφαίνετο. οὗτος μὲν

annum a Solomone absoluta fuerat, ut Esdras commemorat. caeterum exemplo quodam declarare volens deus non modo Iudaeorum e Babylone reditum sed etiam universalem ex mortuis resurrectionem, Iezechielo campum ossibus cadaverum plenum ostendit, quae novo et inusitato modo vitam recuperabant. Esdras autem, vir praestantis ingenii, legem id temporis protulit, eaque recitata templi structuram universam lineis deformavit. effecit etiam ut quicunque peregrinas uxores durante captivitate duxissent, excluderentur; quo pacto lustratis omnibus pascha celebratum est. cumque rursum vidisset Ebraeos quosdam cum Azotiis mulieribus consuescentes, deplorato malo auctor populo fuit ut earum coniugio tanquam illegitimo valedicerent ipsasque feminas repudiarent. hoc quoque memoriae proditum est, quod absque hoc viro fuisset, ne unum quidem librum sacrum habituri essemus, ob Iudaeorum negligentiam diuturnamque captivitatem. animadvertendum hoc etiam, quod eximius ille Cyrillus in libris adversus Iulianum scriptis exposuit. posteaquam, ait, in patriam suam Iudaei reversi fuissent, seque rursus ad praescriptum legis a Mose traditae magno studio conformare coepissent, Zorobabelus Salathieli F. ex Iudaica tribu regnum apud eos occepit. quapropter cum vesanus ille Iulianus regnum Davidis in Sedecia finem habuisse dicit, palam delirat, quando post captivitatis tempus in regio solio Zorobabelus con-

οὖν παρέπεμψε τὸ σκῆπτρον διὰ τῶν ἐφεξῆς μέχρι τῆς Ἡρώ-
δου βασιλείας, ὃς μητρὸς μὲν γέγονεν Ἰουδαίας, ἀλλογενοῦς
δὲ πατρός. ἐκλελοιπότων γὰρ οὕτω τῶν ἐκ τῆς Ἰούδα φυ-
λῆς τὸ ἄρχειν λαχόντων ἐγεννήθη ὁ Χριστός· ὃς καὶ γέγο-
νεν ἐθνῶν προσδοκία. οὗτος μὲν οὖν, ὁ διαληφθεὶς δηλονό-
τι Ἡρώδης, τῷ Αὐγούστῳ συμμαχήσας Καίσαρι μετὰ τῶν
οἰκείων ἀναλωμάτων, ἡνίκα κατὰ Κλεοπάτρας ὥρμησε, τὸ
βασιλεύειν ἐν Ἰουδαίᾳ ὥσπερ τι παρ' ἐκείνου φιλοτίμημα
ἔλαβε. καὶ περὶ μὲν τούτων οὕτως.

P. 200 Τοῦ Ναβουχοδονόσορ δὲ μεγαλαυχοῦντος καὶ μεγαλορ-
ρημονοῦντος ἐφ' ᾗ πόλει παγκάλῳ ἔκτισε, φωνὴ γέγονεν
ἐξ οὐρανοῦ λέγουσα „Ναβουχοδονόσορ, ἡ βασιλεία σου
παρῆλθεν ἀπὸ σοῦ, καὶ ἀπὸ τῶν ἀνθρώπων ἐκδιώξου-
σί σε, καὶ μετὰ θηρίων ἡ κατοίκησίς σου, καὶ χόρτον
ἀγροῦ ψωμιοῦσί σε. καὶ ἑπτὰ καιροὶ ἀλλαγήσονται ἐπὶ σέ,
ἕως οὗ γνῷς ὅτι κυριεύει ὁ ὕψιστος τῆς βασιλείας τῶν ἀν-
θρώπων. καὶ αὐτῇ τῇ ὥρᾳ ταῦτα συνετελέσθησαν, καὶ σὺν
τοῖς ἄλλοις ἐμεγαλύνθησαν αἱ τρίχες αὐτοῦ ὡς λέοντος καὶ
B οἱ ὄνυχες ὡς ὀρνέου." ταῦτα δὲ πέπονθεν ἅτε μεγαλαυχή-
lunca sed domo quadam Christum a Magis adoratum esse. nimirum divinus ille vir occasione de verbis evangelii per Matthaeum conscripti (Matth. 2 11) sumpta, quae de Magis ita loquuntur „ingressi domum ibidem cum matre Maria puerum viderunt," scribit consentaneum esse, post id temporis quo editus in lucem dominus in praesepi reclinatus fuerit, inventam fuisse domum quandam in qua Magi eum venerarentur. adeoque palam Theophylactus indicare videtur Magos Christum in antro illo non conspexisse quo praesepe continebatur. verum Chrysostomus inter se tam ea quae de domo dicuntur quam quae de praesepi concilians, ubi primum, inquit, mater eum peperisset, in praesepi reclinavit. quippe quod magnae hominum copiae census causa confluxissent, domum invenire non potuerant. eius rei testem citat Lucam, qui verbis hisce idem innuerit (2 7) „quia in diversorio locus non esset, in praesepi eum reclinavit." atque inde post eum sublatum in genua collocavit. idem in earum orationum sexta quibus evangelium Matthaei explanavit, in hunc modum de Magis loquitur „cum tugurium et praesepe et fasciis involutum puerum et matrem pauperem cernerent, quodnam, obsecro, regni signum videbant?" et paulo post „quonam" inquit „pacto (dic mihi) stella tam artum praesepis et tugurii locum indicabat, si non relicto sublimi se demisit et supra caput ipsius pueri constitit?"

ἔστη τῆς κεφαλῆς τοῦ παιδίου;" καὶ μετὰ ταῦτα „ἐπεὶ οὖν ἤγαγε καὶ ἐχειραγώγησε, καὶ πρὸς τὴν φάτνην ἔστησεν, οὐκέτι δι' ἀστέρος ἀλλὰ δι' ἀγγέλου λοιπὸν αὐτοῖς διαλέγεται." καὶ ἐν τῇ ὀγδόῃ δὲ ὁμιλίᾳ κατὰ λέξιν οὕτω φησὶ περὶ τῶν Μάγων „ἀλλὰ τί τὸ πεῖσαν αὐτοὺς προσκυνῆσαι; οὔτε γὰρ ἡ παρθένος ἐπίσημος ἦν οὔτε ἡ οἰκία περιφανής." καὶ μετ' ὀλίγα „οὐδέν τι τῶν αἰσθητῶν μέγα ἐκεῖ, ἀλλὰ φάτνη καὶ καλύβη καὶ μήτηρ πτωχή, ἵνα γυμνὴν τῶν Μάγων ἴδῃς τὴν P. 211
φιλοσοφίαν." μάνθανε οὖν ἐντεῦθεν ὅτι καὶ οἰκίαν καὶ καλύβην τὸ σπήλαιον ὁ χρυσορρήμων ἐκάλεσεν, ἔνθα καὶ ἡ φάτνη. μὴ οὖν ἔνθεν κἀκεῖθεν περιπλανάσθω σου ἡ διάνοια, τῷ χρυσορρήμονι δὲ πρόσεχε μᾶλλον, ὅτι καὶ σάλπιξ οὗτος χρυσήλατος τοῦ παναγίου κεχρημάτικε πνεύματος.

Γεννᾶται οὖν, ὡς εἴρηται, ὁ Χριστός, κἀντεῦθεν ὀκταήμερος περιτέμνεται, ἐν τῷ ναῷ προσάγεται μεθ' ἡμέρας μ'. „καὶ ἐπλήσθησαν" γάρ φησιν „αἱ ἡμέραι τοῦ καθαρισμοῦ κατὰ τὸν νόμον Μωσέως, καὶ ἀνήγαγον τὸ παιδίον εἰς Ἱεροσόλυμα," κατὰ τὸν οὕτω λέγοντα νόμον „ἐὰν σπερματισθῇ B
γυνὴ ἀπὸ ἀνδρὸς καὶ τέκῃ παιδίον ἄρρεν, ἀκάθαρτος αὕτη μενέτω ἡμέρας μ', ἐὰν δὲ θῆλυ τέκῃ παιδίον, ἡμέρας π'." διὰ τί δὲ καὶ τίνος ἕνεκεν ταῦτα; ὁ ἐμπρόθεσμος οὗτος τῆς ἀκαθαρσίας καιρὸς διπλασίων ἐδόθη τῇ μητρὶ τοῦ θήλεως;

rursum post haec „ubi iam adduxisset eos ac iuxta praesepe stitisset, non amplius per stellam sed per angelum eos deinceps alloquitur." itidem in oratione octava de Magis ad verbum haec tradit „quid tandem eis persuasit ut puerum summissime venerarentur? nec enim virgo speciem quandam illustrem prae se ferebat, nec domus erat splendida." et paulo post „nihil istic magnum et insigne conspiciebatur, ex iis quidem rebus quae sensu percipiebantur, sed tantum praesepe ac tugurium materque paupercula, ut nimirum hinc nudam Magorum philosophiam agnoscas." de quibus omnibus animadvertas licet, Chrysostomum id loci quo praesepe continebatur, et domum et tugurium et speluncam appellasse. quamobrem hinc inde mens tua non obvagetur, sed oratori huic aureo fidem habeat, qui tuba sancti spiritus fuit, ex auro solido ducta.

Postquam hoc quo diximus modo Christus natus fuisset, octavo deinceps die circumciditur, et post 40 dies in templum deportatur. sic enim perscriptum legimus (Luc. 2 22) „completis purificationis diebus, ex lege Mosis, puerum Hierosolymam tulerunt." lex autem illa huiusmodi est (Levit. 12) „si mulier e viro concepto semine marem pepererit, polluta esto 40 dies, sin feminam ediderit, dies 80." quamobrem quaeso ita sunt haec instituta? et cur tempus hoc pollutioni praescriptum matri femellae duplicatur? Theodoritus hac

ὁ μὲν οὖν Θεοδώρητος οὕτως εὕρηται περὶ τούτων διεξιών, ὅτι τὰ τῆς τοιαύτης ἀκαθαρσίας ἀναπαύσεως χάριν ἐνομοθετήθη ταῖς γυναιξί, βαρυνομέναις δῆθεν τῷ τῆς ἐγκυμονίας καιρῷ· διὰ γὰρ τοῦ φόβου τῆς ἀκαθαρσίας ἀναχαιτίζει τοὺς ὁμοζύγους ὁ νόμος, καὶ πείθει τηνικαῦτα ταῖς γαμεταῖς αὐτῶν μὴ προσέρχεσθαι. καὶ ἐπειδὴ τὸ θῆλυ μείζονι καθυπο-
C βάλλει ἀχθηδόνι τὴν αὐτὸ φέρουσαν (λέγεται γὰρ ὅτι τάχιον ἐν τῇ γαστρὶ σκαίρει τὸ τοιοῦτον ἢ τὸ ἄρρεν), τούτου χάριν ὁ τῆς ἀκαθαρσίας καιρὸς διπλασίων ἐδόθη ταῖς τικτούσαις τὰ θήλεα, ὡς ἐντεῦθεν αὐτὰς διπλασίω κεκτῆσθαι καὶ τὴν ἀνάπαυσιν. καὶ τὰ μὲν τοῦ Θεοδωρήτου τοιαῦτα· ὁ δὲ θειότατος Κύριλλος ἐν ἡμέραις μὲν εἰδοποιεῖσθαι τὸ ἄρρεν φησὶ μ', τὸ θῆλυ δ' αὖ ἡμερῶν π' δέεσθαι πρός γε τὴν εἰς εἶδος τὸ ἀνθρώπινον πάροδον. καὶ ἐπειδὴ τὸ μὲν ἄρρεν καθαρισμοῦ χάριν ἐν ἡμέρᾳ τῇ τεσσαρακοστῇ τὸ δὲ θῆ-
D λυ τῇ ὀγδοηκοστῇ προσεφέρετο τῷ ναῷ, φαίνεται πάντως ὅτι καθάρσεως ἡ τοιαύτη πλάσις δέεται παρὰ θεοῦ. καὶ οὕτω μὲν οἱ θεῖοι περὶ τούτου πατέρες· ἡ δὲ λεγομένη Λεπτὴ Γένεσις, οὐκ οἶδ' ὅθεν συγγραφεῖσα καὶ ὅπως, φησὶν ὅτι μεθ' ἡμέρας μ' εἰσῆλθεν ὁ Ἀδὰμ εἰς τὸν παράδεισον, ἡ δὲ Εὔα μεθ' ἡμέρας π', καὶ τούτου χάριν ἐν ἡμέραις τοσαύταις προσάγονται τῷ ναῷ τό τε ἄρρεν καὶ τὸ θῆλυ, ἀναλόγως τάχα τῷ Ἀδὰμ καὶ τῇ Εὔᾳ. ἀλλ' ἄφες αὐτήν· ἡ γὰρ

de re in hunc modum disserit, nimirum pollutionis hoc tempus requietis causa praescriptum esse mulieribus, uti quae magnopere graventur dum uterum gerunt. quippe metu inquinationis lex maritos retrahit, neve suas uxores id temporis adeant suadet. et quia feminea soboles matrem molestia maiori adficit (aiunt enim hanc citius in utero se movere quam marem), iccirco femellas parientibus duplum pollutionis templum est praescriptum, ut hac ratione duplo quoque longiorem requietem haberent. haec Theodoriti est sententia. divinus autem vir ille Cyrillus ait marem intra dies 40 formam suam consequi, femellam vero dies 80 ad humanae formae expressionem requirere. et quia mascula soboles purificationis causa die quadragesimo, femina vero octogesimo ad templum deferebatur, apparet omnino per haec significari quod huiusmodi formatio purgatione, quae divinitus fiat, indigeat. sic divini patres hac de re disseruerunt. caeterum liber ille qui parva Genesis dicitur, haud scio cuius auctoris, Adamum quidem ait post 40 dies paradisum esse ingressum, Evam vero post 80; eaque de causa post totidem dies tam mares quam femellas in templo sisti. verum tu mihi librum hunc missum facito. nam vera Mosis historia monstrat deum die sexto Adamum

τοῦ Μωσέως ἀληθὴς ἱστορία δείκνυσιν ὅτι τῇ ἕκτῃ ἡμέρᾳ τὸν Ἀδὰμ ἔπλασεν ὁ θεός, καὶ ἔθετο αὐτὸν εὐθέως ἐν τῷ παραδείσῳ· καὶ τὴν Εὔαν ὡσαύτως ἐν αὐτῷ πλάττει τῷ παραδείσῳ ἐν τῇ ἕκτῃ ἡμέρᾳ, μίαν τῶν πλευρῶν λαβὼν τοῦ Ἀδάμ· μετὰ γὰρ τὴν ἕκτην ἐποίησεν οὐδέν.

Ἀνήγαγον οὖν εἰς Ἱεροσόλυμα τὸν Ἰησοῦν, ὡς προείρηται, V. 164
τῷ Μωσαϊκῷ νομῷ καὶ αὐτὸν ὑποκείμενον. μετὰ μέντοι τὸ P. 212
ἀναχθῆναι τὸν Ἰησοῦν εἰς Ἱεροσόλυμα, καθά φησιν ὁ τὴν γλῶτταν χρυσοῦς, φεύγει πρὸς Αἴγυπτον. ἐκεῖθεν εἰς Ναζαρὲθ ἔρχεται, κἀκεῖ τὴν σωματικὴν αὔξησιν δέχεται. ὡσεὶ ἐτῶν λ' γίνεται, καθά φησιν ὁ θεηγόρος Λουκᾶς, πρὸς Ἰορδάνην πορεύεται, παρὰ Ἰωάννου τὸ βάπτισμα δέχεται. τότε δὴ τότε καὶ τοῖς ἀγνοοῦσι γνώριμος γίνεται· εἰ μὴ γὰρ ἄγνωστος παντάπασιν ἦν, οὐκ ἂν ὁ πρόδρομος τοῖς ἀπεσταλμένοις πρὸς αὐτὸν ἱερεῦσι καὶ Λευίταις ἔλεγεν „ἰδοὺ μέσος ὑμῶν ἕστηκεν, ὃν ὑμεῖς οὐκ οἴδατε.“ ὁ πατὴρ ἄνωθεν διὰ τοῦ παναγίου πνεύματος αὐτὸν ὑποδείκνυσι. καὶ πρόσχες τῷ βαπτιστῇ λέγοντι B
„ἐγὼ οὐκ ᾔδειν αὐτόν, ἀλλ' ὁ πέμψας με βαπτίζειν ἐκεῖνός μοι εἶπεν 'ἐφ' ὃν ἂν ἴδῃς τὸ πνεῦμα κατερχόμενον, ἐκεῖνός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός.'“ εὔδηλον οὖν ἐντεῦθεν ὅτι πρὸ τῆς ἐν Ἰορδάνῃ ἐπιφανείας αὐτοῦ κατάδηλος οὐκ ἦν οὐδενί· εἰ γὰρ τοῦτο ἦν, οὐκ ἂν αὐτὸς ὁ πρόδρομος ἔλεγεν „ἐγὼ διὰ τοῦτο ἦλθον βαπτίζων ἐν ὕδασιν, ἵνα φανερωθῇ

finxisse, ac mox in paradisum collocasse. consimiliter Evam die sexto de Adami costa, quam sumpserat, formatam sexto item die in paradisum collocat. et quidem post sextum hunc diem nihil amplius condidit.

Igitur, ut diximus, Hierosolymam Iesus defertur tanquam et ipse Mosaicae legi subiectus. post id temporis vero, quemadmodum Chrysostomus censet, in Aegyptum fugit, ac inde Nazaretam revertitur, ubi corporis incrementum accipit. annos autem, ceu Lucas (3 23) indicat, triginta iam natus ad Iordanem se confert et a Iohanne baptissatur. atque hoc tempore cunctis innotescit, incognitus antea. nam nisi plane fuisset incognitus, non vates ille sacerdotibus ac Levitis ablegatis ad se dixisset „en medius inter vos versatur, quem vos ignoratis.“ deinde pater eum coelitus per spiritum sanctum commonstrat. atque heic mihi vide quid ipse Baptista dicat. „equidem“ ait „non noram ipsum; verum qui me ad baptissandum ablegavit, is mihi dixit: in quem spiritum sanctum descendere videris, ille mihi carissimus est filius.“ de quibus sane verbis admodum perspicuum est ante ipsius ad Iordanem adventum nemini Christum fuisse notum. quippe si notus fuisset, praecursor ille non dixisset se ve-

τῷ Ἰσραήλ," καὶ αὖθις „κἀγὼ ἑώρακα, καὶ μεμαρτύρηκα τῇ ἀληθείᾳ, ὅτι αὐτός ἐστιν ὁ υἱὸς τοῦ θεοῦ." ἀλλὰ καὶ τὸ πνεῦμα τὸ ἅγιον, ἀγαπητέ, διὰ τοῦτο κατῆλθεν ἐπὶ τὸν Ἰησοῦν, ἵνα μή τις νομίσῃ ὅτι χάριν τοῦ βαπτιστοῦ κατηνέ-
C χθη ἄνωθεν ἡ πατρικὴ καὶ θεία φωνή, εἴγε καὶ μᾶλλον ἐκεῖνος μείζων ἐδόκει τοῦ βαπτιζομένου· καὶ ἀρχιερέως γὰρ ἦν υἱὸς καὶ ἐκ στείρας γεγέννηται, καὶ μᾶλλον ὅτι τὸν Ἰησοῦν αὐτὸς ἐβάπτιζεν ὡς ἕνα τῶν πολλῶν ἐκεῖσε παραγενόμενον. οὐδέπω καὶ γὰρ δῆλα γενέσθαι τὰ κατ' αὐτὸν ἔφθασεν, ὡς ὁ χρυσορρήμων Ἰωάννης ἐν τῇ εἰς τὸ κατὰ Ματθαῖον δωδεκάτῃ αὐτοῦ ὁμιλίᾳ φησίν.

Εἰ δὲ ταῦτα οὕτως ἔχει, εἰ πρὸ τοῦ βαπτισθῆναι παντάπασιν ἄγνωστος ἦν, τὰς εὑρισκομένας ὁπουδήποτε λοιπὸν ἱστορίας, περί τε τοῦ ὕδατος δηλαδὴ τοῦ ἐλεγμοῦ καὶ περὶ τῆς ἀρχιερωσύνης αὐτῆς, ἣν λέγουσι παρὰ τῶν Ἰουδαίων δέξασθαι τὸν Χριστόν, ὡς οὐδὲν ἡγοῦ καὶ ἀπόρριπτε. εἰ
D γὰρ τοιοῦτόν τι γενέσθαι προέφθασεν, οὐκ ἂν ὁ εὐαγγελιστὴς Ἰωάννης ἔλεγε „ταύτην ἐποίησε τὴν ἀρχὴν τῶν σημείων ἐν Κανᾷ τῆς Γαλιλαίας, καὶ ἐφανέρωσε τὴν δόξαν αὐτοῦ, καὶ ἐπίστευσαν οἱ μαθηταὶ αὐτοῦ εἰς αὐτόν." εἰ γὰρ καὶ περὶ τὸ δωδέκατον ἔτος τῆς κατὰ σάρκα ἡλικίας αὐτοῦ ἀνῆλθεν εἰς τὸ ἱερόν, καὶ ἐνεφάνισε δῆθεν ἑαυτόν, ἀλλ' οὐ τὴν

13. τὰς] εἰ τὰς P.

nisse propterea baptissatum aqua, ut Israelicis Christus innotesceret. idem rursus ait „vidi ego, veritatique testimonium perhibui, eum dei filium esse." spiritus etiam sanctus, dilecte fili, propterea descendit in Iesum, ne quis existimaret Baptistae causa paternam divinamque vocem illam coelitus auditam esse, quanquam is baptissato longe maior esse videretur. nam et patre pontifice natus fuerat, et matrem habuerat antea sterilem; denique maximum illud erat, quod Iesum ipse baptissaret, qui tanquam unus ex multis eo venerat. etenim necdum ipsius condicio et status mortalibus nota erant, quemadmodum Iohannes ille Chrysostomus ait in orationum illarum quibus Matthaei declaravit evangelium duodecima.

Quae cum ita sint, cumque prorsus ante baptismum ignotus fuerit, historias illas, ubicunque tandem eas repereris, nimirum de aqua explorationis deque pontificatu, quem a Iudaeis Christo delatum esse perhibent, flocci plane facito proque reiecticiis ducito. nam si quid eiusmodi ante contigisset, Iohannes evangelista non dixisset (2 11) „hoc miraculorum initium Canae in Galilaea Iesus praebuit, suamque maiestatem declaravit, et ipsius discipuli fidem ei habuerunt." etenim quanquam id quoque temporis, cum duodecim natus

οἰκείαν θεότητα κατάδηλον ἐντεῦθεν ἐποίησεν, ὅτι μηδὲ σημεῖον ἐκεῖσε τηνικαῦτα εἰργάσατο, μόνην δὲ τὴν ἐπικαθημένην τοῖς αὐτοῦ χείλεσι χάριν ὑπέδειξε καὶ ἔκτοτε πάλιν ἑαυτῷ συνεσκίασεν, ὡς ὁ χρυσοῦς τὴν γλῶτταν ἐν τῇ κατὰ Ἰωάννην ἑρμηνείᾳ φησίν.

Μετὰ δὲ ταῦτα, ἤγουν μετὰ τὸ βάπτισμα καὶ τὸ ἐν P. 213
Κανᾷ σημεῖον, ἐκλέγεται μαθητὰς δυοκαίδεκα τὸν ἀριθμόν, ἀπόρους δὲ πάντας καὶ ἰδιώτας, ἁλιεῖς, ἀγραμμάτους καὶ τῆς μερίδος ὄντας τῶν ἀφανῶν. διὰ τί δὲ ταῦτα καὶ τίνος ἕνεκεν; ἵνα τὸ δι' αὐτῶν κατορθούμενον τῇ τοῦ θεοῦ δυνάμει καὶ σοφίᾳ λογίζηται. καὶ τοῦτό ἐστιν ὅπερ ἔλεγε πρὸς Παῦλον ὁ κύριος „ἀρκεῖ σοι ἡ χάρις μου· ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται." καὶ ὁ μὲν ἀληθὴς λόγος πτωχείαν καὶ ἰδιωτείαν λέγει προσεῖναι τοῖς μαθηταῖς τοῦ Χριστοῦ· Ἐπι-

8. πάντῃ FM. 14. post Χριστοῦ F: ὁ μέντοι καλοσκέπαστος ὁ μεταφραστὴς ἐν τῷ παρ' αὐτοῦ συγγραφέντι μαρτυρίῳ τῶν ἁγίων ἀποστόλων Βαρτολομαίου καὶ Βαρνάβα φησὶ ταῦτα. ἄρτι δὲ τὸν παράλυτον ὁ σωτὴρ ἰασάμενος κατὰ τὴν προβατικὴν εἶχε θεατὴν τοῦ θαύματος τὸν Βαρνάβαν· διὸ καὶ πρὸς τὰ βάθη τῆς καρδίας ἀποβλεψάμενος καὶ λόγου μετέδωκε καὶ παρρησίας τῆς πρὸς αὐτόν. ὁ τοίνυν Βαρνάβας τὴν οἰκίαν Μαρίας τῆς μητρὸς Ἰωάννου, ὃς Μάρκος ἐπελέγετο, καταλαβὼν (θείαν δὲ τούτου ταύτην εἶχεν ὁ λόγος) φησὶ πρὸς αὐτήν „ὁ μέλλων ἔρχεσθαι, ὃν ἐπεθύμουν ἰδεῖν οἱ πατέρες ἡμῶν, ἰδοὺ παραγέγονε." καὶ ἅμα καταλιποῦσα πάντα κατέλαβε τὸν ναόν, καὶ τῷ Χριστῷ προσπεσοῦσα πρὸς τὸν οἶκον αὐτῆς εἰσελθεῖν αὐτὸν παρεκάλει. καὶ δὴ καὶ ἀφίκετο. καὶ ἔστιν οὗτος ἐν ᾧ τὸ πάσχα μετὰ τῶν μαθητῶν ἐπετέλεσε. λόγος δὲ ἄνωθεν εἰς ἡμᾶς καταβέβηκεν ὡς κεράμιον βαστάζων τοῦ ὕδατος, ᾧ κατακολουθεῖν ὁ Χριστὸς τοὺς μαθητὰς ἐπέτρεψε, Μάρκος ἦν ὁ σοφός, ὁ τῆς

esset annos, illa de aetate loquendo, ad carnem quae referenda est, in templum adscendit seque palam exhibuit, non tamen divinitatem suam istic hoc ipso patefecit, quando nullum Hierosolymis prodigium id temporis edidit, sed tantum insidentem labris suis gratiam commonstravit. et ab eo tempore rursum in umbra quasi quadam delituit, quemadmodum orator ille aureus in enarratione scripti per Iohannem evangelii loquitur.

Secundum haec, videlicet post baptismum ac editum Canae miraculum, 12 quidem numero discipulos eligit, at homines prorsus inopes et indoctos, nimirum piscatores, litterarum doctrinaeque rudes et plebeiae condicionis atque status. quibusnam, obsecro, de causis istud? ut quicquid ipsi praeclare dicerent atque facerent, id omne dei potestati sapientiaeque tribueretur. atque hoc illud ipsum est quod dominus ad Paulum pronuntiavit „satis esto tibi gratia mea: quippe mea vis et potestas in imbecillitate perficitur." non dubium est autem quin verum sit Christi discipulos pauperes ac rudes fuisse. nihilo

φάνιος δέ τις πρεσβύτερος ἐν λόγῳ αὐτοῦ, ὃν ἐπὶ τῷ γενε-
V. 165 θλίῳ δῆθεν τῆς παναμώμου μητρὸς τοῦ κυρίου ἐξέδωκε, καὶ
B τάδε φησίν, ὅτι ὁ υἱὸς Ζεβεδαίου Ἰωάννης μετὰ τὸ ἀποθα-
νεῖν τὸν πατέρα αὐτοῦ ἐπώλησε πᾶσαν τὴν αὐτοῦ κτῆσιν
τὴν ἐν Ζεβεδῇ καὶ ἐλθὼν εἰς Ἱερουσαλὴμ ἠγόρασε τὴν ἁγίαν
Σιών· ὅθεν ὡς τοῦ Καϊάφα καταμένοντος ἐν τῇ ἀγορασίᾳ
Ἰωάννου, κατὰ τοῦτο λέγεται οὗτος εἶναι γνώριμος τῷ ἀρ-
χιερεῖ· καὶ τὰ μὲν ἡμίση ἔδωκε τῷ ἀρχιερεῖ, εἰς δὲ τὰ
λοιπὰ ἡμίση ἡτοίμασε τὸ πάσχα ἤγουν τὸ μυστικὸν δεῖπνον
τοῦ Χριστοῦ. ἡνίκα καὶ γὰρ τοῖς μαθηταῖς ἔλεγεν ὁ Χρι-
στὸς „ὑπάγετε πρὸς τὸν δεῖνα," Ἰωάννην ἐδήλου τὸν θεολό-
γον. ἐκεῖ λοιπὸν ἐτέλεσαν τὸ μυστικὸν δεῖπνον, καὶ ἐκεῖ
ἔμειναν· καὶ ὡς οὐκ ἤμην ἐκεῖ, μηδὲ πιστεύσῃς μοι. ὁ γὰρ
C χρυσορρήμων Ἰωάννης τοσαύτην ἔλεγε πτωχείαν ἔχειν τόν
τε Ζεβεδαῖον καὶ τοὺς υἱοὺς αὐτοῦ ὥστε καθῆσθαι παρὰ τῷ
πλοίῳ καὶ δίκτυα ῥάπτειν διερρωγότα καὶ παλαιά. πῶς δὲ
καὶ παρὰ τῇ οἰκίᾳ τοῦ Ἰωάννου τὸ μυστικὸν δεῖπνον ὁ δια-
ληφθεὶς ἀνὴρ ἑτοιμασθῆναι λέγει, τὸν δεῖνά τε αὐτὸν εἶναι
πρὸς ὃν οἱ μαθηταὶ παρὰ τοῦ κυρίου ἐστάλησαν; εἰ γὰρ
αὐτὸς ὁ Ἰωάννης συνάμα τῷ Πέτρῳ ἀπεστάλη πρὸς τὸν δεῖνα
τῆς τοῦ πάσχα χάριν ἑτοιμασίας κατὰ τὴν εὐαγγελικὴν ἱστο-

Μαρίας ταύτης υἱός. ἐν δὴ τῷ τοιούτῳ οἴκῳ καὶ μετὰ τὴν ἀνάληψιν ἀνῆλθον ὑποστρέψαντες οἱ ἀπόστολοι μετὰ τῶν λοιπῶν ἀδελφῶν, ἐν οἷς ἦν καὶ Βαρνάβας καὶ Μάρκος. Ἐπιφάνιος δέ τις et reliqua.

tamen minus Epiphanius quidam presbyter in oratione sua, quam de impollutae domini matris nativitate dixit, Iohannem Zebedaei F. inquit post patris obitum possessiones universas quas Zebedae habuerit vendidisse, cumque se contulisset Hierosolymam, sanctam eum Sionem emisse. qua de causa factum sit ut quoniam Iohannis emptioni Caiaphas adfuisset, deinceps pontifici notus perhibeatur. quippe dimidium bonorum suorum pontifici dederat, reliquum dimidium in adornandum pascha impenderat, hoc est in coenam illam Christi mysticam. ideoque Christum, cum discipulis diceret „ad certum illum hominem divertite," Iohannem theologum intellexisse tradit, apud quem deinde coenam illam mysticam sumpserint atque permanserint. at vero Iohannes Chrysostomus adserit tanta Zebedaeum et filios ipsius inopia laborasse, ut etiam aliquando naviculae adsidentes vetera fractaque retia consuerint. et quanam, obsecro, fronte audet Epiphanius dicere coenam illam mysticam in Iohannis domo praeparatam fuisse, atque ipsum Iohannem esse ad quem discipulos dominus ablegaverit? nam si Iohannes cum Petro praeparandi paschatis causa certum quendam ad hominem missus fuit, quemadmo-

ρίαν, φαίνεται προφανῶς ὅτι ὁ πρεσβύτερος οὗτος εὐαγγέλιον οὐκ ἀνέγνω ποτέ. εἰ γὰρ ἀναγνῶναι ἔφθασεν, ἔγνω ἂν ὅτι ὁ Ἰωάννης ἀπεστάλη πρὸς τὸν δεῖνα, οὐ μὴν αὐτὸς ὁ D Ἰωάννης ἦν ὁ δεῖνα ἐκεῖνος πρὸς ὃν ἀπεστάλησαν οἱ μαθηταὶ παρὰ τοῦ κυρίου.

Περὶ δὲ τοῦ Παύλου τί χρὴ καὶ λέγειν, εἴγε καὶ τοῦτον εἶναι νομίζεις ἕνα τῶν δώδεκα κατὰ τὴν πλειόνων ὑπόληψιν; ἄφες τοὺς τῶν πολλῶν λόγους, καὶ τοῖς ἱεροῖς πρόσεχε γράμμασι. δώδεκα μὲν οὖν ἐξελέξατο μαθητὰς ὁ Χριστός, οἷς οὐκ ἔστι συνηριθμημένος ὁ Παῦλος. πῶς καὶ γάρ, εἴγε μετὰ τὴν τοῦ παναγίου πνεύματος κάθοδον προσελήλυθε τῷ Χριστῷ; δώδεκα μὲν οὖν οἱ μαθηταί, ἐφ' ὧν ὁ Ἰούδας τῇ τῆς φιλαργυρίας νόσῳ κάτοχος γεγονὼς τοῦ τῶν μαθητῶν ἐκπίπτει χοροῦ. εἰσάγεται δὲ ἀντ' αὐτοῦ μετὰ τὴν τοῦ κυ- P. 214 ρίου ἀνάληψιν ὁ Ματθίας, ὥς ἡ βίβλος διαγορεύει τῶν πράξεων. οὐκοῦν οἳ τὸν Παῦλον ἕνα λέγουσιν εἶναι τῶν δώδεκα, ἢ τὸν ἐκπεσόντα τοῦ χοροῦ δειξάτωσαν ἡμῖν (εἰ μὴ γὰρ ἐξέπεσέ τις, οὐκ ἂν ὁ Παῦλος εἰσῆλθεν) ἢ τὸν Παῦλον ἕνα εἶναι τῶν δώδεκα μὴ λεγέτωσαν. πλὴν εἰ καὶ μὴ τῷ χορῷ τῶν ιβ' συνηριθμημένος ἐστίν, ἀλλ' οὐδεὶς ἐπάνω στήσεται Παύλου, καθά φησιν ὁ τὴν γλῶτταν χρυσοῦς. εἰ γὰρ ἕκαστος κατὰ τὸν ἴδιον κόπον καὶ τὸν μισθὸν λήψεται, Παύλου δὲ πλεῖον οὐδεὶς ἐκοπίασε, τί χρὴ καὶ λέγειν; εὔδηλον

dum evangelica historia narrat, manifesto paret Epiphanium hunc seniorem evangelium non legisse; quod sane si prius legisset, Iohannem ad alterum illum certum hominem ablegatum animadvertisset, nec illum fuisse ad quem a domino mittebantur.

Caeterum de Paulo nihil dicendum aliud quam quod in numero discipulorum illorum duodecim non fuerit, quod tamen vulgus hominum existimat. tu illis opinionibus omissis, quae sacris in litteris tradita sunt retineto. duodecim videlicet discipulos Christus selegit, quorum in numero Paulus nequaquam exstitit. nam qui referri possit inter eos, cum a sancti spiritus in apostolos descensu primum Christo accesserit? ex duodecim vero discipulis cum Iudas unus avaritiae morbo correptus hoc ordine ac coetu excidisset, post domini adscensionem in coelum Matthias in eius locum suffectus est, sicut Actorum liber (1 26) commemorat. itaque si qui Paulum in numerum illorum duodecim referre volunt, vel quis eo coetu exciderit demonstrent, in cuius ipse locum successerit (quippe ne quis exciderit, Paulus inter eos relatus fuisse dici non potest), vel Paulum facere de duodecim unum desinant. utut autem coetu illorum duodecim comprehensus non fuerit, nemo tamen alium quenquam apostolum supra Paulum collocabit, ut Io-

B γὰρ ἐντεῦθεν ὡς οὐκ ἔστιν αὐτοῦ μείζων οὐδείς. καὶ περὶ μὲν τούτων οὕτως.

Ὁ δὲ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς μετὰ τὸ βαπτισθῆναι καὶ τοῦ θαυματουργεῖν, ὡς προείρηται, καὶ τοῦ διδάσκειν ἀπάρχεται, ἐφ' ᾧ καὶ λαὸν οὐκ ὀλίγον ἐφέλκεται. ταύτῃ τοι καὶ φθονοῦσιν αὐτῷ οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς· ὅθεν ὕβρεσι πλύνουσι καὶ μώμους αὐτῷ προσεπιτρίβουσι, Σαμαρείτην ἀποκαλοῦντες καὶ δαιμονῶντα φάγον τε καὶ οἰνοπότην αὐτόν. ἀλλὰ καὶ λίθοις βάλλουσι, καὶ μᾶλλον ἡνίκα τετραήμερον ἤγειρε τὸν Λάζαρον ἐκ νεκρῶν. οὐκέτι C λοιπὸν παρρησίᾳ περιεπάτει ἐν τοῖς Ἰουδαίοις, ἀλλ' ἀπῆλθεν εἰς τὴν χώραν ἐγγὺς τῆς ἐρήμου εἰς Ἐφραῒμ λεγομένην πόλιν, V. 166 κἀκεῖ διέτριβε μετὰ τῶν μαθητῶν αὐτοῦ, ὡς Ἰωάννης φησί. μεθ' ἡμέρας δέ τινας ἐκεῖθεν ἔρχεται, καὶ μετὰ βαΐων προσυπαντῶσιν αὐτῷ τοῦ κατὰ τὸν Λάζαρον ἕνεκα θαύματος. ἐν δέ γε τῇ μεγάλῃ τετράδι παρὰ Σίμωνι ἑστιᾶται τῷ πατρὶ τοῦ Λαζάρου, ὃν αὐτὸς τῆς λέπρας ἰάσατο. τότε δὴ τότε ἡ γυνὴ πόρνη τῇ κεφαλῇ αὐτοῦ μύρον ἐπιχέει πολύτιμον. ὅρα δὲ νουνεχῶς ὅτι αἱ γυναῖκες αἱ τὸ μύρον ἀλείψασαι τὸν κύριον τρεῖς αἱ πᾶσαι εἰσίν. ἄλλη μὲν γὰρ D ἐστιν ἡ παρὰ τῷ Ἰωάννῃ· τιμία δὲ αὕτη, καὶ ἡ ἀδελφὴ

hannes ille Chrysostomus ait. quippe si pro laboris sui ratione merces etiam unicuique tribuetur, et si nullus illorum plus Paulo laboravit, quid, obsecro, dicendum? perspicuum hinc profecto est neminem eo maiorem esse. de his hactenus.

Dominus autem noster Iesus Christus posteaquam baptissatus esset, tum miracula quaedam edere, ceu prius indicabamus, coepit, tum docendi fecit initium. quo factum ut populum ad se non exiguum pertraheret, quam rem pontificum et scribarum invidia secuta est. hinc iniuriarum adspersiones et reprehensionum usurpationes, quibus eum exagitabant, Samaritanum appellantes et genio malo obnoxium et comedonem et temulentum. quinetiam lapidibus ipsum petebant, ac tum praesertim cum Lazarum toto triduo mortuum in vitam revocasset. quare non iam amplius audacter inter Iudaeos versabatur, sed in vicinam solitudini regionem, ubi oppidum erat quam Ephraemam dicebant, secedebat, ibique cum discipulis suis aliquandiu, ceu Iohannes (11 54) memoriae prodidit, degebat. post aliquot dies revertenti palmarum cum ramis occurrunt, eius miraculi causa quod in resuscitando Lazaro ediderat. inde magna illa quarta feria apud Simonem Lazari patrem, cuius lepram sanaverat, convivio excipitur; quo in convivio mulier quaedam, quae corpore suo meruisset, unguento maximi pretii caput eius perfundit. atque heic prudenter advertito quod mulieres quae Christum unguento perfude-

τοῦ Λαζάρου. ἄλλη δὲ ἡ παρὰ τῆς οἰκίας Σίμωνος τοῦ λεπροῦ· πόρνη δὲ αὕτη προσελθοῦσα τῷ Χριστῷ, καθὼς ὁ Ματθαῖος ἱστορεῖ. καὶ ἑτέρα πόρνη πάλιν, ὥς φησιν ὁ Λουκᾶς, ἡ προσελθοῦσα παρὰ τῇ οἰκίᾳ Σίμωνος τοῦ Φαρισαίου, τοῦ καὶ σκανδαλισθέντος ἐπ' αὐτῷ τῷ Χριστῷ καὶ οὕτως εἰπόντος „εἰ προφήτης ἦν, ἔγνω ἂν ὁποία τίς ἐστιν ἡ ἁψαμένη αὐτοῦ."

Οἶδα δέ, ἀγαπητέ, ὅτι καὶ τὴν μεταμόρφωσιν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τῇ μεγάλῃ τετράδι γενέσθαι τινὲς ἀπομάχονται. πλὴν ὁ λόγος αὐτῶν, ὥς ἔμοιγε δοκεῖ, καὶ λίαν ἐστὶν ἀναπόδεικτος. εἰ γὰρ τὸ θαῦμα τοῦτο κατὰ P. 215
τὸ Θαβώριον ὄρος ἐγένετο, ἐν Ἱεροσολύμοις δὲ ὁ κύριος κατά γε τὴν μεγάλην τετράδα παρὰ τῇ οἰκίᾳ Σίμωνος τοῦ λεπροῦ ἑστιώμενος ἦν, φαίνεται προφανῶς ὡς ἐν ἄλλῃ γέγονεν ἡμέρᾳ τὸ τῆς μεταμορφώσεως θαῦμα καὶ οὐ κατὰ τὴν τετράδα πάντως αὐτήν. εἰ γὰρ ἀναμέσον τοῦ τε Θαβὼρ καὶ τῶν Ἱεροσολύμων ὡσεὶ δύο ἡμερῶν ὑπάρχει τὸ διάστημα, πῶς λοιπὸν ἐν μιᾷ ἡμέρᾳ τῇ αὐτῇ λέγουσιν ἔν τε Θαβὼρ εὑρεθῆναι καὶ ἐν Ἱεροσολύμοις τὸν Χριστόν; ἠδύνατο μὲν οὖν ὡς θεὸς ὧδε κἀκεῖσε κατ' αὐτὸν εὑρεθῆναι, ἀλλ' ἵνα μὴ φαντασία νομισθείη τὸ πρᾶγμα, πρὸ τοῦ πάθους τοῦτο ποιῆσαι οὐκ ἤθελεν. ἔνθεν τοι καὶ κατὰ τὴν κοι- B

rint omnino tres fuerint. harum una erat illa cuius mentionem Iohannes fecit, mulier certe praeclara Lazarique soror. altera vero, quae cum antea se prostituisset, in domo Simonis leprosi ad Christum accessit, ut Matthaeus narrat. tertia vero et ipsa meretrix erat, ut Lucas (7 39) indicat, quae Christum in aedibus Simonis Pharisaei convenit, offensi ea de causa, secumque verba huiusmodi prolocuti „si vates hic foret, cognovisset quaenam haec sit, quae ipsum attrectavit.

Scio quoque, dilecte fili, quosdam contentiose disceptare ac adserere transformationem domini nostri Iesu Christi magna illa quarta feria factam esse: verum ea ratio qua nituntur, mihi quidem videtur parum esse probabilis. nam si prodigium quidem istud in monte Thabore accidit, at vero dominus Hierosolymis die magnae illius quartae feriae in Simonis leprosi domo conviva erat, manifesto patet miraculum hoc transformationis non ista quarta feria sed alio die quodam contigisse. quippe cum mons Thabor ab Hierosolymis intervallo duum dierum absit, quo tandem pacto dicent uno eodemque die Christum et in monte Thabore pariter et Hierosolymis fuisse? poterat ille quidem ceu deus efficere ut eodem tempore tam heic quam illic reperiretur: verum ne id pro re quadam imaginaria

νὴν τῶν σωμάτων φύσιν τὰς τοπικὰς αὐτοῦ μεταβάσεις ποιούμενος ἦν.

Μετὰ δὲ ταῦτα δύο τῶν μαθητῶν ἀποστέλλει πρὸς τὸν δεῖνα τῆς τοῦ νομικοῦ πάσχα χάριν ἑτοιμασίας· ὃ δὴ καὶ προλαβὼν ἔφαγε κατὰ τὴν τῆς μεγάλης πέμπτης ἑσπέραν, ὡς ὁ χρυσορρήμων Ἰωάννης φησίν. εἶθ' οὕτως ἀναπεσὼν δι' ἄρτου καὶ οἴνου τὸ οἰκεῖον πάσχα τοῖς μαθηταῖς παρέδωκε· „λάβετε, φάγετε, τοῦτό ἐστι τὸ σῶμά μου, καὶ πίετε πάντες, τοῦτό ἐστι τὸ αἷμά μου.“ πρὸ μέντοι τῶν μαθητῶν
C *αὐτὸς τοῦ οἰκείου μετέλαβε σώματός τε καὶ αἵματος. τίνος ἕνεκεν; ἵνα μὴ καὶ πάλιν οἱ μαθηταὶ θορυβηθῶσι, καθάπερ καὶ πρότερον. ἡνίκα καὶ γὰρ αὐτοῦ τοῦ Χριστοῦ λέγοντος ἤκουσαν „ἐὰν μὴ φάγητε τὴν σάρκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου καὶ πίητε αὐτοῦ τὸ αἷμα, οὐκ ἔχετε ζωὴν ἐν ἑαυτοῖς,“ ἀπῆλθον εἰς τὰ ὀπίσω καὶ οὐκέτι περιεπάτουν μετ' αὐτοῦ, λέγοντες „ὁ λόγος οὗτος σκληρός ἐστι· τίς δύναται ἀκούειν αὐτοῦ;“ ἵνα γοῦν μὴ καὶ πάλιν τοιοῦτόν τι πάθωσιν ἅτε σάρκα ἐσθίειν καὶ αἷμα πίνειν μέλλοντες, πρῶτος αὐτὸς τῆς ἑαυτοῦ σαρκὸς ἀπεγεύσατο, θέλων ἀνενδοιάστως τῶν τοιούτων ἐμφορηθῆναι καὶ αὐτούς. τὸ δὲ τοιοῦτον ἑτοιμάζει δεῖπνον ὁ σωτὴρ εἰς*
D *παράκλησιν τῶν μαθητῶν· ἑώρα γὰρ αὐτοὺς οὐ μικρῶς*

duceretur, ante passionem tale quid facere noluit. quapropter etiam, pro communi corporum natura, localiter hinc inde proficiscebatur.

Secundum haec duos ex discipulis ad certum quendam hominem ablegat, qui pascha legale appararent, quod quidem ante passionem comedit, ipsa magnae quintae feriae vespera, quemadmodum Iohannes Chrysostomus inquit. deinde accubans pane ac vino pascha suum discipulis praebuit, cum his verbis uteretur „sumite, comedite: hoc est corpus meum.“ item „bibite omnes: hic meus est sanguis.“ (Matth. 26 26, Marc. 14 22, Luc. 22 19, 1 Cor. 11 24) et quidem ante discipulos ipse proprium corpus atque sanguinem participavit. quamobrem istuc? ne scilicet rursum discipuli perturbarentur, quemadmodum ante acciderat, cum Christum dicentem audivissent (Io. 6 54) „nisi comederitis carnem filii hominis et sanguinem eius biberitis, vitam in vobis nullam habetis;“ quo quidem tempore ab eo recedentes non amplius cum ipso ambulabant, quod dicerent verbum istuc durum esse, quod audire nemo facile possit. quamobrem ne rursum eiusmodi quiddam ipsis accideret, ut qui carnem comesturi et bibituri sanguinem essent, primus ipse carnem suam degustavit, ut qui citra omnem vacillationem et ipsos hisce rebus saturari vellet. atque hanc coenam dominus ad consolandos discipulos instituit. videbat enim illos non parum pavidis et fractis animis esse propter suam ab ipsis discessionem. itaque, ceu

ἀδημονοῦντας ἐπὶ τῷ χωρισμῷ αὐτοῦ. μεταδίδωσι λοιπὸν αὐτοῖς, ὡς προείρηται, τοῦ οἰκείου σώματος καὶ αἵματος, „τοῦτο ποιεῖτε" εἰπὼν „εἰς τὴν ἐμὴν ἀνάμνησιν." μεταλαμβάνει πρὸς τοῖς ἄλλοις καὶ ὁ Ἰούδας, καὶ τηνικαῦτα πρὸς V. 167 Ἰουδαίους ἀπέρχεται, τὰ πεπραγμένα παρὰ τοῦ κυρίου καταμηνύων αὐτοῖς. καὶ τοῦτο δηλῶν ὁ εὐαγγελιστὴς ἔλεγεν ὅτι καὶ λαβὼν τὸ ψωμίον ἐξῆλθεν, ἦν δὲ νύξ. ἀπέρχεται οὖν πρὸς οὓς συνεφώνησε παραδοῦναι τὸν κύριον.

Καὶ ὁ μὲν κύριος τὰ τελευταῖα τοῖς μαθηταῖς διατίθεται· εἶθ' οὕτως εἰς τόπον ἔρχεται ὃν ᾔδει καὶ ὁ προδότης, ὃς αὐτίκα καὶ λαβὼν τὴν σπεῖραν ἐκ τῶν ἀρχιερέων καὶ Φα- P. 216 ρισαίων ὑπηρέτας ἔρχεται ἐκεῖ μετὰ φανῶν καὶ λαμπάδων. ἐπερωτᾷ λοιπὸν αὐτούς· πίπτουσι χαμαί. ἀποκόπτει τὸ ὠτίον τοῦ Μάλχου ὁ Πέτρος, εἰ καὶ τὴν αὐτοῦ κεφαλὴν ἀποτεμεῖν οὐκ ἴσχυσε· τοῦτο καὶ γὰρ ἦν αὐτῷ τὸ σπουδαζόμενον. τότε δὴ τότε καὶ πρὸς αὐτὸν ἔφη ὁ κύριος „ἢ δοκεῖ σοι ὅτι οὐ δύναμαι ἄρτι παρακαλέσαι τὸν πατέρα μου, καὶ παραστήσει μοι πλείους ἢ δώδεκα λεγεῶνας ἀγγέλων; πῶς οὖν πληρωθῶσιν αἱ γραφαί, ὅτι οὕτως δεῖ γενέσθαι;" ταῦτα δὲ τοῖς μαθηταῖς ἔλεγεν ὁ σωτὴρ ἐκφοβῶν αὐτοὺς καὶ πείθων ἐντεῦθεν μηδέν τι τῶν γινομένων πολυπραγμονεῖν. εἰ B γὰρ ταῖς γραφαῖς, φησί, τοῦτο δοκεῖ, τὸ παθεῖν ἐμὲ δηλον-

dictum est, corpus et sanguinem proprium cum ipsis communicat, haec verba subiiciens „hoc in mei recordationem facite." inter alios et Iudas participat, eoque facto se ad Iudaeos confert, ut quae a domino acta fuissent ipsis indicaret. id enim significare volens auctor historiae evangelicae dixit „simulac sumpsit bucceam, exivit, quum quidem nox esset." abit igitur ad eos quibuscum pactus fuerat se dominum ipsis traditurum.

Interim dominus rebus suis postremum inter discipulos ordinatis atque dispositis, in locum quendam se recipit proditori non ignotum. is vero cohorte militum continuo secum sumpta cum pontificibus et Pharisaeis ministris, eo cum lucernis et facibus advolat. ibi Christo eos interrogante humi corruunt. Petrus Malcho auriculam abscindit, cum caput homini abscindere non posset, id quod studiose facere conabatur. tum his eum verbis dominus compellat. (Matth. 26 53) „an non existimas posse me patrem exorare modo ut plures mihi quam duodecim legiones angelorum suppeditet? at quonam pacto confierent quae fieri oportere sacris proditum est litteris?" quae sane dominus ad discipulos ita protulit, ut metum eis incuteret, ac persuaderet ne quid eorum quae acciderent curiosius scrutarentur. nam si sacris ita visum est litteris ut patiendum mihi sit, qui fit ut vos gladiis uten-

ὅτι, πῶς ὑμεῖς ἐναντιοῦσθε μαχαίραις χρώμενοι; τὸ ποτήριον ὃ δέδωκέ μοι ὁ πατήρ, οὐ μὴ πίω αὐτό;

Δήσαντες οὖν τὸν Ἰησοῦν ἀπήγαγον πρὸς Ἄνναν πρῶτον, κἀκεῖσε κρίνεται. περὶ τῆς αὐτοῦ διδαχῆς καὶ τῶν μαθητῶν ἐρωτᾶται. ἀποκρίνεται ὡς εἰκός. ῥάπισμα δέχεται, καί φησιν „εἰ μὲν κακῶς ἐλάλησα" καὶ τὰ ἑξῆς. ἐκεῖθεν οὖν ἄγεται πρὸς Καϊάφαν, ἔπειτα πρὸς Πιλᾶτον πρωΐας οὔσης· πρὶν ἢ μὲν ἀλέκτορα φωνῆσαι πρὸς Καϊάφαν ἄγεται, πρωῒ δὲ πρὸς Πιλᾶτον. δείκνυσιν ὁ εὐαγγελιστὴς ὅτι τὸ ἥμισυ τῆς νυκτὸς
C ἅπαν ὑπὸ Καϊάφᾳ ἐρωτώμενος οὐδὲν ἐξηλέγχετο, διὸ καὶ παρέπεμψεν αὐτὸν τῷ Πιλάτῳ. καὶ ὁ μὲν Μάρκος περὶ τῆς ἀλεκτοροφωνίας διεξιὼν οὕτω φησίν „πρὶν ἀλέκτορα φωνῆσαι δίς, τρίς ἀπαρνήσῃ με" (ὅτε γὰρ ἅπαξ ἠρνήσατο, ἐφώνησεν ὁ ἀλεκτρυὼν τὸ πρῶτον, ὅτε δὲ τρίτον ἠρνήσατο, τὸ δεύτερον ἐφώνησεν), ἀκριβέστερον ἐξηγούμενος τὴν τοῦ Πέτρου ἀσθένειαν παρ' αὐτοῦ τοῦ διδασκάλου μαθών, ὅτι καὶ φοιτητὴς ἐκείνου ἦν. ὁ δὲ Ματθαῖος εἰπὼν ὅτι πρὶν ἀλέκτορα φωνῆσαι τρὶς ἀπαρνήσῃ με, τὴν ὅλην ἀλεκτοροφωνίαν ἐνέφηνε, τοῦτ' ἔστι τὴν πρώτην, ἥτις διὰ διαφόρων ἐκφωνήσεων γίνεται, ὥσπερ οὖν καὶ ἡ δευτέρα ἀλεκτοροφωνία καὶ
D ἡ τρίτη. πρὶν οὖν ἀλέκτορα φωνῆσαι ὁ Ματθαῖος εἰπὼν τρὶς ἀπαρνήσῃ με, τοῦτο ὡσανεὶ ἔλεγεν, ὅτι καὶ πρὸ τοῦ

12. ἀλέκτωρ M.

tes adversari velitis? poculum illud, quod pater mihi dedit, non bibam?

Igitur colligatum vinculis Iesum ad Annam primum abducunt, ibique iudicio sistitur, de doctrina et discipulis interrogatur: respondet ut par erat. cum alapam accepisset, „si male locutus sum" inquit, „testificare de malo: sin bene, cur me caedis?" inde ad Caiapham ducitur, a Caiapha rursus ad Pilatum. atque heic ostendit evangelicae historiae scriptor tota dimidia nocte interrogatum a Caiapha nullius improbae rei convinci potuisse, ideoque ad Pilatum a Caiapha missum esse. caeterum de galli cantu Marcus (14 30) ita locutum esse dominum refert „priusquam bis gallus cantet, ter me negabis." quippe cum vice prima negaret, primum gallus cantavit: cum vero negaret tertium, gallus secundo cecinit. hoc modo accuratius ille imbecillitatem Petri exposuit, re tota de ipsius magistri sui narratione cognita; fuit enim Marcus Petri sectator et discipulus. Matthaeus autem (26 34) cum ait „priusquam gallus cantet, ter me negabis," totum galli cantum indicare voluit, videlicet primum, qui diversis editur vocibus, et secundum et tertium. quapropter cum Matthaeus inquit „priusquam gallus cantet, me ter negabis," huius-

φθάσαι τὴν πρώτην παρελθεῖν ἀλεκτοροφωνίαν τρὶς ἀπαρνήσῃ με.

Μετὰ μέντοι τὸ κριθῆναι τὸν κύριον ὑπὸ τοῦ Πιλάτου μαστίζεται τὸν νῶτον λώροις πλεκτοῖς· τοιοῦτον καὶ γὰρ τὸ φραγγέλλιον. εἶθ' οὕτως εἰς τὸ σταυρωθῆναι παραδίδοται. ταῦτα δὲ πάντα πεποίηκεν ἡ ἄκαιρος ἀνανδρία τοῦ Πιλάτου· τοὺς γὰρ Ἰουδαίους δυσωπῆσαι θέλων ἐφ' οἷς ἐνεκάλουν, ἀντάρτην αὐτὸν ἀποδεικνύοντες, εἰς τὸ σταυρωθῆναι παραδίδωσι, φραγγελλίοις πρότερον μαστίξας αὐτόν. διὰ τοῦτο καὶ κολάσεως ὁ Πιλᾶτος ἄξιος, ὅτι καὶ δυνάμενος ἀπολῦσαι αὐτόν („ἐξουσίαν" γάρ φησιν „ἔχω ἀπολῦσαί σε, P. 217 καὶ ἐξουσίαν ἔχω σταυρῶσαί σε") τοῦτο οὐκ ἐποίησε, τοὺς Ἰουδαίους καὶ μάλιστα πτοούμενος λέγοντας „ἐὰν τοῦτον ἀπολύσῃς, οὐκ εἶ φίλος τοῦ Καίσαρος." ἐφ' ᾧ καὶ κατακρίνεται· καὶ δῆλον ἐξ ὧν ὁ κύριος ἔλεγε πρὸς αὐτὸν „ὁ παραδιδούς μέ σοι μείζονα ἁμαρτίαν ἔχει."

Τὸν μέντοι καιρὸν ὁ εὐαγγελιστὴς Ἰωάννης παριστῶν, V. 168 ἡνίκα ὁ Πιλᾶτος ἐκάθισεν εἰς τόπον λεγόμενον Λιθόστρωτον, ἵνα κρίνῃ τὰ κατὰ τὸν Ἰησοῦν, ἔλεγεν „ἦν δὲ παρασκευὴ τοῦ πάσχα, ὥρα δὲ ὡσεὶ ἕκτη." διὰ τί δὲ ἡ ἕκτη τῆς ἑβδομάδος ἡμέρα παρασκευὴ τοῦ πάσχα λέγεται παρὰ τῷ εὐαγγελιστῇ Ἰωάννῃ; σαφὴς ἡ αἰτία σοι πρόκειται. καθάπερ B

modi quiddam dicere videtur, futurum scilicet ut Petrus eum ter prius negaret quam galli cantus finem haberet.

Posteaquam in dominum Pilatus inquisivisset, tergum ei loris implexis caeditur: hoc enim vocis flagelli est significatum. deinde ad crucifigendum traditur. atque haec omnia per importunam animi deiectionem in Pilato acciderunt, qui Iudaeos reverebatur accusantes dominum tanquam hominem seditiosum. ideoque suas etiam poenas ille commeruit. quippe cum potestatem eius absolvendi haberet, ut qui dicere non dubitaret (Io. 19 10) se habere potestatem ipsius vel dimittendi vel crucifigendi, quod facere poterat non praestitit. formidabat enim Iudaeos clamantes „si istum absolvis, non es Caesaris amicus." quare non dubium est eum condemnatum esse, de ipsis etiam domini verbis hoc ipso non obscure apparente, cum ait „qui me tibi tradidit, in maiore culpa est."

Caeterum Iohannes historiae scriptor evangelicae tempus indicare volens, quo tempore Pilatus in loco quodam consederit qui Lapidipavium diceretur, ut Iesu causam cognosceret, ait factum hoc fuisse in praeparatione Paschae, hora fere sexta. cur sextus hic dies septimanae ab evangelista Paschae praeparatio dicitur? eius rei causam tibi perspicue subiiciam. quemadmodum sabbatum dies septimanae

γὰρ τὸ σάββατον ἑβδόμη μὲν ἡμέρα τῆς ἑβδομάδος ἐστί, λέγεται δὲ ὅμως σάββατον ἤτοι κατάπαυσις διὰ τὴν ἐν αὐτῷ γενομένην ἀπὸ πάντων τῶν ἔργων κατάπαυσιν (τότε γὰρ ἀργεῖ ὁ δοῦλος, τὸ κτῆνος καὶ τὰ λοιπὰ πάντα), οὕτω καὶ ἡ παρασκευὴ ἕκτη μὲν ἡμέρα τῆς ἑβδομάδος ἐστί, λέγεται δὲ παρασκευὴ διὰ τὸ παρασκευάζειν καὶ οἷον εἰπεῖν ἑτοιμάζειν τοὺς Ἰουδαίους ἐν αὐτῇ τὰ τοῦ σαββάτου. ἐν αὐτῷ γὰρ οὔτε πῦρ ἅψαι συγχωροῦνται οὔτε ξύλα συνάξαι οὔτε τὰ πρὸς τροφὴν ἁπλῶς ἑτοιμάσαι. ταῦτα λοιπὸν ἡ ἕκτη παρασκευάζουσα παρασκευὴ κατωνόμασται. ὁ τοίνυν εὐαγ-
C γελιστὴς Ἰωάννης παρασκευὴν τοῦ πάσχα τὴν τοιαύτην ἡμέραν καλέσας ἔδειξε προφανῶς ὅτι πρώτην τοῦ πάσχα τηνικαῦτα παρεσκευάζοντο ἑορτὴν οἱ Ἰουδαῖοι κατὰ τὴν τοῦ νόμου διάταξιν· ἀπὸ γὰρ ἕκτης ὥρας τῆς τεσσαρεσκαιδεκάτης τῆς σελήνης ἡμέρας πᾶς μὲν ζυμωτὸς ἄρτος πυρὶ καιόμενος ἠφανίζετο, τὰ δέ γε ἄζυμα κατὰ τὸ εἰωθὸς ἡτοίμαζον. εἰ δὲ ταῦτα οὕτως ἔχει, φαίνεται προφανῶς ὅτι τὸ δοθὲν δι' ἄρτου καὶ οἴνου παρὰ Χριστοῦ κατὰ τὴν τῆς μεγάλης πέμπτης ἑσπέραν ἔνζυμον ἦν, ὅτι μηδὲ καιρὸς ἀζύμων ἐτύγχανε τότε κατὰ τὴν τῶν πλειόνων ὑπόληψιν. ἄφες λοιπὸν τοὺς τῶν πολλῶν λόγους, καὶ τῇ ἀκολουθίᾳ τῶν ἱερῶν λογίων
D πρόσεχε. ὅτι μὲν γὰρ κατὰ τὴν ἑσπέραν τῆς μεγάλης παρασκευῆς, οὐ μὴν ἐν τῇ μεγάλῃ πέμπτῃ τυθῆναι ὁ ἀμνὸς ἔμελλε,

septimus est, et nihilominus sabbatum vocatur, hoc est requies, propter requietem qua tunc a quibusvis operibus abstinebant, otium agentibus eo die mancipiis iumentis et caeteris omnibus, sic praeparatio dies est septimanae sextus, et praeparatio propterea nuncupatur, quod in eo Iudaei praepararent omnia quibus usuri per sabbatum erant; quo die nec ignem accendendi facultatem habebant nec congerendorum lignorum, nec cibos adeo coquere licebat. quae omnia quod die sexto appararentur, nomen ille praeparationis accepit. igitur cum Iohannes evangelista diem hunc praeparationem Paschae vocat, aperte ostendit Iudaeos eo tempore se ad Paschae festum ex praescripto legis praeparasse. quippe post horam sextam, die mensis quarto decimo, fermentati panes omnes igne concremati e medio tollebantur et infermentati de more praeparabantur. quae cum ita sint, manifesto licet intelligere, id quod Christus discipulis porrecto pane ac vino dederit ipsa magnae quintae feriae vespera, fermentatum fuisse: quippe necdum id tempus appetierat quo non fermentatis panibus utendum esset, ut hominum vulgus existimat. eorum tu sermonibus valere iussis, seriei sacrorum oraculorum inhaereto. nam quod magnae quidem praeparationis

δῆλον μὲν καὶ ἐξ ἄλλων πολλῶν, οὐχ ἧττον δὲ καὶ ἐκ τῶν ἤδη ῥηθησομένων σοι. τὴν ἡμέραν ἐκείνην ἧς τῇ ἑσπέρᾳ τὸ πάσχα ἐθύετο, καὶ ἀζύμων ἡμέραν καὶ πάσχα ὁμοίως καλεῖν εἰώθασιν ἀπὸ τῆς ἑσπέρας πάντως αὐτῆς· καὶ γὰρ διὰ τὸ τὸν ἀμνὸν θύεσθαι καὶ τὰ ἄζυμα ἐσθίεσθαι τῇ ἑσπέρᾳ τῆς τεσσαρεσκαιδεκάτης, κατὰ τοῦτο καὶ ἡ ιδ΄ αὕτη καὶ πάσχα καὶ ἀζύμων ἡμέρα ἐλέγετο. ταῦτα δὲ τὰ ὀνόματα καὶ τὴν μεγάλην παρασκευὴν κεκτημένην εὑρίσκομεν. καὶ πρόσχες, P. 218
εἰ βούλει, τοῖς λεγομένοις. πρώτη τῶν ἀζύμων λέγεται ἡ μεγάλη πέμπτη ὡς πρὸ τῶν ἀζύμων οὖσα· καθάπερ γὰρ ὁ Μάρκος τὴν παρασκευὴν προσάββατον ἔλεγεν ὡς οὖσαν πρὸ τοῦ σαββάτου, οὕτω καὶ τὴν μεγάλην πέμπτην πρώτην τῶν ἀζύμων λέγει ὁ Ματθαῖος ὡς πρὸ τῶν ἀζύμων οὖσαν, καθά φησιν ὁ τὴν γλῶτταν χρυσοῦς „τὴν μεγάλην ἐνέφηνε πάντως παρασκευήν." ὁμοίως δὲ καὶ ὁ Λουκᾶς, ἐλθεῖν λέγων, τουτέστιν ἠγγικέναι, τὴν τῶν ἀζύμων ἡμέραν, τὰ αὐτὰ τῷ Ματθαίῳ ᾐνίξατο. ἀλλὰ καὶ ὁ Ἰωάννης πρὸ τῆς ἑορτῆς τοῦ πάσχα γενέσθαι λέγων τὸ δεῖπνον αὐτὴν εἶπε τὴν B
παρασκευήν, καὶ δηλοῦσι τὰ μετὰ ταῦτα· λέγει γὰρ „καὶ αὐτοὶ οὐκ εἰσῆλθον ἵνα μὴ μιανθῶσιν, ἀλλ' ἵνα φάγωσι τὸ πάσχα," καὶ αὖθις „ἔστι δὲ συνήθεια ὑμῖν ἵνα ἕνα ὑμῖν

13. λέγεται P.

vespera, non autem magnae quintae feriae mactandus fuerit agnus, cum aliis multis ex argumentis colligi perspicue potest, tum vero in primis ex illis quae nunc indicaturi sumus. diem illum sub cuius vesperam Pascha mactabatur, et infermentatorum panum diem, et consimiliter etiam Paschae vocabulo appellare solebant, nimirum ab eius vespera. nam quia mactabatur agnus et infermentati panes comedebantur ipsa diei decimi quarti vespera; iccirco etiam dies hic quartus decimus tum Paschae tum azymorum nomen habebat. has autem appellationes et magnae praeparationis diei tribui solere deprehendimus. et animum, si lubet, iis advertito quae dicturi sumus. primus azymorum dies vocatur magna quinta feria, ut qui diem azymorum proxime antecederet. quemadmodum enim Marcus magnae praeparationis diem vocavit antesabbatum, uti quae sabbatum praecederet, sic et magnam illam quintam feriam Matthaeus primam azymorum dixit, uti quae azymorum dies proxime antecederet: sic enim aurea lingua praeditus orator colligit. eodem modo Lucas etiam dicens adventasse, hoc est appetiisse diem azymorum, significare prorsus idem quod Matthaeus voluit. denique Iohannes cum ante Paschae festum cenam peractam scribit, diem praeparationis hoc Paschae vocabulo denotat. licet hoc de verbis apud ipsum deinceps subiectis intelligere. sic enim ait „ipsi in praetorium non intrarunt, ne pollueren-

ἀπολύσω ἐν τῷ πάσχατι," τῷ ἐνισταμένῳ δηλαδή. ἀλλὰ καὶ τὸν καιρὸν παριστῶν ἡνίκα ὁ Πιλᾶτος ἐκάθισεν εἰς τόπον V. 169 τινὰ Λιθόστρωτον λεγόμενον οὕτω φησὶν „ἦν δὲ παρασκευὴ τοῦ πάσχα, ὥρα δὲ ὡσεὶ ἕκτη." καὶ παρακατιὼν „ἦν γὰρ μεγάλη ἡ ἡμέρα ἐκείνη τοῦ σαββάτου." μεγάλην δὲ αὐτὴν οὐκ ἂν ἄλλως ἐκάλεσεν εἰ μή που συνέπιπτε τῷ σαββάτῳ C ἐκείνῳ ἡ πρώτη τῶν ἀζύμων ἡμέρα ἡ καὶ ἁγία παρὰ τῷ νόμῳ καλουμένη. ταῦτα δὲ πάντα σαφῶς ὑπεμφαίνουσιν ὅτι κατὰ τὴν παρασκευὴν ἐκείνην ἑσπέρας ὁμολογουμένως τὸ πάσχα ἐθύετο· διὰ γὰρ τοῦτο καὶ παρασκευὴν τοῦ πάσχα εἶπεν αὐτὴν ὡς παρασκευάζουσαν τὰ τοῦ ἐνισταμένου πάντως πάσχα. χωρὶς οὖν ἀντιλογίας ἐν τῇ ἑσπέρᾳ φαίνεται τῆς παρασκευῆς τὸ πάσχα γίνεσθαι. εἰ μὴ γὰρ τοῦτο ἦν, οὐκ ἂν ὁ εὐαγγελιστὴς Ἰωάννης τοῦτο ἔλεγε, „καὶ αὐτοὶ οὐκ εἰσῆλθον εἰς τὸ πραιτώριον ἵνα μὴ μιανθῶσιν ἀλλ' ἵνα φάγωσι τὸ πάσχα." καὶ πρόσχες, εἰ βούλει, τῷ μεγάλῳ Κυ- D ρίλλῳ πρὸ τῶν ἄλλων ἐπισφραγίζοντι τὰ τοιαῦτα καὶ λέγοντι ὅτι τὸν τύπον τιμῶντες ἤτοι τὸ πρόβατον, κἀντεῦθεν εἰσελθεῖν εἰς τὸ πραιτώριον οὐ προαιρούμενοι, τὴν ἀλήθειαν αὐτὸν τὸν Χριστὸν ὕβριζον· ἔμελλον γὰρ θύειν τὸ πάσχα κατὰ τὸν νόμον τὸν μηδὲν παρ' αὐτοῖς ἰσχύοντα. εἰ δὲ ταῦτα οὕτως ἔχει, ματαιάζουσι προφανῶς οἱ λέγοντες ὅτι κατὰ

tur, sed pascha vescerentur." et rursum „est vobis is mos ut unum vobis in Pascha condonem," videlicet nunc imminente. praeterea tempus indicans quo tempore Pilatus in loco quodam consederit qui Lapidipavium diceretur, „erat" inquit „Paschae praeparatio, hora fere sexta." hinc ulterius progrediens „erat enim" ait „magnus atque celeber ille dies sabbati." at vero magnum et celebrem hunc diem non dixisset, si primus dies azymorum in sabbatum illud non incidisset, qui sane dies sanctus etiam in lege vocatur. haec autem omnia clare ostendunt in more fuisse ut ad praeparationis vesperam Pascha citra controversiam mactaretur. nam iccirco diem hunc evangelista praeparationem Paschae nuncupavit, uti quo res ad eminentem Paschae diem necessariae praeparentur. itaque citra omnem adversationem apparet mactari solitum fuisse agnum ipsa praeparationis vespera. nam ni res ita se haberet, Iohannes evangelista prius non dixisset „ipsi in praetorium non intrarunt, ne polluerentur, sed Pascha vescerentur." vide quid magnus ille Cyrillus dicat, cum huiusmodi verbis haec velut obsignando confirmat „cum figuram honorifice colerent, hoc est agnum, ideoque ingredi nollent in praetorium, veritatem ipsam, videlicet Christum, contumeliis adficiebant. nam ex lege Pascha mactari debebat, quae tamen lex parum apud ipsos habebat roboris et auctoritatis." quae cum ita sint, perspicuum est eos vana

τὴν ἑσπέραν τῆς μεγάλης πέμπτης τὸ τυπικὸν ἐσθίεται πρόβατον· τὰ γὰρ ἄζυμα συστῆσαι φιλονεικοῦντες παραχαράττειν ἐπιχειροῦσι κακοθελῶς τὴν ἀλήθειαν. καὶ μή μοι τὸν χρυσορρήμονα παρείσαγε Ἰωάννην ἐν τῇ εἰς τὸ κατὰ Ματθαῖον πδʹ ὁμιλίᾳ λέγοντα ὅτι τὸν Χριστὸν οἱ Ἰουδαῖοι ἀπροσ- P. 219 δοκήτως κρατήσαντες καὶ τὴν τοῦ πάσχα παριδεῖν εἵλοντο ἑορτὴν τηνικαῦτα συμπίπτουσαν. ἔχεις γὰρ αὐτὸν ἐν τῇ τοῦ κατὰ Ἰωάννην ἑρμηνείᾳ, ἡνίκα λέγεται „καὶ αὐτοὶ οὐκ εἰσῆλθον ἵνα μὴ μιανθῶσιν ἀλλ' ἵνα φάγωσι τὸ πάσχα," τέλεον ἀναιροῦντα τὴν τοιαύτην ὑπόνοιαν. ἔνθεν τοι καὶ τὰ τοῦ θείου κατεξετάζειν ἀνδρός, ἡνίκα καὶ μᾶλλον ἐναντιοῦται πρὸς ἄλληλα, μὴ πρὸς ἰσχύος ἔχοντες, σιωπῇ καὶ μάλιστα τιμᾶσθαι τὰ τοιαῦτα δέον κρίνομεν, εἴγε καὶ μᾶλλον εὔλογον τὰ ὕστατα κατέχειν, ὅτι καὶ σύμφωνα ταῦτα ταῖς τῶν λοιπῶν πατέρων ἐπεξηγήσεσι φαίνονται. λέγει καὶ γὰρ ὅτι ὁ B Χριστὸς πρὸ μιᾶς ἔφαγε τὸ πάσχα, τηρῶν τὴν ἑαυτοῦ σφαγὴν τῇ παρασκευῇ, ὅτε καὶ τὸ νομικὸν πάσχα ἐθύετο. ὅτι δὲ τὸ παρὰ κυρίου τοῖς ἀποστόλοις ἐν τῷ δείπνῳ δοθὲν ἔνζυμος ἄρτος ἦν, οὐ μὴν ἄζυμος, ὡς ἐκεῖνοι διισχυρίζονται, ὁ θειότατος οὗτος ἀνὴρ σαφέστατά σοι παρίστησι. περὶ γὰρ τῆς παλαιᾶς καὶ τῆς νέας τὸν λόγον ποιούμενος καὶ τάδε

14. τὰ om P.

dicere, qui ad vesperam magnae quintae feriae mactari solitum fuisse typicum illum agnum tradunt. dum enim panum infermentatorum usum probare insigni contentione nituntur, malevole veritatem depravare conantur. neque mihi hoc loco Iohannem Chrysostomum opposueris, qui in orationum illarum octogesima quarta, quibus orationibus evangelium Matthaei explanavit, Iudaeos ait Christo praeter exspectationem potitos etiam Paschae festum negligere non dubitasse, quod in illum diem incidisset. nimirum habes alia eiusdem verba in explicatione evangelii a Iohanne scripti, cum dictum hoc declarat „ipsi non intrabant, ne polluerentur, sed Pascha vescerentur." heic enim opinionem istam prorsus evertit. quapropter cum nos verba divini huius viri a se invicem non parum discrepantia satis examinare nequeamus, tacite venerari potius ea decrevimus. ac fortasse magis rationi consentaneum fuerit ultimo loco ab ipso perscripta retineri, quod ea cum reliquorum patrum enarrationibus consentire videantur. ait enim Christum Pascha comedendo diem unum anticipasse, mactationem suam ad diem praeparationis differentem, quo die Pascha legale mactari consueverit. fuisse autem illud quod in cena dominus apostolis praebuit panem fermentatum, non fermenti expertem, ut illi adserunt, idem hic divinissimus vir clarissime significat. nam de veteri novoque foedere verba faciens „istic"

κατὰ ῥῆμα διέξεισιν „ἐκεῖ τὸ γράμμα, ὧδε τὸ πνεῦμα· ἐκεῖ ἡ κιβωτός, ὧδε ἡ παρθένος· ἐκεῖ ἡ ῥάβδος Ἀαρών, ὧδε ὁ σταυρός· ἐκεῖ ὁ ἀμνός, ὧδε ὁ Χριστός· ἐκεῖ τὰ ἄζυμα, C ὧδε ὁ ἄρτος." ταῦτα μὲν ἐνεχαράχθη σοι κατ' ἐπιτομήν, ὡς ὁρᾷς· οὐδὲ γὰρ ἐγχωρεῖ τὰ τοῦ καιροῦ πλεῖον ἐνδιατρῖψαι τοῖς περὶ τούτων λόγοις.

Ὁ δὲ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς εἰς τὸ σταυρωθῆναι παραδίδοται· καὶ ὅρα τὰ μετὰ ταῦτα. ἀπὸ γὰρ ἕκτης ὥρας σκότος ἐγένετο ἐπὶ πᾶσαν τὴν γῆν ἕως ὥρας ἐννάτης, ἀγανακτοῦντος ἐπὶ τοῖς τολμωμένοις, οἷα εἰκός, τοῦ θεοῦ. ὅτι γὰρ οὐκ ἦν ἔκλειψις, καθά φησιν ὁ τὴν γλῶτταν χρυσοῦς, ἀλλ' ὀργὴ καὶ ἀγανάκτησις, καὶ ἀπὸ τοῦ καιροῦ δῆλον· τρεῖς γὰρ ὥρας παρέμεινεν ἡ ἔκλειψις, ἥτις ἐν μιᾷ V. 170 γίνεται καιροῦ ῥοπῇ. καὶ τὰ μὲν τοῦ Χρυσοστόμου τοιαῦτα· D ὁ δὲ θειότατος Διονύσιος ὁ Ἀρεοπαγίτης οὐχ ἁπλῶς οὕτω, κατὰ δὲ ἀντίφραξιν τῆς σελήνης τὸ σκότος ἐκεῖνο λέγει γενέσθαι καινοπρεπῶς τὸ παγκόσμιον. ἐπιστέλλων γὰρ ἱεράρχῃ τῷ Πολυκάρπῳ διὰ τὸν σοφιστὴν Ἀπολλοφάνην μὴ καταδεχόμενον τὰ Χριστιανῶν καὶ τάδε φησὶ κατὰ ῥῆμα πρὸς αὐτόν. „εἰπὲ δὲ αὐτῷ τῷ Ἀπολλοφάνει, τί λέγεις περὶ τῆς ἐν τῷ σωτηρίῳ σταυρῷ γεγονυίας ἐκλείψεως; ἀμφότεροι γὰρ τότε κατὰ τὴν Ἡλίου πόλιν ἅμα παρόντες καὶ συνεστῶτες

12. καὶ ἀπὸ] καὶ γὰρ ἀπὸ P.

ait „littera erat, heic spiritus." istic arca, heic virgo. istic Aaronis virga, heic crux. istic agnus, heic Christus. istic infermentata, heic panis." haec quodam in compendio, ceu vides, perscripta tibi sunto: tempus enim non patitur ut diutius de rebus hisce commentemur.

Deinceps dominus noster Iesus Christus ad crucifigendum traditur: tu quae consecuta sint, vide. nam ab hora diei sexta tenebrae terram universam occuparunt ad horam usque nonam, deo, ceu credi par est, propter ea quae designabantur indignante. non enim solis defectum accidisse, quemadmodum Chrysostomus ait, sed rem totam ab ira et indignatione divina profectam fuisse, licet ex ipso etiam tempore colligere. duravit enim haec caligo tres horas, quae caeteroqui fieri solet in uno temporis momento. haec Chrysostomi est ratio. divinus autem vir ille, Dionysius Areopagita, non ita simpliciter, sed per obiectionem corporis lunaris, solem velut obstruentis, universales hasce tenebras exstitisse novo quodam et inusitato modo tradit. nam ad Polycarpum hierarcham de eo perscribens quod Apollophanes sophista Christianam religionem non amplecteretur, ad verbum haec profert. „dicito autem ei," nimirum Apollophani, „quid de illa censes eclipsi, quae salutiferae passionis tempore accidit?

παραδόξως τῷ ἡλίῳ τὴν σελήνην ἐμπίπτουσαν ἑωρῶμεν (οὐ γὰρ ἦν συνόδου καιρὸς) αὖθίς τε αὐτὴν ἀπὸ τῆς ἐννάτης ὥρας ἄχρι τῆς ἑσπέρας εἰς τὸ τοῦ ἡλίου διάμετρον ὑπερφυῶς P. 220 ἀντικαταστᾶσαν. τοσοῦτον δὲ καὶ αὐτὸς ἐξεπλάγη τότε ὡς οὕτω πρός με εἰπεῖν 'ταῦτα, ὦ Διονύσιε, θείων ἀμοιβαὶ πραγμάτων εἰσί.'" καὶ ταῦτα μὲν τοῦτον ἔχει τὸν τρόπον, περὶ δὲ τοῦ σκοτασμοῦ ἐκείνου τοῦ κατὰ τὸ σωτήριον πάθος γεγονότος θαυμασίως πως καὶ τῷ προφήτῃ Ζαχαρίᾳ διείληπται· λέγει γὰρ „ἐν ἐκείνῃ τῇ ἡμέρᾳ οὐκ ἔσται φῶς" (ἡνίκα δηλαδὴ σταυρωθήσεται ὁ Χριστός), „ἀλλὰ ψῦχος καὶ πάγος ἔσται μίαν ἡμέραν· καὶ ἡ ἡμέρα ἐκείνη γνωστὴ τῷ κυρίῳ." ἄνω γὰρ ἅπαντα προεγίνωσκεν ὁ θεός. καὶ γὰρ οὐχ ἡμέρα καὶ οὐ νύξ. οὔτε γὰρ ἡμέρα κυρίως ἦν διὰ τὸ τρίωρον ἐκεῖνο σκότος, οὔτε νὺξ ἀληθῶς διά τε τὸ μέχρις ἕκτης ὥρας καὶ B μετὰ τὴν ἐννάτην γενόμενον φῶς. ὃ δὴ καὶ δηλῶν ὁ προφήτης ἔλεγε „καὶ πρὸς ἑσπέραν ἔσται φῶς." ταῦτα δέ, ἀγαπητέ, οὐ μόνον προφῆται προεῖπον, ἀλλὰ καὶ ἐν πολλοῖς Ἑλληνικοῖς ὑπομνήμασιν εὕρηνται· καὶ σεισμὸν γὰρ μέγαν τηνικαῦτα λέγουσι γενέσθαι, καὶ σκότος τοσοῦτον ὥστε ἀστέρας φανῆναι.

6. μὲν om P.

nos enim ambo id temporis Heliopoli una eramus, et eodem in loco consistentes lunam inusitato modo in solem incidere cernebamus: quippe non illud coitionis eorum siderum tempus erat. deinde rursus eam conspiciebamus ab hora nona usque ad vesperam ratione quadam ultranaturali eo reversam, ut oppositum sibi ex diametro solem haberet. quinetiam ipse adeo tum temporis perculsus metu quodam obstupuit, ut ad me conversus diceret: haec, Dionysi, rerum divinarum sunt vicissitudines." hunc in modum hac de re Dionysius. de iisdem tenebris salutiferae passionis tempore obortis etiam Zacharias vates (14 6) admiranda quadam ratione loquitur. „illo" inquit „die lux nulla existet," quo videlicet Christus in crucem agetur: „sed toto die frigus ac gelu durabit; quem quidem diem dominus novit." deus enim omnia prius cognita habet. non is dies erit, nec item nox. nimirum appellari dies proprie non poterat propter illas trium horarum tenebras; nec reapse nox erat propter eam lucem, quae sextam horam antecessit et nonam est subsecuta. quod ipsum quoque vates innuens subiicit „sub vesperam lux erit." neque tantum haec, dilecte fili, sic a vatibus exposita sunt, verumetiam in multis Graecorum monumentis et commentariis reperiuntur, qui eo tempore tradunt terrae motum ingentem accidisse, tantasque tenebras, ut ipsa quoque sidera conspicerentur.

Τότε δὴ τότε καὶ προφητικὴν ἐπιφέρει ῥῆσιν ἐπὶ σταυροῦ τὴν οὕτω λέγουσαν „θεέ μου, θεέ μου, ἵνα τί με ἐγκατέλιπες;" Ἑβραϊστὶ δὲ ταῦτα ἔλεγεν ἠλὶ ἠλί, λαμμᾶ σαβαχθανί. τίνος ἕνεκεν; ἵνα καὶ τοῖς Ἰουδαίοις ταῦτα κατάδηλα
C γένηται. ἀλλ' ἐπὶ τοσοῦτον ἀκόλαστοι καὶ ἀσελγεῖς ὄντες ἐκεῖνοι, καθά φησιν ὁ τὴν γλῶτταν χρυσοῦς, ἐνόμισαν Ἠλίαν καλεῖν. καὶ οὗτοι μὲν οὕτως. ἀλλ' ἡ φωνὴ ἐκείνη καὶ τὸ καταπέτασμα ἔσχισε καὶ τὰ μνημεῖα ἀνέῳξεν. ἀλλ' οἱ μάταιοι καὶ τοιαῦτα βλέποντες συνιέναι ὅλως οὐκ ἤθελον. μᾶλλον μὲν οὖν „καταβάτω ἐκ τοῦ σταυροῦ" ἔλεγον „ἵνα ἴδωμεν καὶ πιστεύσωμεν." ἀλλ' ἐκεῖνος ἐν τῷ σταυρῷ μένων, ὥς ὁ χρυσορρήμων φησίν, ἐν τοῖς τῶν δούλων σώμασιν ἐκ περιουσίας ἐδείκνυε τοῦτο πολλῆς· εἰ γὰρ τὸ τεταρταῖον ἐξελθεῖν τὸν Λάζαρον μέγα, πολλῷ μᾶλλον τὸ πολλοὺς τῶν πάλαι κοιμη-
ἡ κιβωτός, ὧδε ἡ παρθένος· ἐκεῖ ἡ ῥάβδος Ἀαρών, ὧδε ὁ
σταυρός· ἐκεῖ ὁ ἀμνός, ὧδε ὁ Χριστός· ἐκεῖ τὰ ἄζυμα,
C ὧδε ὁ ἄρτος." ταῦτα μὲν ἐνεχαράχθη σοι κατ' ἐπιτομήν,
ὡς ὁρᾷς· οὐδὲ γὰρ ἐγχωρεῖ τὰ τοῦ καιροῦ πλεῖον ἐνδιατρῖ-
ψαι τοῖς περὶ τούτων λόγοις.

Ὁ δὲ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς εἰς τὸ σταυρωθῆναι
παραδίδοται· καὶ ὅρα τὰ μετὰ ταῦτα. ἀπὸ γὰρ ἕκτης
ὥρας σκότος ἐγένετο ἐπὶ πᾶσαν τὴν γῆν ἕως ὥρας ἐννάτης,
ἀγανακτοῦντος ἐπὶ τοῖς τολμωμένοις, οἷα εἰκός, τοῦ θεοῦ.
ὅτι γὰρ οὐκ ἦν ἔκλειψις, καθά φησιν ὁ τὴν γλῶτταν χρυ-
σοῦς, ἀλλ' ὀργὴ καὶ ἀγανάκτησις, καὶ ἀπὸ τοῦ καιροῦ δῆ-
λον· τρεῖς γὰρ ὥρας παρέμεινεν ἡ ἔκλειψις, ἥτις ἐν μιᾷ
V. 170 γίνεται καιροῦ ῥοπῇ. καὶ τὰ μὲν τοῦ Χρυσοστόμου τοιαῦτα·
D ὁ δὲ θειότατος Διονύσιος ὁ Ἀρεοπαγίτης οὐχ ἁπλῶς οὕτω,
κατὰ δὲ ἀντίφραξιν τῆς σελήνης τὸ σκότος ἐκεῖνο λέγει γενέ-
σθαι καινοπρεπῶς τὸ παγκόσμιον. ἐπιστέλλων γὰρ ἱεράρχῃ
τῷ Πολυκάρπῳ διὰ τὸν σοφιστὴν Ἀπολλοφάνην μὴ καταδε-
χόμενον τὰ Χριστιανῶν καὶ τάδε φησὶ κατὰ ῥῆμα πρὸς αὐ-
τόν. „εἰπὲ δὲ αὐτῷ τῷ Ἀπολλοφάνει, τί λέγεις περὶ τῆς ἐν
τῷ σωτηρίῳ σταυρῷ γεγονυίας ἐκλείψεως; ἀμφότεροι γὰρ
τότε κατὰ τὴν Ἡλίου πόλιν ἅμα παρόντες καὶ συνεστῶτες

12. καὶ ἀπὸ] καὶ γὰρ ἀπὸ P.

ait „littera erat, heic spiritus. istic arca, heic virgo. istic Aaronis virga, heic crux. istic agnus, heic Christus. istic infermentata, heic panis." haec quodam in compendio, ceu vides, perscripta tibi sunto: tempus enim non patitur ut diutius de rebus hisce commentemur.

Deinceps dominus noster Iesus Christus ad crucifigendum traditur: tu quae consecuta sint, vide. nam ab hora diei sexta tenebrae terram universam occuparunt ad horam usque nonam, deo, ceu credi par est, propter ea quae designabantur indignante. non enim solis defectum accidisse, quemadmodum Chrysostomus ait, sed rem totam ab ira et indignatione divina profectam fuisse, licet ex ipso etiam tempore colligere. duravit enim haec caligo tres horas, quae caeteroqui fieri solet in uno temporis momento. haec Chrysostomi est ratio. divinus autem vir ille, Dionysius Areopagita, non ita simpliciter, sed per obiectionem corporis lunaris, solem velut obstruentis, universales hasce tenebras exstitisse novo quodam et inusitato modo tradit. nam ad Polycarpum hierarcham de eo perscribens quod Apollophanes sophista Christianam religionem non amplecteretur, ad verbum haec profert. „dicito autem ei," nimirum Apollophani, „quid de illa censes eclipsi, quae salutiferae passionis tempore accidit?

παραδόξως τῷ ἡλίῳ τὴν σελήνην ἐμπίπτουσαν ἑωρῶμεν (οὐ γὰρ ἦν συνόδου καιρός) αὖθίς τε αὐτὴν ἀπὸ τῆς ἐννάτης ὥρας ἄχρι τῆς ἑσπέρας εἰς τὸ τοῦ ἡλίου διάμετρον ὑπερ- P. 220 φυῶς ἀντικαταστᾶσαν. τοσοῦτον δὲ καὶ αὐτὸς ἐξεπλάγη τότε ὡς οὕτω πρός με εἰπεῖν ‘ταῦτα, ὦ Διονύσιε, θείων ἀμοιβαὶ πραγμάτων εἰσί.’” καὶ ταῦτα μὲν τοῦτον ἔχει τὸν τρόπον, περὶ δὲ τοῦ σκοτασμοῦ ἐκείνου τοῦ κατὰ τὸ σωτήριον πάθος γεγονότος θαυμασίως πως καὶ τῷ προφήτῃ Ζαχαρίᾳ διείληπται· λέγει γάρ „ἐν ἐκείνῃ τῇ ἡμέρᾳ οὐκ ἔσται φῶς” (ἡνίκα δηλαδὴ σταυρωθήσεται ὁ Χριστός), „ἀλλὰ ψῦχος καὶ πάγος ἔσται μίαν ἡμέραν· καὶ ἡ ἡμέρα ἐκείνη γνωστὴ τῷ κυρίῳ.” ἄνω γὰρ ἅπαντα προεγίνωσκεν ὁ θεός. καὶ γὰρ οὐχ ἡμέρα καὶ οὐ νύξ. οὔτε γὰρ ἡμέρα κυρίως ἦν διὰ τὸ τρίωρον ἐκεῖνο σκότος, οὔτε νὺξ ἀληθῶς διά τε τὸ μέχρις ἕκτης ὥρας καὶ B μετὰ τὴν ἐννάτην γενόμενον φῶς. ὃ δὴ καὶ δηλῶν ὁ προφήτης ἔλεγε „καὶ πρὸς ἑσπέραν ἔσται φῶς.” ταῦτα δέ, ἀγαπητέ, οὐ μόνον προφῆται προεῖπον, ἀλλὰ καὶ ἐν πολλοῖς Ἑλληνικοῖς ὑπομνήμασιν εὕρηνται· καὶ σεισμὸν γὰρ μέγαν τηνικαῦτα λέγουσι γενέσθαι, καὶ σκότος τοσοῦτον ὥστε ἀστέρας φανῆναι.

6. μὲν om P.

nos enim ambo id temporis Heliopoli una eramus, et eodem in loco consistentes lunam inusitato modo in solem incidere cernebamus: quippe non illud coitionis eorum siderum tempus erat. deinde rursus eam conspiciebamus ab hora nona usque ad vesperam ratione quadam ultranaturali eo reversam, ut oppositum sibi ex diametro solem haberet. quinetiam ipse adeo tum temporis perculsus metu quodam obstupuit, ut ad me conversus diceret: haec, Dionysi, rerum divinarum sunt vicissitudines." hunc in modum hac de re Dionysius. de iisdem tenebris salutiferae passionis tempore obortis etiam Zacharias vates (14 6) admiranda quadam ratione loquitur. „illo" inquit „die lux nulla existet," quo videlicet Christus in crucem agetur: „sed toto die frigus ac gelu durabit; quem quidem diem dominus novit." deus enim omnia prius cognita habet. non is dies erit, nec item nox. nimirum appellari dies proprie non poterat propter illas trium horarum tenebras; nec reapse nox erat propter eam lucem, quae sextam horam antecessit et nonam est subsecuta. quod ipsum quoque vates innuens subiicit „sub vesperam lux erit." neque tantum haec, dilecte fili, sic a vatibus exposita sunt, verumetiam in multis Graecorum monumentis et commentariis reperiuntur, qui eo tempore tradunt terrae motum ingentem accidisse, tantasque tenebras, ut ipsa quoque sidera conspicerentur.

Τότε δὴ τότε καὶ προφητικὴν ἐπιφέρει ῥῆσιν ἐπὶ σταυροῦ τὴν οὕτω λέγουσαν „θεέ μου, θεέ μου, ἵνα τί με ἐγκατέλιπες;" Ἑβραϊστὶ δὲ ταῦτα ἔλεγεν ἠλὶ ἠλί, λαμμᾶ σαβαχθανί. τίνος ἕνεκεν; ἵνα καὶ τοῖς Ἰουδαίοις ταῦτα κατάδηλα
C γένηται. ἀλλ' ἐπὶ τοσοῦτον ἀκόλαστοι καὶ ἀσελγεῖς ὄντες ἐκεῖνοι, καθά φησιν ὁ τὴν γλῶτταν χρυσοῦς, ἐνόμισαν Ἠλίαν καλεῖν. καὶ οὗτοι μὲν οὕτως. ἀλλ' ἡ φωνὴ ἐκείνη καὶ τὸ καταπέτασμα ἔσχισε καὶ τὰ μνημεῖα ἀνέῳξεν. ἀλλ' οἱ μάταιοι καὶ τοιαῦτα βλέποντες συνιέναι ὅλως οὐκ ἤθελον. μᾶλλον μὲν οὖν „καταβάτω ἐκ τοῦ σταυροῦ" ἔλεγον „ἵνα ἴδωμεν καὶ πιστεύσωμεν." ἀλλ' ἐκεῖνος ἐν τῷ σταυρῷ μένων, ὡς ὁ χρυσορρήμων φησίν, ἐν τοῖς τῶν δούλων σώμασιν ἐκ περιουσίας ἐδείκνυε τοῦτο πολλῆς· εἰ γὰρ τὸ τεταρταῖον ἐξελθεῖν τὸν Λάζαρον μέγα, πολλῷ μᾶλλον τὸ πολλοὺς τῶν πάλαι κοιμη-
D θέντων φανῆναι ζῶντας ἀθρόον. καὶ πρόσχες τῷ θειοτάτῳ Ματθαίῳ περὶ τούτων οὕτω λέγοντι „πολλὰ δὲ σώματα τῶν κεκοιμημένων ἁγίων ἠγέρθησαν, καὶ εἰσῆλθον εἰς τὴν ἁγίαν πόλιν, καὶ ἐνεφανίσθησαν πολλοῖς μετὰ τὴν ἔγερσιν αὐτοῦ." ἀλλ' ἐνταῦθα προσέχειν σε ἄξιον. εἰ γὰρ κατὰ τὸν χρυσορρήμονα Ἰωάννην ἐπὶ σταυροῦ ἔτι ὄντος τοῦ Χριστοῦ τὰ τοιαῦτα ἠγέρθησαν σώματα, πῶς ἐμφανισθῆναι ταῦτα μετὰ τὴν τοῦ

Protulit tum Christus in cruce verbum istuc vatis (Psalm. 21 2) „mi deus, mi deus, cur me deseruisti"? protulit autem vocibus Hebraicis huiusmodi: „eli eli, lamasabachthani". cur istuc? ut Iudaei ea intelligerent. illi vero tanta furebant petulantia et procacitate, quemadmodum Chrysostomus ait, ut ipsum existimarent Eliam vocare. verum ea vox et templi velum diffidit et aperuit sepulcra; quae tametsi cernerent homines illi stolidi, prorsus tamen intelligere nolebant. immo etiam verbis huiusmodi obganniebant (Matth. 27 42): „Descendat de cruce, ut ea re visa fidem ipsi habeamus". verum ipse in cruce manens, ut Chrysostomus inquit, quod ab eo postulabatur, in suorum servorum corporibus excitatis a morte quadam velut ex abundantia declarabat. quanquam enim magnum aliquid fuit Lazarum toto iam quatriduo mortuum e sepulcro exire, longe tamen maius id erat quod multi iam olim vita functi subito vivi conspicerentur. factum autem hoc omnino esse, licet ex hisce Matthaei (27 52) verbis cognoscas: „multa corpora sanctorum, qui obdormiverant, suscitata sunt, et ipsi urbem sanctam ingressi, post resurrectionem eius a multis sunt conspecti". quibus verbis operae pretium fuerit te diligentius animum advertere. nam si de Iohannis Chrysostomi sententia Christo adhuc cruci suffixo corpora ista sunt resuscitata, qui fit ut evangelicae auctor historiae dicat ea post Christi e mortuis resurrectio-

*Χριστοῦ ἔγερσιν ὁ εὐαγγελιστὴς ἱστορεῖ; ἐγὼ δέδοικα μή-
ποτε τὸ αὐτοῦ ἀντὶ τοῦ αὐτῶν ὀφείλει ἀναγινώσκεσθαι· τὰ
γὰρ σώματα ἐκεῖνα μετὰ τὴν ἐκ νεκρῶν ἔγερσιν αὐτῶν καὶ* V. 171
εἰσήλθοσαν εἰς τὴν ἁγίαν πόλιν καὶ ἐνεφανίσθησαν πολλοῖς. P. 221
*τότε δὴ τότε καὶ ἡ προφητικὴ ῥῆσις ἔλαβε πέρας ἡ λέγουσα
τοῖς ἐν δεσμοῖς ἐξέλθετε καὶ τοῖς ἐν τῷ σκότει ἀνακαλύπτεσθε.
καὶ κατὰ μὲν τὴν ἕκτην ὥραν, ὥς φασιν αἱ γραφαί, σταυ-
ροῦται ὁ κύριος, κατὰ δὲ τὴν ἐννάτην τὸ πνεῦμα ταῖς πατρι-
καῖς χερσὶ παρατίθησιν.*

*Εἰ δὲ καὶ πρὸς ᾅδην ἀκούεις τὴν αὐτοῦ κατιέναι ἁγίαν
ψυχήν, μὴ θαύμαζε τούτου ἕνεκεν, ἀδύνατον εἶναι λέγων καὶ
πρὸς ᾅδην αὐτὴν κατελθεῖν καὶ ταῖς τοῦ πατρὸς παρατεθῆ-
ναι χερσίν. ἡ γὰρ τοῦ θεοῦ χείρ, ἡ τὰ πάντα δηλαδὴ συγ-
κρατοῦσα δύναμις, καὶ ἄνω ἐστὶν ἐν οὐρανῷ καὶ κάτω ἐπὶ
τῆς γῆς, καὶ τῶν τοῦ ᾅδου μυχῶν οὐ διαλείπει ποτέ. ὥστε* B
*εἰ καὶ πρὸς ᾅδην ἡ ἁγία τοῦ Χριστοῦ ψυχὴ τηνικαῦτα κα-
τήρχετο, ἀλλὰ τῆς τὰ πάντα συγκρατούσης δυνάμεως, κα-
θάπερ εἴπομεν, οὐ κατελιμπάνετο, εἴγε καὶ μᾶλλον δύναμις
τοῦ πατρὸς αὐτός ἐστιν ὁ Χριστός, ὡς ὁ Παῦλός φησι. πα-
ρατίθησι μὲν οὖν ταῖς πατρικαῖς χερσὶ τὴν ψυχήν, ὡς ἐν-
τεῦθεν καὶ πάσαις ταῖς τῶν δικαίων ψυχαῖς τὴν ἐπὶ τὰ ἄνω
πορείαν χαρίσασθαι (οὐδὲ γὰρ ἀπέθανε δωρεὰν ὑπὲρ αὐτῶν),*

2. *τὸ αὐτῶν ἀντὶ τοῦ αὐτοῦ* Meursius.

nem apparuisse? vereor equidem ne pro vocabulo *eius* legendum sit *eorum*. nam illa corpora postquam a mortuis resuscitata erant, urbem sanctam ingressa sunt et multis apparuerunt. tunc et illud vatis (Is. 49 9) oraculum finem habuit, quod vinculis alligatos exire iubet, et in tenebris versantes lucem accipere. Fuit autem hora sexta, quemadmodum litterae sacrae significant, dominus crucifixus: nona vero spiritum suum in manus paternas deposuit.

Ad orcum descendisse cum sanctam ipsius audis animam, noli obstupescere, neque dicere fieri haud quaquam potuisse ut eadem anima migraret ad orcum et paternis in manibus deponeretur. quippe dei manus, videlicet illa continens omnia vis et potestas, tum in coelo est superne tum in terris deorsum, neque adeo ipsis ab orci angulis unquam abest. quo fit ut si maxime sancta Christi anima id temporis ad orcum sit profecta, minime tamen a vi potestateque illa, ceu diximus, omnia continente abfuerit. immo dicendum potius potentiam patris ipsum esse Christum, quemadmodum Paulus loquitur. deponit igitur animam suam paternas in manus, ut hoc modo cunctis iustorum animabus iter ad superna coelestiaque largiretur: non

κάτεισι δὲ πρὸς τὸν ᾅδην, ἵνα καὶ τοῖς ἐκεῖσε κατεχομένοις
κηρύξῃ καὶ διδάξῃ πάντας ἣν ἠγνοήκασι θεοσέβειαν. καὶ πεί-
C θου τῷ κορυφαίῳ Πέτρῳ περὶ τούτων οὕτω διεξιόντι „καὶ
τοῖς ἐν φυλακῇ πνεύμασι πορευθεὶς ἐκήρυξεν ἀπειθήσασί
ποτε." ἀλλὰ καὶ ὁ θεολόγος Γρηγόριος ἐντεῦθεν ὁρμώμενος
περὶ τούτων οὕτω φησίν „ἆρα πάντας ἔσωσεν ἐπιφανεὶς ἐν
ᾅδῃ ὁ κύριος, ἢ κἀκεῖ τοὺς πιστεύσαντας;" μὴ οὖν ἀμφί-
βαλλε· καθάπερ γὰρ τοῖς ἐν γῇ εὐαγγελίσατο εἰρήνην, καὶ
τοῖς μὲν πιστεύσασι σωτηρίας γέγονε πρόξενος τοῖς δὲ ἀπει-
θήσασιν ἀπιστίας ἔλεγχος, ὡς ὁ Δαμασκηνὸς Ἰωάννης φησίν,
οὕτω καὶ τοῖς ἐν ᾅδῃ. μὴ θαύμαζε δέ, ἀγαπητέ, εἴγε καὶ
D ψυχαί τινες [ἐν ᾅδῃ κατεχόμεναι τὸ κατὰ Χριστὸν οὐκ ἠθέ-
λησαν δέξασθαι κήρυγμα· καθάπερ ἐπὶ τοῦ μακαρίου Παύ-
λου, ἡνίκα τὰ τῆς φυλακῆς ἔσεισε θεμέλια, ὁ μὲν δεσμοφύ-
λαξ εὐθέως ἐπίστευσεν, οἱ δὲ δεσμῶται τῇ ἀπιστίᾳ ἐναπέ-
μειναν, καὶ ταῦτα τὰς σιδηρᾶς αὐτῷ χειροπέδας ἑωρακότες
ἄφνω διαρραγείσας, οὕτω κἂν τοῖς ἐν ᾅδου γενήσεσθαι πίστευε.

Εἰ δὲ καὶ τὴν αἰτίαν βούλει μαθεῖν δι' ἣν ἐκήρυξε καὶ
ταῖς ἐν ᾅδου ψυχαῖς ὁ σωτήρ, αὕτη ἐστίν. ἐν τῷ ͵εφ' ἔτει
P. 222 γέγονεν ἡ τοῦ σωτῆρος ἡμῶν ἐνανθρώπησις. τίνος ἕνεκεν;

13. καθάπερ] ἀλλὰ καθάπερ?

enim gratis et frustra pro nobis est mortuus. ad orcum vero descendit (1 Petr. 3 19), ut etiam iis qui istic detinerentur praedicaret, ac religiosam illam pietatem docendo commonstraret quam prius ignorassent. fidem hac in parte summo illi Petro habeto, qui de rebus hisce in hunc modum disserit „etiam spiritibus qui erant in carcere praedicatum ivit, qui antea fidem non habuerant". quae sane verba secutus Gregorius ille theologus, in hunc modum hac de re disputat: num quaeso conspectus in orco salvavit omnes dominus, an eos tantum qui crediderant? noli scilicet hac de re ambigere. quemadmodum enim hominibus in terra degentibus laetum pacis nuntium exposuit, et credentibus quidem salutis exstitit auctor, incredulis vero propriae incredulitatis index, ut Iohannes Damascenus loquitur, ita cum iis etiam egit qui erant in orco. nec mirum, dilecte fili, tibi videatur quasdam in orco detentas animas praedicationem Christi nequaquam admisisse. Sicut enim accidisse videmus ut deo Pauli causa succutiente ipsa carceris fundamenta custos quidem ipse carceris continuo fidem amplecteretur, at reliqui vinculis adstricti sua persisterent in incredulitate, quanquam pedicas suas ferreas subito diruptas laceratasque cernerent, ita putato cum iis etiam actum fuisse qui orco detinebantur.

Quodsi causam quoque cupis cognoscere, qua de causa servator etiam iis animabus praedicaverit quae erant in orco, scito illam hanc esse. naturam nostram servator adsumpsit anno ab orbe condito 5500.

ὅτι κατ' ἐκεῖνον καιρὸν προήχθη εἰς φῶς ἡ τῷ κατὰ Χριστὸν μυστηρίῳ ὑπηρετοῦσα, ὡς ὁ μέγας ἔφη Βασίλειος, ὅτι τῆς κακίας ἡ νόσος, ὡς ὁ Νυσσαεὺς ἔφη θεῖος Γρηγόριος, τηνικαῦτα παρήκμαζεν, ἡ ἀρχῆθεν ἐνσκήψασα τῇ φύσει τῆς ἀνθρωπότητος, ὅτι τὰ ἔθνη καλούμενα τότε πεῖθεσθαι ἔμελλον· καὶ τοῦτό ἐστιν ὅπερ ὁ πάμμεγας ἔλεγε Παῦλος ὅτι ὅτε ἦλθε τὸ πλήρωμα τοῦ χρόνου, ἐξαπέστειλεν ὁ θεὸς τὸν υἱὸν αὐτοῦ. καλῶς οὖν ἐν τῷ διαληφθέντι ἔτει σαρκοῦται ὁ κύριος, ὅτι καὶ κατὰ πάντα τὸ τοιοῦτον εὔθετον ἦν. ἀλλ' ἐπειδὴ καί τινες τῶν ἐν ἀσεβείᾳ τὴν ζωὴν καταλυσάντων ἀγαθῆς τοσοῦτον ὑπῆρχον ψυχῆς ὥστε καὶ προσελθεῖν καλουμένους αὐτοὺς καὶ τὸ κατὰ Χριστὸν ἑτοίμως εὐαγγέλιον δέ- B
ξασθαι, εἴπερ εἶδον αὐτὸν ἐν τοῖς ἔμπροσθεν χρόνοις μετὰ V. 172
σαρκὸς ἐπὶ γῆς διατρίβοντα, τούτου χάριν οὐ παραιτεῖται καὶ πρὸς ᾅδην αὐτὸν κατελθεῖν καὶ ταῖς ἐκεῖσε κηρῦξαι ψυχαῖς, ὡς ἐντεῦθεν ἀναπολογήτους εἶναι ἅπαντας, καὶ μήτε τοὺς ἀγαθοὺς ἀπολέσαι τὴν ἑαυτῶν ἀγαθότητα, μήτε τοὺς οὐκ ἀγαθοὺς ἀντιλέγειν δύνασθαι ὡς εἴπερ εἴδομεν ἐπιστεύσαμεν ἄν. καὶ περὶ μὲν τούτων οὕτως.

Οἱ δὲ Ἰουδαῖοι, ἵνα μὴ μείνῃ ἐπὶ τοῦ σταυροῦ τὰ σώματα ἐν σαββάτῳ, ἐπεὶ παρασκευὴ ἦν (ἦν γὰρ μεγάλη ἡμέρα ἐκείνη τοῦ σαββάτου), ἠρώτησαν τὸν Πιλᾶτον, καὶ τὰ ἑξῆς.

Quamobrem istuc? quod eo tempore ad lucem ea perduceretur quae mysterio Christi servitura erat, ut magnus ille Basilius inquit. etenim vitiositatis morbus, ceu Nyssensis ille Gregorius loquitur, qui ab initio naturam humanam invaserat, vigorem iam suum amiserat. quippe gentes nunc per vocationem crediturae erant, uti magnus etiam Paulus ille (Gal. 4 4) verbis hisce significat „posteaquam plenitudo temporis advenit, filium suum deus ablegavit." recte igitur anno iam indicato carnem dominus adsumit, quod esset is ad hanc rem omnino appositus atque commodus. quia vero nonnulli eorum qui vitam in pietatis ignoratione suam clauserant, tam egregiis erant animis praediti, ut vocati omnino accessuri fuissent et evangelium de Christo amplexuri, si quidem eum superioribus saeculis cum carne in terris degentem conspexissent, propterea non recusat etiam ad orcum descendere ac detentis istic animabus praedicare, ut hoc modo nemini ullus se purgandi locus relinqueretur, nec vel boni suam bonitatem perderent, vel mali respondere verbis huiusmodi possent „si vidissemus, omnino adhibuissemus fidem". haec de his dicta sunto.

Caeterum Iudaei ne in cruce corpora per sabbatum manerent, quando tum praeparationis dies erat, sabbati autem dies celebris atque magna, exorato precibus Pilato Iesum de ligno dimittunt, isque

κάτεισι δὲ πρὸς τὸν ᾅδην, ἵνα καὶ τοῖς ἐκεῖσε κατεχομένοις κηρύξῃ καὶ διδάξῃ πάντας ἣν ἠγνοήκασι θεοσέβειαν. καὶ πεί- C θου τῷ κορυφαίῳ Πέτρῳ περὶ τούτων οὕτω διεξιόντι „καὶ τοῖς ἐν φυλακῇ πνεύμασι πορευθεὶς ἐκήρυξεν ἀπειθήσασί ποτε." ἀλλὰ καὶ ὁ θεολόγος Γρηγόριος ἐντεῦθεν ὁρμώμενος περὶ τούτων οὕτω φησίν „ἆρα πάντας ἔσωσεν ἐπιφανεὶς ἐν ᾅδῃ ὁ κύριος, ἢ κἀκεῖ τοὺς πιστεύσαντας;" μὴ οὖν ἀμφίβαλλε· καθάπερ γὰρ τοῖς ἐν γῇ εὐαγγελίσατο εἰρήνην, καὶ τοῖς μὲν πιστεύσασι σωτηρίας γέγονε πρόξενος τοῖς δὲ ἀπειθήσασιν ἀπιστίας ἔλεγχος, ὡς ὁ Δαμασκηνὸς Ἰωάννης φησίν, οὕτω καὶ τοῖς ἐν ᾅδῃ. μὴ θαύμαζε δέ, ἀγαπητέ, εἴγε καὶ D ψυχαί τινες ἐν ᾅδῃ κατεχόμεναι τὸ κατὰ Χριστὸν οὐκ ἠθέλησαν δέξασθαι κήρυγμα· καθάπερ ἐπὶ τοῦ μακαρίου Παύλου, ἡνίκα τὰ τῆς φυλακῆς ἔσεισε θεμέλια, ὁ μὲν δεσμοφύλαξ εὐθέως ἐπίστευσεν, οἱ δὲ δεσμῶται τῇ ἀπιστίᾳ ἐναπέμειναν, καὶ ταῦτα τὰς σιδηρᾶς αὐτῷ χειροπέδας ἑωρακότες ἄφνω διαρραγείσας, οὕτω κἂν τοῖς ἐν ᾅδου γενήσεσθαι πίστευε.

Εἰ δὲ καὶ τὴν αἰτίαν βούλει μαθεῖν δι' ἣν ἐκήρυξε καὶ ταῖς ἐν ᾅδου ψυχαῖς ὁ σωτήρ, αὕτη ἐστίν. ἐν τῷ ἐφ' ἔτει P. 222 γέγονεν ἡ τοῦ σωτῆρος ἡμῶν ἐνανθρώπησις. τίνος ἕνεκεν;

13. καθάπερ] ἀλλὰ καθάπερ?

enim gratis et frustra pro nobis est mortuus. ad orcum vero descendit (1 Petr. 3 19), ut etiam iis qui istic detinerentur praedicaret, ac religiosam illam pietatem docendo commonstraret quam prius ignorassent. fidem hac in parte summo illi Petro habeto, qui de rebus hisce in hunc modum disserit „etiam spiritibus qui erant in carcere praedicatum ivit, qui antea fidem non habuerant". quae sane verba secutus Gregorius ille theologus, in hunc modum hac de re disputat: num quaeso conspectus in orco salvavit omnes dominus, an eos tantum qui crediderant? noli scilicet hac de re ambigere. quemadmodum enim hominibus in terra degentibus laetum pacis nuntium exposuit, et credentibus quidem salutis exstitit auctor, incredulis vero propriae incredulitatis index, ut Iohannes Damascenus loquitur, ita cum iis etiam egit qui erant in orco. nec mirum, dilecte fili, tibi videatur quasdam in orco detentas animas praedicationem Christi nequaquam admisisse. Sicut enim accidisse videmus ut deo Pauli causa succutiente ipsa carceris fundamenta custos quidem ipse carceris continuo fidem amplecteretur, at reliqui vinculis adstricti sua persisterent in incredulitate, quanquam pedicas suas ferreas subito diruptas laceratasque cernerent, ita putato cum iis etiam actum fuisse qui orco detinebantur.

Quodsi causam quoque cupis cognoscere, qua de causa servator etiam iis animabus praedicaverit quae erant in orco, scito illam hanc esse. naturam nostram servator adsumpsit anno ab orbe condito 5500.

ὅτι κατ' ἐκεῖνον καιρὸν προήχθη εἰς φῶς ἡ τῷ κατὰ Χρι-
στὸν μυστηρίῳ ὑπηρετοῦσα, ὡς ὁ μέγας ἔφη Βασίλειος, ὅτι
τῆς κακίας ἡ νόσος, ὡς ὁ Νυσσαεὺς ἔφη θεῖος Γρηγόριος,
τηνικαῦτα παρήκμαζεν, ἡ ἀρχῆθεν ἐνσκήψασα τῇ φύσει τῆς
ἀνθρωπότητος, ὅτι τὰ ἔθνη καλούμενα τότε πείθεσθαι ἔμελ-
λον· καὶ τοῦτό ἐστιν ὅπερ ὁ πάμμεγας ἔλεγε Παῦλος ὅτι
ὅτε ἦλθε τὸ πλήρωμα τοῦ χρόνου, ἐξαπέστειλεν ὁ θεὸς τὸν
υἱὸν αὐτοῦ. καλῶς οὖν ἐν τῷ διαληφθέντι ἔτει σαρκοῦται ὁ
κύριος, ὅτι καὶ κατὰ πάντα τὸ τοιοῦτον εὔθετον ἦν. ἀλλ'
ἐπειδὴ καί τινες τῶν ἐν ἀσεβείᾳ τὴν ζωὴν καταλυσάντων
ἀγαθῆς τοσοῦτον ὑπῆρχον ψυχῆς ὥστε καὶ προσελθεῖν καλου-
μένους αὐτοὺς καὶ τὸ κατὰ Χριστὸν ἑτοίμως εὐαγγέλιον δέ- B
ξασθαι, εἴπερ εἶδον αὐτὸν ἐν τοῖς ἔμπροσθεν χρόνοις μετὰ V. 172
σαρκὸς ἐπὶ γῆς διατρίβοντα, τούτου χάριν οὐ παραιτεῖται
καὶ πρὸς ᾅδην αὐτὸν κατελθεῖν καὶ ταῖς ἐκεῖσε κηρῦξαι ψυ-
χαῖς, ὡς ἐντεῦθεν ἀναπολογήτους εἶναι ἅπαντας, καὶ μήτε
τοὺς ἀγαθοὺς ἀπολέσαι τὴν ἑαυτῶν ἀγαθότητα, μήτε τοὺς
οὐκ ἀγαθοὺς ἀντιλέγειν δύνασθαι ὡς εἴπερ εἴδομεν ἐπιστεύ-
σαμεν ἄν. καὶ περὶ μὲν τούτων οὕτως.

Οἱ δὲ Ἰουδαῖοι, ἵνα μὴ μείνῃ ἐπὶ τοῦ σταυροῦ τὰ σώματα ἐν σαββάτῳ, ἐπεὶ παρασκευὴ ἦν (ἦν γὰρ μεγάλη ἡμέρα ἐκείνη τοῦ σαββάτου), ἠρώτησαν τὸν Πιλᾶτον, καὶ τὰ ἑξῆς.

Quamobrem istuc? quod eo tempore ad lucem ea perduceretur quae mysterio Christi servitura erat, ut magnus ille Basilius inquit. etenim vitiositatis morbus, ceu Nyssensis ille Gregorius loquitur, qui ab initio naturam humanam invaserat, vigorem iam suum amiserat. quippe gentes nunc per vocationem crediturae erant, uti magnus etiam Paulus ille (Gal. 4 4) verbis hisce significat „posteaquam plenitudo temporis advenit, filium suum deus ablegavit." recte igitur anno iam indicato carnem dominus adsumit, quod esset is ad hanc rem omnino appositus atque commodus. quia vero nonnulli eorum qui vitam in pietatis ignoratione suam clauserant, tam egregiis erant animis praediti, ut vocati omnino accessuri fuissent et evangelium de Christo amplexuri, si quidem eum superioribus saeculis cum carne in terris degentem conspexissent, propterea non recusat etiam ad orcum descendere ac detentis istic animabus praedicare, ut hoc modo nemini ullus se purgandi locus relinqueretur, nec vel boni suam bonitatem perderent, vel mali respondere verbis huiusmodi possent „si vidissemus, omnino adhibuissemus fidem". haec de his dicta sunto.

Caeterum Iudaei ne in cruce corpora per sabbatum manerent, quando tum praeparationis dies erat, sabbati autem dies celebris atque magna, exorato precibus Pilato Iesum de ligno dimittunt, isque

C κατάγουσιν οὖν ἀπὸ τοῦ ξύλου τὸν Ἰησοῦν, καὶ μνήματι καινῷ κατατίθενται. ἀλλ' ὅρα κἀνταῦθ' τὴν τοῦ θεοῦ σοφίαν, ἀγαπητέ, ἵνα μὴ τὸν σταυρὸν αὐτὸν ζημιωθῶμεν, ἵνα μὴ τὸ πανάγιον τοῦ κυρίου σῶμα πυρὸς ἢ θαλάσσης ἔργον ποιήσωσι, τῇ συνήθει κἂν τούτῳ μανίᾳ χρησάμενοι, τὸν Αὔγουστον ἤγειρε Καίσαρα τὴν οἰκουμένην ἅπασαν ἀπογράψασθαι. γίνεται ταῦτα, καὶ τὸ τῶν Ἑβραίων γένος τῇ τῶν Ῥωμαίων ὑποπίπτει ἀρχῇ. ταύτῃ τοι καὶ τῷ λαχόντι Πιλάτῳ τὴν ἡγεμονίαν αὐτῶν παριστῶσι τὸν κύριον, μὴ συγχωρούμενοι τὸ βουλητὸν αὐτοῖς ἐπ' αὐτῷ διαπράξασθαι. καὶ γὰρ
D εἰ συνεχωρήθησαν, λίθοις ἂν τὸν Χριστὸν ἐθανάτωσαν ἢ ξυλίνῳ κατέπρισαν πρίονι, κἀντεῦθεν ἡμεῖς τὸν φύλακα ἡμῶν ἐζημιούμεθα σταυρόν. εἰ γὰρ τὸν φιλόθεον Ἱερεμίαν βορβόρου λάκκῳ ἐνέβαλον, τί οὐκ ἂν εἰς τὸ τοῦ κυρίου σῶμα ἐποίησαν, εἰ μή γε τὸν Ῥωμαϊκὸν εἶχον νόμον αὐτοὺς ἀναστέλλοντα; γίνεται λοιπὸν ἡ ἀπογραφή, τὰ τῆς εὐταξίας εἰσάγεται, κἀντεῦθεν τὸ τοῦ κυρίου σῶμα τελείᾳ ταφῇ παραδίδοται.

Οἶδα δέ, ἀγαπητέ, ὅτι καὶ περὶ τῆς τριημέρου ταφῆς τοῦ κυρίου πολλὴν ἐποιήσω συζήτησιν, ἡμέρας ἐκμετρῆσαι δῆθεν ἐπὶ ταύτης τρεῖς μὴ δυνάμενος. ἀλλ' ἄφες, εἰ βούλει, τῶν πολλῶν, ὅτι καὶ λογισμῶν ἀνθρωπίνων εἰσὶν ἐφευρέ-
P. 223 ματα. πείθου δὲ μᾶλλον Ἰσιδώρῳ τῷ Πηλουσιώτῃ λέγοντι

13. φιλόθεον] φίλον αὐτοῖς MV.

novum in monumentum deponitur. heic quoque, dilecte fili, sapientiam mihi divinam intuere. quippe ne crucis beneficio spoliaremur, neve sacrosanctum illud domini corpus Iudaei vel igne vel mari perderent, furore videlicet consueto usi, Augustum Caesarem excitat ut mundum universum censeret. quo facto Hebraeorum natio Romanorum in potestatem devenit. propterea captum ab se dominum Pilato sistunt, qui praetoris apud ipsos munere fungebatur. ita potestas eis adempta est, quominus ex animi sui libidine cum ipso agerent. etenim si permissum hoc eis fuisset, vel lapidibus ad mortem usque Christum obruissent vel serra lignea dissecuissent, eoque pacto nobis custos illa nostra crux periisset. quippe si Dei amicum Ieremiam in voraginem lutosam abiecerunt, quid non in ipsum domini corpus designassent, ni lege Romana repressi fuissent? hac igitur de causa census institutus fuit et egregie ordinata res publica, ut domini quoque corpus expers sepulturae non foret.

Memini etiam, dilecte fili, te mecum multa de triduana domini sepultura contulisse, cum trium dierum heic spatium metiri non posses. velim te autem hac in parte opiniones plerorumque missas facere tanquam humanarum ratiocinationum inventa. potius Isidoro Pelusiotae fidem adhibeto, qui huiusmodi quaedam tradit. quod in

ὅτι καθάπερ ἐπὶ τῶν τελευτώντων ποιεῖν εἰώθαμεν, ὁποίᾳ δ' ἂν ὥρᾳ τελευτήσῃ τις, τὴν ἑξῆς μόνην ὑπερτιθέμεθα, τῇ δὲ ἑτέρᾳ ἕωθεν τριταίαν ἄγομεν ἡμέραν αὐτοῦ· καὶ οὕτω καὶ ἐπὶ αὐτοῦ τοῦ Χριστοῦ διανοεῖσθαί σε χρή. καὶ γὰρ κατὰ τὴν παρασκευὴν παρέδωκε τὸ πνεῦμα· τοῦτο μία ἡμέρα. τὸ σάββατον ὅλον ἐν τῷ τάφῳ ἐποίησεν· ἰδοὺ δύο ἡμέραι. μετὰ δὲ τοῦτο τῆς κυριακῆς ἐπιφωσκούσης ἐκ τάφου ἐγήγερται· ἰδοὺ καὶ τρίτην ἔχεις ἡμέραν. καὶ πείθου τοῖς περὶ Λουκᾶν καὶ Κλεόπαν οὕτω λέγουσι πρὸς αὐτὸν τὸν Χριστόν „ἀλλά γε σὺν πᾶσι τούτοις τρίτην ταύτην ἡμέραν ἄγει σήμερον, ἀφ' οὗ ταῦτα ἐγένετο". εἰ δὲ καὶ τάχιον ἐκ τάφου ἐγήγερται, B
οὐ κατὰ τοῦτο πάντως αἰτιασθήσεται, μᾶλλον μὲν οὖν καὶ προσκυνηθήσεται παρὰ πάντων, ὅτι μὲν τὴν ἐμπρόθεσμον καρτερήσας ὑπόσχεσιν τὴν ἐκ νεκρῶν αὐτοῦ τάχιον ἐποιήσατο ἔγερσιν. καὶ περὶ μὲν τούτων οὕτως ὁ διαληφθεὶς θεῖος ἀνήρ, ὁ δὲ χρυσορρήμων Ἰωάννης φησὶν ὅτι καὶ λίαν ἐποίησε καλῶς ὁ Χριστὸς πρὸ τῆς τῶν τριῶν ἡμερῶν συμπληρώσεως ἐγερθεὶς ἐκ νεκρῶν. εἰ μὴ γὰρ τότε ἀνέστη καθημένων αὐτόθι τῶν στρατιωτῶν καὶ φυλασσόντων, ἀλλ' ἀναχωρησάντων μετὰ τὴν τρίτην ἡμέραν, εἶχον ἄν τι καὶ λέγειν οἱ κάκιστοι. προέφθασε λοιπὸν ἀναστάς. ἔδει γὰρ παρα-

13. μὲν] μὴ?

iis facere consuevimus qui vita decesserunt, ut quacunque tandem hora quis moriatur, modo dies alter intercedat, eum summo tertii diei mane triduo iam mortuum perhibeamus, idem de Christo cogitare nos oportet. nam is ipso praeparationis die spiritum deo tradidit: dies igitur hic unus est. sabbatum totum in sepulcro mansit: en diem alterum habes. deinde cum iam dominicus dies diluxisset, e sepulcro resurgit: en diem tibi tertium. haec vera dabis, si Lucae (24 21) voles et Cleopae credere, qui ad ipsum Christum aiunt „accedit ad haec omnia, quod tertius hic dies agitur, ex quo haec facta sunt." citius autem aliquanto Christum e sepulcro resurrexisse, culpam omnino nullam meretur: sed potius hoc nomine magis etiam ab omnibus est adorandus, quod praestita toleranter promissione, certi temporis spatio definita, celerius resurrectionem ex mortuis suam maturaverit. in hunc modum divinus ille vir, quem diximus, hac de re disseruit. Iohannes autem Chrysostomus ait Christum etiam valde in eo praeclare fecisse, quod ante dies tres completos resurrexerit. etenim si eo ipso tempore non resurrexisset, commorantibus adhuc istic militibus sepulcrumque custodientibus, adeoque si milites illinc tertio die discessissent, homines improbissimi fortasse nonnihil habuissent quo se purgarent. quapropter resurgendo ipsos antevertit, quod oporteret omnino illis adhuc sepulcrum

C καθημένων αὐτῶν γενέσθαι τὴν ἀνάστασιν. οὐκοῦν ἠναγκά-
V. 173 ζετο καὶ τῶν τριῶν ἡμερῶν ἐντὸς ἐκ νεκρῶν ἐγερθῆναι, ὡς
εἴγε παρελθουσῶν αὐτῶν κἀκείνων ἀναχωρησάντων ἡ ἀνά-
στασις γέγονεν, ὕποπτον ἂν εἶναι τὸ πρᾶγμα ἔμελλε· διὸ καὶ
σφραγίσαι τὸν τάφον, ὡς ἐβούλοντο, συνεχώρησεν ὁ Πιλᾶτος.
εἰ δὲ ταῦτα οὕτως ἔχει, μὴ ἐπὶ πλέον τὰ θεῖα περιεργάζου
ῥητά, μηδὲ ζήτει τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας ἐπὶ τῇ ταφῇ
τοῦ Χριστοῦ καὶ σωτῆρος ἡμῶν, ὅπου γε καὶ ταύτας, εἰ βού-
λει, τὸν θειότατον ἔχεις Ἰσίδωρον ἐκμετροῦντά σοι. ἕκτῃ
ὥρᾳ τῆς παρασκευῆς ἐσταυρώθη ὁ κύριος. ἀπὸ ταύτης ἕως
ὥρας ἐννάτης σκότος ἐγένετο· τοῦτό μοι νύκτα νόησον. πά-
D λιν ἀπὸ ἐννάτης ἕως ἑσπέρας αὐτῆς φῶς· τοῦτο νόησον αὖ-
θις ἡμέραν. ἔχεις ἰδοὺ νυχθήμερον ἕν. πάλιν ἡ νὺξ τῆς
παρασκευῆς καὶ ἡ τοῦ σαββάτου ἡμέρα νυχθήμερον· ἔχεις
ἰδοὺ νυχθήμερα δύο. πάλιν ἡ τοῦ σαββάτου νὺξ καὶ ὁ τῆς
κυριακῆς ὄρθρος νυχθήμερον· ἔχεις ἰδοὺ νυχθήμερον τρίτον,
ἐν ᾧ καὶ ἀνέστη ὁ κύριος, εἴγε καὶ ἄδηλος ἦν ἡ ὥρα τῆς
ἀναστάσεως, καθὰ δὴ καὶ ἡ τῆς δευτέρας παρουσίας αὐτοῦ.

P. 224 Οἶδα δέ, ἀγαπητέ, καὶ τοῦτο πρὸς τοῖς ἄλλοις ζητοῦντά
σε, τίνος ἕνεκεν ἡ τοῦ κυρίου ταφὴ τριήμερος καὶ οὐ πλείων
ἢ ἐλάσσων αὕτη ἐγένετο. ὑπὲρ πάσης ἔπρεπε τῆς τῶν ἀν-

obsidentibus resurrectionem fieri. quod si accidere debebat, necessario intra diem tertium ipsi a mortuis resurgendum erat. quippe si facta resurrectio fuisset triduo iam praeterito et illis a sepulcro digressis, omnino res suspecta fuisset. hac ipsa de causa Pilatum concedere voluit deus ut sigillo sepulcrum obsignaretur. quae cum ita sint, cave in divinarum litterarum verba curiosius inquiras, neve tres integros dies cum tribus noctibus in sepultura Christi ac servatoris nostri desideres, praesertim cum Isidorum plane divinum hominem habeas, qui spatium hoc tibi metitur. sexta praeparatorii diei hora dominus est crucifixus. ab hac ad nonam usque horam caligo exstitit: eam tu mihi pro nocte ducito. rursus ab hora nona usque ad vesperam lux fuit: hic iterum tibi dies esto. quamobrem iam integrum diei noctisque spatium habes. secuta est diem praeparationis nox, indeque dies sabbati; quae duo rursum diei noctisque spatium integrum constituunt, ut iam dies duos totidemque noctes habeas. post haec sabbati nox et dominici diluculum noctem diemque similiter efficiunt; quod iam diurnum nocturnumque spatium tertium erit, quo dominus resurrexit, quanquam incerta fuerit hora resurrectionis eius, sicut et de alterius adventus hora nemo certus esse poterit.

Memini vero, dilecte fili, te inter alia de hoc etiam quaesivisse, quamobrem scilicet domini sepultura triduana fuerit, non maioris vel minoris intervalli. nimirum pro universa hominum natura Christum

θρώπων φύσεως ἀποθανεῖν τὸν Χριστόν, ὑπέρ τε δηλαδὴ τῶν προαποθανόντων τῶν τε περιόντων καὶ τῶν μελλόντων γενέσθαι, ἐπειδὴ καὶ τρεῖς εἰσὶ καιροί, παρεληλυθὼς ἐνεστὼς μέλλων. καὶ τοὺς μὲν προαποθανόντας ἔσωσε κατελθὼν ἐν τῷ ᾅδῃ, τοὺς δὲ τότε περιόντας ἔσωσεν ὡς πιστεύσαντας εἰς αὐτόν, τοὺς δὲ μετὰ ταῦτα γενησομένους ὡς πιστεύσαντας εἰς τὸ τῶν ἀποστόλων κήρυγμα καὶ βαπτισθέντας. εἰ οὖν τὴν ὅλην ἡμῶν φύσιν ἔλαβε, δῆλον ὅτι καὶ τὴν ὅλην ἡμῶν φύσιν B ἀνέπλασε. καλῶς οὖν ἡ τοῦ κυρίου ταφὴ τριήμερος γέγονεν.

Ἀνίσταται οὖν ὁ κύριος ἐκ νεκρῶν, ἀλλ' οὐκ αὐτίκα πρὸς οὐρανοὺς ἀνάγεται. κατὰ γὰρ τὸν μέγαν Ἀθανάσιον, τοὺς μαθητὰς ἐπιστηρίξαι βουλόμενος ἡμέρας ἐνταῦθα ποιεῖ μ', ὀπτανόμενος αὐτοῖς ἔστιν ὅτε καὶ τὰ πρὸς εἰρήνην διαλεγόμενος, ὠτειλὰς ἐν τῷ θεοειδεῖ δεικνύων ἐκείνῳ σώματι, συνεσθίων αὐτοῖς ἅμα καὶ πίνων, οὐχ ὡς τροφῆς δεόμενος ἀλλὰ πιστούμενος, καὶ τἆλλα πάντα ποιῶν ὅσαπερ εἴωθε τοὺς ἀσθενεῖς ἀσφαλίζεσθαι. καὶ πρῶτα μὲν ὤφθη δυσὶ γυναιξίν, ἡνίκα καὶ τοὺς πόδας αὐτοῦ κρατήσασαι κατησπάζοντο. ἔπειτα C τῇ Μαγδαληνῇ μόνῃ ὀπτάνεται, μετὰ δὲ ταῦτα τῷ κορυφαίῳ Πέτρῳ, καθὰ καὶ Παῦλός φησιν „ὁ κύριος ἐγερθεὶς ἐκ νεκρῶν ὤφθη πρῶτον Κηφᾷ". ὤφθη τοῖς περὶ Λουκᾶν καὶ

mori oportebat, pro iis scilicet qui iam ante in fata concesserant, pro vivis adhuc, et pro exstituris aliquando. quippe tria quoque tempora sunt, praeteritum, futurum, praesens. eos qui iam decesserant, servavit ad orcum descendens; superstites autem id temporis, ut qui credidissent in ipsum; exstituros denique aliquando, tanquam in apostolorum praedicationem credituros et baptismum consecuturos. si ergo totam naturam nostram adsumpsit, perspicuum est etiam totam naturam nostram ipsum refinxisse. quamobrem domini sepultura non abs re triduana fuit.

Hoc modo ex mortuis dominus resurgit, sed non statim ad coelos subvehitur. nam de magni Athanasii sententia propterea dies in terris 40 commoratus est dominus, quod discipulos confirmare vellet. iccirco se conspiciendum eis interdum praebet, amice pacificeque cum eis loquitur, cicatrices in corpore divino commonstrat, comedit atque bibit una, caetera denique facit omnia quae ad confirmandos imbecillos aliquid adferre momenti possent. primum omnium a duabus mulierculis conspectus est, quo tempore pedibus illae comprehensis eum amplectebantur. deinde soli Magdalenae apparet; hinc Petro Apostolorum principi, vel ipso Paulo teste, qui ait (1 Cor. 15 5) „resuscitatus ex mortuis dominus primo a Cepha conspectus est." secundum haec conspectus est a Luca et Cleopa, conspectus a discipulis decem,

Κλεόπαν, ὤφθη τοῖς δέκα, εἶτα τοῖς ἕνδεκα· ὤφθη κατὰ τὴν Γαλιλαίαν αὐτοῖς, ὁμοίως ἐν τῇ Τιβεριάδι· ὤφθη Ἰακώβῳ τῷ ἀδελφοθέῳ· ὤφθη ἐπάνω πεντακοσίων ἀνδρῶν. καὶ τελευταῖον ἐφάνη αὐτοῖς ἐν τῷ ὄρει τῶν ἐλαιῶν, ἐν ᾧ καὶ τὴν χαμόθεν ἐποιήσατο ἔπαρσιν μεθ' ἡμέρας, ὡς εἴρηται, μ΄.

Εἰ δὲ καὶ τοῦτο βούλει μαθεῖν, τίνος ἕνεκεν μετὰ τὴν
D ἐκ νεκρῶν αὐτοῦ ἔγερσιν ἡμέρας ἐπὶ γῆς ἐποίησε μ΄ καὶ οὐ
V. 174 πλεῖον ἢ ἔλασσον, ὁ μέγας ἰδοὺ Ἐπιφάνιος δι' ὀλίγων ἐπιλύσει σοι τὸ τοιοῦτον ἀπόρρητον. „ὃν γὰρ τρόπον" φησί „μετὰ τὸ γεννηθῆναι ὁ Χριστὸς ἀνεκλίθη ἐν φάτνῃ, ἐσπαργανώθη, καὶ μεθ' ἡμέρας μ΄ προσήχθη τῷ θείῳ ναῷ καὶ κατὰ τὸν τοῦ Μωσέως νόμον παρέστη τῷ θεῷ, οὕτω καὶ πρωτότοκος ἐκ νεκρῶν γεγονὼς ἡμέρας ἐνταῦθα ποιεῖ μ΄, εἶθ' οὕτως πρὸς τὸ ἄνω Ἱερουσαλὴμ ἐπανάγεται, τῷ προσώπῳ τοῦ θεοῦ ἐμφανισθησόμενος ὑπὲρ ἡμῶν". καὶ πείθου τῷ μεγάλῳ Παύλῳ λέγοντι „οὐ γὰρ εἰς χειροποίητα ἅγια ἐσῆλθεν ὁ Χριστός, ἀντίτυπα τῶν ἀληθινῶν, ἀλλ' εἰς αὐτὸν τὸν οὐρανὸν νῦν ἐμφανισθῆναι τῷ προσώπῳ τοῦ θεοῦ ὑπὲρ ἡμῶν."

P. 225 Οὐκοῦν ἀνελήφθη ὁ κύριος. ἡμέραι μετὰ ταῦτα διέρχονται δέκα, καὶ ἡ τοῦ παναγίου πνεύματος γίνεται κάθοδος. μετὰ δέκα δὲ συμπλήρωσιν ἡμερῶν ἡ τοιαύτη γίνεται κάθοδος, διότι τέλειος ὁ δέκατος ἀριθμός. ἐπειδὴ τοίνυν, τὸ πνεῦ-

14. τὸ om P. 22. δέκα?

conspectus ab undecim; ab iisdem conspectus in Galilaea, consimiliter ad Tiberiadem; conspectus a Iacobo Christi dei fratre, conspectus a pluribus quam quingentis hominibus; conspectus postremum ab eis in olivarum monte, ubi etiam a terra sublatus est, post diem, ceu diximus, quadragesimum.

Quodsi iam illud quoque cognoscere cupis, quamobrem post excitationem de mortuis dies illos 40 in terris egerit, non plures vel pauciores, en magnus Epiphanius hanc tibi dubitationem paucis dissolvet. quo pacto, inquit, Christus statim a nativitate sua reclinatus est in praesepi, fasciis involutus, post quadragesimum diem ad templum deportatus ac secundum Mosaicae legis praescriptum oblatus deo, sic etiam tum, cum primogenitus mortuorum factus esset, dies in terris 40 commoratur, atque ita deinde supernam Hierosolymam revertitur, coram vultu dei nostra causa compariturus. persuadeat hoc ipse tibi Paulus, cum ait (Hebr. 9 24) „non in sacraria manufacta Christus ingressus est, quae verorum sacrariorum simulacra sunt: sed in coelum ipsum, ut modo nostra causa coram dei facie compareat.

Posteaquam vero adsumptus fuisset dominus, decem elapsis diebus sanctus ille spiritus e coelo descendit. factum hoc est decimo post die propterea, quod numerus denarius sit perfectus. quoniam

μα τὸ ἅγιον ἐπὶ τοῦτο κατερχόμενον, ἵνα καὶ τοὺς ἀτελεῖς μαθητὰς τελείους ἀπεργάσηται, τούτου χάριν ἐν ἀριθμῷ τελείῳ, τουτέστιν ἐν ἡμέρᾳ δεκάτῃ, πρὸς αὐτοὺς ἐπεφοίτησεν. ὅτι δὲ τελείους ἔδειξε τοὺς ἀτελεῖς μαθητάς, ὁ κορυφαῖος Πέτρος τοῦτο παρέστησεν. ὅρα γὰρ νουνεχῶς ὅτι παιδίσκῃ τινὶ πρότερον οἰκτρᾷ θροηθεὶς τὸν διδάσκαλον τρίτον ἠρνήσατο, τῷ παναγίῳ δὲ πνεύματι στομωθεὶς ὕστερον μετὰ παρ- B
ρησίας ὅτι πολλῆς ἐδημηγόρει μέσον λαοῦ κἀντεῦθεν ἔπειθεν ἅπαντας ἀνενδοιάστως προσέρχεσθαι τῷ Χριστῷ.

Μεθ' ἡμέρας οὖν, ὡς εἴρηται, πεντήκοντα τῆς ἐκ νεκρῶν ἐγέρσεως τοῦ Χριστοῦ ἡ τοῦ παναγίου πνεύματος γίνεται κάθοδος. τίνος ἕνεκεν; ὅτι καὶ ὁ παλαιὸς νόμος ἐν ἡμέρᾳ πεντηκοστῇ θεοῦ φανέντος ἐδίδοτο. κατὰ γὰρ τὸν χρυσορρήμονα καὶ θεῖον Ἰωάννην, μᾶλλον δὲ κατὰ τὴν τοῦ θεόπτου Μωσέως ἱστορίαν, πεντήκοντα διῆλθον ἡμέραι μετὰ τὴν ἐξ Αἰγύπτου τῶν Ἰουδαίων ἔξοδον, καὶ τηνικαῦτα τὰς θεοχαράκτους ὁ Μωσῆς πλάκας ἔλαβεν. εἰ τοίνυν ἐν ἡμέραις πεν- C
τήκοντα ὁ παλαιὸς ἐδίδοτο νόμος, ἔδει πάντως κατ' ἐκείνην τὴν ἡμέραν δοθῆναι καὶ τὴν τοῦ παναγίου πνεύματος χάριν, ὡς ἐντεῦθεν, ἀγαπητέ, κατά γε τὴν παλαιὰν καὶ τὴν νέαν, ἀδιαίρετον δειχθῆναι τὴν φύσιν τῆς θεότητος, καὶ ὅτι τὸ πνεῦμα τὸ ἅγιον ἐνομοθέτει καὶ τότε καὶ νῦν.

20. γε] τε?

igitur spiritus sanctus iccirco demittebatur, ut imperfectos adhuc discipulos perfectos efficeret, ea de causa in perfecto quoque numero, decimo nimirum die super eos descendit. quod autem ex imperfectis discipulis perfectos effecerit, summus ille Petrus satis ostendit. nam si hunc diligenter inspicere voles, videbis illum a misera territum ancillula magistrum suum ter negasse. deinceps vero confirmatus a sancto spiritu maxima cum fiducia et oris libertate medio in populo perorabat, omnibusque persuadebat ut ad Christum citra dubitationem omnem accederent.

Post diem ergo, ceu diximus, quinquagesimum a Christi de mortuis resurrectione, spiritus sancti descensus accidit. quamobrem illud? quia vetus etiam lex quinquagesimo die post dei patefactionem data fuerat. nam ut divinus ille vir Iohannes Chrysostomus scripsit, vel potius teste Mosis dei spectatoris historia, dies ab exitu Hebraeorum ex Aegypto 50 elapsi erant, cum perscriptas divinitus tabulas Moses accepit. quare si prisca lex illa data fuit intra diem quinquagesimum, oportebat omnino eadem die sancti etiam spiritus gratiam dari. de quo, fili dilecte, colligi potest tam in prisco quam novo foedere nobis ostendi, quod natura divinitatis indivisa sit, sanctusque spiritus tam id temporis quam modo legem promulget.

Καὶ ὤφθησαν αὐτοῖς διαμεριζόμεναι γλῶσσαι ὡσεὶ πυρός. διὰ τί γλῶσσαι; ἐπειδὴ κηρύγματος χρεία, καὶ ἵνα τὸ σχῆμα τὴν ἐνέργειαν ἑρμηνεύσῃ, καθά φησιν ὁ τὴν γλῶτταν χρυσοῦς. ἁλιεῖς γὰρ ἦσαν οἱ ἀπόστολοι, καὶ πρὸς τὸ κήρυγμα λόγου ἐδέοντο. μεριζόμεναι δὲ εἶπεν, ὅτι πῦρ ἐφάνη
D κατερχόμενον μονοειδές, εἶτα τοῖς ἀποστόλοις ἐμερίζετο. τὸ δὲ πῦρ ἐκεῖνο οὐκ αὐτὸ ἦν τὸ πνεῦμα, ἀλλὰ δύναμις πνεύματος. οὐκ ἐν τῷ στόματι δὲ αὐτῶν ἐβλήθησαν αἱ γλῶσσαι, ἀλλ' ἐπὶ κεφαλῆς ἐκάθισαν· ἄρχοντες γὰρ τῆς οἰκουμένης ἐχειροτονοῦντο καὶ κήρυκες. ὅρα γὰρ ὅτι καὶ ἕως ἄρτι τοῦτο κρατεῖ· ἐπιτίθεται γὰρ τῇ κεφαλῇ τοῦ μέλλοντος χειροτονηθῆναι ἀρχιερέως τὸ εὐαγγέλιον, καὶ ὅταν ἐπιτεθῇ, οὐδὲ ἄλλο ἔστιν ἰδεῖν ἢ γλῶσσαν προσεπικειμένην τῇ κεφαλῇ. ἐν εἴδει δὲ πυρὸς διὰ τὸν εἴποντα „πῦρ ἦλθον εἰς τὸν κόσμον βαλεῖν" χάριν τῶν ὑλομανούντων παθῶν.

P. 226 Καὶ ἐκάθισεν ἐφ' ἕνα ἕκαστον αὐτῶν. πᾶς οὖν ὁ διακονῶν τῷ θεῷ θρόνος ἐστὶ τοῦ θεοῦ· διὰ γὰρ τοῦτο καὶ ἐκάθισεν εἶπε.

Καὶ ἐπλήσθησαν ἅπαντες πνεύματος ἁγίου, καὶ ἤρξαντο
V. 175 λαλεῖν ἑτέραις γλώσσαις, καθὼς τὸ πνεῦμα ἐδίδου αὐτοῖς ἀποφθέγγεσθαι. ἐφ' ᾧ καὶ οἱ παρεστῶτες ἔλεγον οὐκ ἰδοὺ

Conspectae sunt autem in apostolis linguae velut igneae dispertitae (Act. 2 3). cur obsecro linguae conspectae sunt? quia praedicatione opus erat, et ut ipsa figura declararet effectionem, quemadmodum aureus ille noster orator inquit. quippe piscatores erant apostoli, et vi orationis ad praedicandum egebant. dispertitas autem fuisse dicit, quod ignis uniformis dividi videretur ac in apostolos distribui. et ignis ille non ipse spiritus erat, sed vis quaedam spiritus. atque hae linguae non in eorum ora fuerunt immissae, sed capitibus insidebant. nam hoc modo apostoli confirmabantur, et constituebantur quasi quidam mundi principes et praecones. nam vides hodieque morem illum obtinere, ut pontificis confirmandi capiti evangelium imponatur; quod ubi fuerit impositum, nihil est videre aliud quam capiti linguam talem incumbentem. in ignis autem forma conspectus est spiritus propter illum qui dixit „ignem in mundum immissurus veni," propter excrescentia scilicet quasique silvescentia nimium vitia.

Sedit autem in eorum quolibet. quisquis igitur dei ministerium obit, thronus atque solium dei est.

Nam ea de causa dicitur spiritum in eis consedisse. atque hoc modo repleti fuerunt omnes sancto spiritu, coeperuntque loqui linguis aliis, prout spiritus ille dabat eis loqui. propterea dicebant adstan-

πάντες οἱ λαλοῦντες Γαλιλαῖοι οὗτοί εἰσι; καὶ πῶς ἡμεῖς ἀκούομεν ἕκαστος τῇ ἰδίᾳ ἡμῶν διαλέκτῳ, Πάρθοι καὶ Μῆδοι καὶ Ἐλαμῖται καὶ οἱ λοιποί; ιε' δὲ γλωσσῶν τέως ἔλαβον χαρίσματα, καθά φησιν ὁ τὴν γλῶτταν χρυσοῦς, ὅσον πρὸς τοὺς παρόντας. τίς γὰρ ἦν ἡ χρεία Περσικῆς γλώττης μὴ B
παρόντων Περσῶν; δεκαπέντε δὲ γλῶσσαι ἐφάνησαν καὶ διὰ τοῦτο, ἵνα καὶ ἡ ἐνέργεια τῆς τριάδος φανῇ καὶ ὑπηρέται οἱ δώδεκα. καὶ ἦν ἰδεῖν τὸν Γαλιλαῖον Πέτρον Ῥωμαϊστὶ λαλοῦντα, γλῶσσαν ἣν οὐκ ἔμαθεν, ὥσπερ δὴ καὶ ἕνα ἕκαστον τῶν λοιπῶν ἰδίαν γλῶσσαν λαλοῦντα. οἰκονομεῖ γὰρ τοῦτο τὸ πνεῦμα τὸ ἅγιον, ἵνα μὴ στάσις ᾖ ἐν τοῖς ἀποστόλοις. περὶ τοῦ ποῦ δεῖ ἕκαστον ἀπελθεῖν. ἐφ' ᾧ καὶ δίδοται ἑκάστῳ ἰδία γλῶσσα ὥσπερ κανών. ἤγουν, Ῥωμαϊστὶ λαλεῖς; ἄπελθε εἰς τὴν Ῥώμην. Περσιστὶ λαλεῖς; ἄπελθε εἰς τὴν Περσίαν. καὶ ἐν τῇ γλώσσῃ μέν, ὡς εἴρηται, ἔλαβον C
τὸν κανόνα· ἀλλ' ἐπειδὴ πάλιν ἐχρῆν αὐτοὺς ἀπερχομένους εἰς Ῥώμην διέρχεσθαι διὰ πολλῶν ἐθνῶν, ἐλάμβανον ὥσπερ παραβοηθοὺς ἑτέρας γλώσσας, τὴν πρώτην ἀντὶ χειροτονίας ἔχοντες. εὑρίσκεται γὰρ ἕκαστος τῶν ἀποστόλων καὶ διαφόροις γλώσσαις λαλῶν, ἐπειδὴ καὶ διὰ πολλῶν παρῄεσαν ἐθνῶν.

tes (Act. 2 8) „annon ecce omnes isti, qui loquuntur, Galilaei sunt? quomodo igitur nos audimus eos sua quisque lingua, in qua nati sumus, Parthi et Medi et Elamitae et caeteri?" quindecim vero linguarum dona tunc acceperunt apostoli, quemadmodum Chrysostomus inquit, ad usum illorum qui praesentes erant. quid enim opus fuisset lingua Persica vel aliis, non praesentibus iis qui uterentur? et fuerunt omnino linguae quindecim propterea, ut hinc intelligeretur sacrosanctae trinitatis efficacitas cum ministris duodecim coniuncta. Videre tam erat Petrum, qui Galilaeus esset, Romana lingua utentem, quam nunquam antea discendo percepisset, itidemque singulos reliquorum peculiari quadam lingua loquentes. hoc enim spiritus sanctus singulari quodam consilio sic administravit, ne qua inter apostolos esset ea de re discordia, quo scilicet unicuique abeundum foret. ideoque singulis sua in lingua data est quaedam quasi norma et regula. verbi gratia, Romana uteris lingua: Romam igitur abito. Persice loqueris: ad Persas proficiscitor. hanc igitur in certa lingua regulam acceperunt. rursum vero, quia Romam profecturis per nationes multas iter faciundum erat, iccirco linguas alias tanquam opitulatrices prioris accipiebant, cum illam primam ordinationis quasi loco haberent. videmus enim singulos apostolos etiam diversis usos fuisse linguis, ut quibus variae nationes peragrandae fuerint. licet hoc de Pauli verbis (1 Cor. 14 18) hisce colligas „ago deo

δῆλον ἐξ ὧν ὁ Παῦλος φησὶν „εὐχαριστῶ τῷ θεῷ, πάντων ὑμῶν γλώσσαις λαλῶ".

Τότε δὴ τότε καὶ ἡ τοῦ θειοτάτου Ἰωὴλ προφητεία πέρας ἐλάμβανεν ἡ οὕτω λέγουσα „ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου D ἐπὶ πᾶσαν σάρκα", πιστεύσασαν δηλαδή. οὐ μόνον γὰρ οἱ ἀπόστολοι γλώσσαις ἐλάλουν, ἀλλὰ καὶ πάντες οἱ παρ' αὐτῶν βαπτιζόμενοι τὸ τοιοῦτον ἐδέχοντο χάρισμα. καὶ τοῦτό ἐστιν ὅπερ ὁ κύριος ἔλεγε „σημεῖα δὲ τοῖς πιστεύσασι ταῦτα παρακολουθήσει· ἐν τῷ ὀνόματί μου δαιμόνια ἐκβαλοῦσι, γλώσσαις λαλήσουσι καιναῖς." καὶ ὅρα δώδεκα ἐν Ἐφέσῳ ἄνδρας, ὡς ὁ Λουκᾶς ἱστορεῖ, προβαπτισθέντας μὲν εἰς τὸ τοῦ Ἰωάννου βάπτισμα, πνεῦμα δὲ μὴ εἰδέναι τί ποτέ ἐστι λέγοντας· ἀλλ' ἡνίκα τὰς χεῖρας ὁ Παῦλος ἐπέθηκε, τηνικαῦτα τὸ τῶν γλωσσῶν ἐδέχοντο χάρισμα. ἐπειδὴ γὰρ τὸ πνεῦμα τὸ ἅγιον P. 227 ἀόρατον ἦν, ἔδει πάντως τῆς ἐκείνου παρουσίας αἰσθητόν τινα γίνεσθαι ἔλεγχον, ὡς ἐντεῦθεν ἀδιστάκτως ἐπὶ τὸ θεῖον λουτρὸν ἅπαντας ἔρχεσθαι. τοῦτο μέντοι τὸ χάρισμα ἠρέθισε καὶ τὸν Σίμωνα τοῖς ἀποστόλοις τε προσελθεῖν καὶ τὸ βάπτισμα αἰτήσασθαι· εἰ μὴ γὰρ αἰσθητὴν ἑώρα τὴν τοῦ πνεύματος δύναμιν, οὐκ ἂν ἐκεῖνος τοῖς Χριστοῦ προσήρχετο μαθηταῖς, οὐκ ἂν ἐπιδεὴς αὐτῶν ἐπὶ τοσοῦτον ἐφαίνετο. καὶ

16. ἀδιαστάτως M.

meo gratias, quod magis quam vestrum quisquam linguas teneo peregrinas."

Caeterum id temporis etiam divinissimi Ioelis (2 28) vaticinio respondit eventus, cuius quidem haec sunt verba „perfundam meo spiritu omnem carnem," videlicet credentem. non enim apostoli tantum linguis peregrinis loquebantur, sed etiam caeteri omnes, quotquot baptissabantur ab ipsis, donum eiusmodi consequebantur. atque hoc illud est quod dominus dixit (Marc. 16 17) „signa credentes haec comitabuntur. in nomine meo genios expellent, et linguis novis inusitatisque loquentur." vide quid viris illis duodecim acciderit, qui Ephesi degentes, ut Lucas commemorat, baptissati quidem erant in baptismum Iohannis, nondum tamen scire se profitebantur quid esset spiritus. verum posteaquam Paulus eis manus imposuisset, linguarum donum illud accipiebant. nam quia spiritus sanctus erat inadspectabilis, oportebat omnino sensile quoddam argumentum praesentiae ipsius edi, ut citra ullam haesitationem omnes divinum illud ad lavacrum accederent. hoc autem donum Simonem etiam incitavit ut ad apostolos accederet ac baptismum postularet: quippe nisi vim potestatemque spiritus adspectabilem vidisset, ad Christi discipulos non accessisset, nec se ipsorum indigere opera putasset. ac tunc sane qui

τότε μὲν οἱ βαπτιζόμενοι τῇ τοῦ παναγίου πνεύματος ἐπι-
φοιτήσει τὸ τῶν γλωσσῶν ἐδέχοντο χάρισμα· ἐπὶ δέ γε
τοὺς περὶ τὸν Κορνήλιον καὶ πρὸ τοῦ βαπτισθῆναι ἐπέπεσε B
τὸ πνεῦμα τὸ ἅγιον, καὶ ἐλάλουν γλώσσαις. διὰ τί δὲ καὶ
πρὸ τοῦ βαπτισθῆναι τὴν τοῦ παναγίου πνεύματος ἐνέργειαν
ἐδέχοντο; διὰ τὴν πολλὴν τῶν ἐκ περιτομῆς πιστευσάντων
διάκρισιν. διεκρίνοντο γὰρ οὗτοι μὴ θέλοντες καὶ βαπτιζο- V. 176
μένοις τοῖς ἐθνικοῖς ἀναμίγνυσθαι.

Οἶδα δέ, ἀγαπητέ, ὅτι καὶ τὸν καιρὸν ἐκβιάζῃ μαθεῖν καθ'
ὃν ἡ τοῦ μακαρίου Παύλου γέγονε κλῆσις. καὶ κατά τινας
μὲν ἱστορικούς, καὶ μᾶλλον Ἱππόλυτον τὸν Θηβαῖον, ἐνιαυτοὶ
διῆλθον ζ μετὰ τὴν τοῦ κυρίου ἐκ νεκρῶν ἀνάστασιν, καὶ ὁ
πρωτομάρτυς Στέφανος τὸ μακάριον τέλος ἐδέξατο· μετὰ δὲ
ταῦτα ὡσεὶ μῆνες διῆλθον ἕξ, καὶ ἡ τοῦ Παύλου γέγονε κλῆ- C
σις. ἀλλ' ἡ Εὐσεβίου τοῦ Παμφύλου ἱστορία διέξεισιν ὡς
οὔπω εἷς ἐνιαυτὸς ἐπεπλήρωτο μετὰ τὴν ἐκ νεκρῶν τοῦ κυ-
ρίου ἀνάστασιν, καὶ ταῦτα πάντα ἐγένετο, οἱ ἆθλοί τε τοῦ
πρωτομάρτυρος καὶ ἡ τοῦ μακαρίου Παύλου προσέλευσις.
ἀλλ' ἦν ἰδεῖν ἐπ' αὐτῷ τηνικαῦτα πληρούμενον τὸ λόγιον τὸ
λέγον „ποῦ ὑπάγεις, οἶδας· τί δὲ μέλλεις παθεῖν, οὐκ οἶ-
δας". ἐπιστολὰς γὰρ ἀπὸ τῶν ἀρχιερέων λαβὼν ὥστε ἀπελ-
θεῖν καὶ τοὺς ὁπουδήποτε παρευρισκομένους Χριστιανοὺς
ἀναιρεῖν, πηροῦται τοὺς ὀφθαλμοὺς αὐτοῦ καθ' ὁδόν· πε-

20. *ἀπάγεις* M.

baptissabantur, donum linguarum accipiebant una cum spiritus sancti immissione. at in eos qui cum Cornelio erant, idem spiritus sanctus etiam decidit antequam baptissarentur, itidemque linguis ante baptismum diversis loquebantur. cur hi, quaeso, prius etiam sancti spiritus efficacitatem experiebantur quam baptissarentur? propter nimium superba scilicet eorum praeiudicia, qui antea circumcisi crediderant. etenim illi se ab aliis segregabant, et ne cum baptissatis quidem ethnicis quicquam habere commercii volebant.

Praeterea non ignoro, dilecte fili, cupere te illud etiam tempus nosse quo beatus ille Paulus vocatus fuerit. de nonnullorum quidem historicorum sententia, praesertim Hippolyti Thebani, post domini ex mortuis resurrectionem anni septem praeterierant, cum testium veritatis princeps ille Stephanus beatum vitae finem est consecutus; ab eius autem morte mensibus prope sex elapsis Pauli vocatio facta est. verum Eusebii Pamphili F. narrat historia nondum a Domini resurrectione annum unum exactum fuisse, cum haec omnia fierent, nimirum principis illius testis certamina beatique Pauli ad fidem accessio. erat autem in eo videre perfici tum temporis oraculum hoc, quo dicitur „nosti quo pergas, ad quid eventurum tibi sit, ignoras." et-

ῥιήστραψε γὰρ ἄνωθεν αὐτὸν ἄρρητον φῶς, καὶ οὕτως οἱ τοῦ σώματος αὐτοῦ λύχνοι παραχρῆμα ἐσβέσθησαν. ἀλλὰ
D καὶ φωνῆς ἄνωθεν ἤκουσε πρὸς αὐτὸν οὕτω λεγούσης „Σαοὺλ Σαούλ" (τουτέστιν ἀδελφὲ ἀδελφέ) „τί με διώκεις"; στέλλεται λοιπὸν πρὸς Ἀνανίαν, καὶ βάπτισμα δέχεται, κἀντεῦθεν φωτίζεται τούς τε ψυχικοὺς καὶ σωματικοὺς ὀφθαλμούς. κηρύσσει λοιπὸν ὁ πάμμεγας Παῦλος ἔτη λέ. ἐν γὰρ τῷ δεκάτῳ ὀγδόῳ ἔτει Τιβερίου Καίσαρος τὸ σωτήριον πάθος γέγονε τοῦ Χριστοῦ. οὔπω τὸ τοιοῦτον ιη΄ ἔτος πεπλήρωται, καὶ τὰ διαληφθέντα τηνικαῦτα γεγόνασι. τρέχειν ἤρξατο τὸ ιθ΄ ἔτος τῆς βασιλείας Τιβερίου Καίσαρος, καὶ κηρύσσειν ὁ Παῦλος ἄρχεται, ὡς ἱστορία φησί. διέρχονται τοίνυν ἔτη
P. 228 δ΄ τὰ ἐπίλοιπα τῆς βασιλείας Τιβερίου· καὶ γὰρ εἴκοσι καὶ δύο ἔτη τὰ πάντα κρατήσας εὑρίσκεται. διέρχονται δὲ ὁμοίως καὶ τὰ τῆς βασιλείας Γαΐου ἔτη δ΄, καὶ Κλαυδίου δὲ ὁμοίως διέρχονται ἔτη ὡσεὶ ιδ΄. τοῦτον ὁ Νέρων διαδέχεται, καὶ τῷ ιγ΄ ἔτει τῆς αὐτοῦ βασιλείας ἀναιρεῖ τὸν ἀπόστολον. τριάκοντα λοιπὸν καὶ πέντε εὑρίσκονται τὰ ἔτη ἐν οἷς ὁ Παῦλος ἐκήρυξε. τοσοῦτον δὲ τὰ τῆς αὐτοῦ μετεχειρίζετο διακονίας, ὡς καὶ πρὸς Ἰάκωβον τὸν ἀδελφόθεον εἰσελθεῖν καὶ συμβουλὴν ἐξ ἐκείνου δέξασθαι ξυρηθῆναι καὶ ἁγνισθῆναι τῶν Ἰουδαίων ἕνεκεν.

nim cum litteras a pontificibus accepisset, ut profectus in alia loca ubivis gentium deprehensos Christianos e medio tolleret, ipso in itinere suos oculos amittit. nam lux quaedam inexplicabilis eum coelitus circumfulsit, quo factum ut corporis ipsius faces continuo extinguerentur. praeterea vocem e sublimi se compellantem his verbis audivit „Saule, Saule, quid me persequeris?" (Act. 9 4) hinc ad Ananiam remittitur, baptismum recipit; oculi eius tam animales quam corporales collustrantur; denique vir eximius ab eo tempore totis 35 annis praedicationis munere fungitur. nam decimo et octavo Tiberii Caesaris anno salutifera Christi passio contigit. is vero 18 annus nondum exactus erat, cum commemorata hactenus acciderunt. ubi 19 annus Tiberii Caesaris currere coepisset, Paulus initium praedicandi facit, quemadmodum ipsa historia demonstrat. praetereunt hinc imperii Tiberii Caesaris quattuor anni reliqui: nam 22 annos in universum Tiberius rerum potitus esse reperitur. consimiliter imperii Caii Caesaris quattuor anni elabuntur, itemque Claudii propemodum 14 anni. huic in imperio successit Nero, qui anno regni sui 13 Paulum interfecit. quapropter anni esse triginta quinque deprehenduntur, quos in praedicatione Paulus exegerit. Tam diligenter autem ministerium suum obibat, ut Iacobum quoque domini fratrem conveniret, eiusque consilium exploraret num se tondere ac lustrare Iudaeorum causa deberet.

Οὗτος ὁ Ἰάκωβος ἀρχιερεὺς Ἱεροσολύμων πρῶτος ἐχρη-
μάτισε· προείλοντο γὰρ αὐτὸν ὥστε μὴ Πέτρον καὶ Ἰωάν-
νην καὶ Ἰάκωβον δόξης ἕνεκεν ἐπιδικάζεσθαι, καθὰ Κλήμης B
ὁ στρωματεὺς ἱστορεῖ. τοῦτον μέντοι τὸν Ἰάκωβον καὶ δί-
καιον ἐκάλουν διὰ τὴν αὐτοῦ ἀρετήν. οὗτός ἐστιν ὁ κατὰ
τοῦ πτερυγίου βληθεὶς καὶ παρὰ τοῦ κναφέως ξύλῳ πληγεὶς
κατὰ κεφαλῆς εἰς θάνατον. Ἰουδαῖοι γὰρ τοῦ Παύλου Καί-
σαρα ἐπικαλουμένου καὶ ὑπὸ Φήστου πεμφθέντος, τῆς ἐλπί-
δος καθ' ἣν ἐξήρτυνον αὐτῷ τὴν ἐπιβουλὴν ἐκπεσόντες, ἐπ'
αὐτὸν τρέπονται, καὶ λέγουσιν „ἐπίσχες τὸν λαόν, ἐπεὶ ἐπλα-
νήθη εἰς Ἰησοῦν· ἡμεῖς γὰρ μαρτυροῦμέν σοι, καὶ πᾶς ὁ
λαός, ὅτι δίκαιος εἶ". ἦν δὲ πάσχα. καὶ στήσαντες αὐτὸν
ἐπὶ τὸ πτερύγιον εἶπον „δίκαιε, σοὶ πάντες πειθόμεθα. ἐπεὶ
δὲ ὁ λαὸς πλανᾶται ὀπίσω Ἰησοῦ τοῦ σταυρωθέντος, ἀπάγ- C
γειλον ἡμῖν τίς ἡ θύρα τοῦ θεοῦ". ἐκείνου δὲ ἀποκριθέντος
ὅτι Ἰησοῦς κάθηται ἐν τῷ οὐρανῷ ἐκ δεξιῶν τῆς μεγάλης
δυνάμεως, καὶ μέλλει ἔρχεσθαι ἐπὶ τῶν νεφελῶν τοῦ οὐρα- V. 177
νοῦ, ἔκραξαν „ὢ ὤ, καὶ ὁ δίκαιος ἐπλανήθη". κατέβαλλον
οὖν αὐτὸν ἀναβάντες, καὶ ἔβαλλον λίθοις. καὶ εὐθὺς Οὐε-
σπασιανὸς πολιορκεῖ αὐτούς. τοσοῦτον δὲ ἦν δίκαιος ὡς
τοὺς ἔμφρονας τῶν Ἰουδαίων νομίζειν δι' αὐτὸν ταῦτα γε-
νέσθαι. γράφει δὲ καὶ Ἰώσηπος „ταῦτα δὲ συμβέβηκεν Ἰου- D

ravit. tunc et falsus ille vates Moamethus exstitit. nam Ismaelitae ad Heraclium usque simulacra colebant, Astarten (quae luna est) adorantes; quam et Chaberam nuncupabant, hoc est magnam. hoc vero tempore Moamethus apud ipsos exortus est, qui cum apud divitem quandam mulierem serviret, tandem eam uxorem accepit. laborabat is forte comitiali morbo, quem uti tegeret, angelum se Gabrielum conspicere dictitabat; cuius aspectum quia tolerare nequiret, fieri ut animo deiecto collaberetur. ea res fidem mereri visa fuit propter monachum quendam Arianum, qui lucri sui causa falsum ei testimonium perhibebat. idem Moamethus in Palaestinam profectus cum in Iudaeos Arianos et Nestorianos incidisset, quasi collectam quandam ab omnibus congessit, peculiaremque religionem suis tradidit. lege per omnia non utitur. circumcisionem retinendam tradit, sabbati observatione sublata. paradisi se clavigerum esse iactitat, in quo tres sint amnes, melle vino lacte fluentes. adserit umbram Christi tantum a Iudaeis per invidiam crucifixam esse, cum Christum ipsum deus ad se receperit, uti quem diligeret. rogatum id temporis Iesum a deo ipsene deum sese nuncupasset, respondisse nequaquam id se nominis usurpasse, verum homines illud sibi tribuisse. docet etiam sic evenire cuncta mortalibus ut definita sint divinitus. Mosem et Aaronem

παραστῆναι μὲν ἐν τῇ κρίσει τοῦ Χριστοῦ, παραπεμφθῆναι
δὲ τῇ κολάσει ὡς ἀνθρώπους ἀπατηλούς. ἔλεγε καὶ τὴν ζωὴν
ἔχειν ἐκεῖσε διὰ φθαρτῆς βρώσεώς τε καὶ πόσεως. ἀλλὰ
καὶ τὴν Ἀφροδίτην κεκρυμμένως σέβονται. καὶ δῆλον ἐκ D
τῆς προσευχῆς αὐτῶν· λέγουσι γὰρ οὕτως „ἀλὰ ἀλὰ οὐὰ
κουβὰρ ἀλά," τοῦτ' ἔστιν, ὁ θεὸς ὁ θεὸς μείζων, καὶ ἡ
μεγάλη, ἤτοι σελήνη, Ἀφροδίτη θεός.

Μετὰ μέντοι τοῦ θεηλάτου Μωάμεθ θάνατον ἐφάνη
ἀστὴρ ἐπὶ μεσημβρίαν δοκίτης, ἐπὶ ἡμέρας λ', σημαίνων τὴν
τῶν Ἀράβων ἔφοδον· τότε γὰρ κατέσχον τὴν Δαμασκὸν καὶ
ἄλλα πολλά. ἐπαινεῖται δὲ ἡ γῆ αὐτῶν· σφόδρα γὰρ πο-
λύκαρπός ἐστι δι' εὔκρατον ἀέρα. ἀλλὰ καὶ τὸ πήγανον οὐ-
δὲν διαφέρει τῆς συκῆς κατὰ τὸ μῆκος. καὶ ἐν Παλαιστίνῃ P. 278
δὲ πηγὴ ἰάσεις παρέχουσα, ἐν ᾗ τὸν κύριον ὁδοιποροῦντα
λέγουσι νίψασθαι. καὶ δένδρον ἵσταται πάσης ἀρρωστίας
ἀλεξίκακον, ὃ δένδρον εἰς γῆν ἐκλίθη καὶ προσεκύνησε δῆθεν V. 215
τὸν κύριον εἰς Αἴγυπτον φεύγοντα, σώζει δὲ καὶ εἰσέτι τὸ
σχῆμα τῆς προσκυνήσεως. ἐκεῖ ἐστὶ καὶ ἡ βαταρῖτις ῥίζα ἡ
φλογοειδής, ᾗ προσεγγίσαι τις οὐ τολμᾷ, ἀνασπᾶται δὲ κυνὸς
τῆς τοιαύτης ῥίζης πλησίον δεθέντος· ἡ μέντοι ῥίζα περια-
πτομένη δαιμονιζομένῳ φυγαδεύει τὸν δαίμονα. γεωργεῖται

adstituros quidem illos in Christi iudicio, verum deinde futurum ut tanquam praestigiatores ad poenas ablegentur. ait in secuturo quoque saeculo nos vitam potu ciboque corruptibili sustentaturos. Venerem sectatores eius occulte colunt. licet hoc ex ipsorum precatione deprehendere, cuius haec verba sunt „alla alla ua, cubar alla," hoc est, deus deus maior, et magna, nimirum luna, quae et Venus, dea.

Post huius reiecti punitique a deo Maomethi mortem sidus quoddam versus meridiem conspectum est, trabis figuram referens, ad trigesimum usque diem; quo Arabum in Romanum imperium invasio denuntiata fuit. nam et Damascum id temporis suam in potestatem redegerunt et alias multas urbes. atque horum sane Arabum regio magnopere praedicatur, uti quae copia fructuum adundet propter aëris temperationem valde commodam. ruta istic a ficu proceritate non superatur. itidem in Palaestina fons est, qui morbos sanat: in eo dominum iter aliquando facientem abluisse se perhibent. etiam arbor ibi quaedam est, quae quasvis infirmitates pellit. ea se ad terram usque inflexit dominumque summisse venerata est, cum in Aegyptum fugeret. eius inflexionis adorabundae formam hodieque retinet. istic et bataritis est; radix quaedam flammea, ad quam propius accedere nemo audet: sed per canem evellitur prope radicem alligatum. haec radix homini a malo genio vexato admota genium ipsum

δὲ καὶ ὀποβάλσαμον ἐκεῖσε πολύ. ταύτῃ τοι καὶ τὴν γῆν B ταύτην ὡς ἐξαίρετον τῷ ἠγαπημένῳ δέδωκεν ὁ θεὸς Ἰσραήλ. ἐν αὐτῇ καὶ ὁ κύριος τὰ πάντα εἰργάσατο. ταύτην οὖν καὶ οἱ ἐξηγηταὶ τῆς γῆς ὀφθαλμὸν προσηγόρευσαν.

Ὁ μέντοι Κώνστας θέλων συνάψαι ναυμαχικὸν πόλεμον μετὰ τῶν Ἀράβων ἔδοξε κατ' ὄναρ διάγειν ἐν Θεσσαλονίκῃ. ὅπερ ἀποκαλύψας τινὶ γνωστικῷ ἤκουσεν ὅτι κακὸν ἐνύπνιον· καὶ γὰρ „θὲς ἄλλῳ τὴν νίκην" σημαίνει. τῇ γοῦν ἐπαύριον συγκροτήσας πόλεμον καὶ ἡττηθεὶς ἐνέδυσε μὲν τὴν ἁλουργίδα τινὰ τῶν οἰκείων αὐτοῦ, αὐτὸς δὲ λάθρα ἔφυγεν. ἐπ' ἐκείνῳ λοιπὸν σφαγέντι κατὰ τὸν πόλεμον πεπλήρωται „μείC ζονα ταύτης ἀγάπην οὐδεὶς ἔχει, ἵνα τις τὴν ψυχὴν αὐτοῦ θήσῃ ὑπὲρ τοῦ φίλου αὐτοῦ." ὁ δὲ Κώνστας κατῆλθεν εἰς Σικελίαν, βουλόμενος ἐν Ῥώμῃ καταστῆσαι τὸ βασίλειον· σφόδρα γὰρ ὑπὸ τῶν Βυζαντίων ἐμισεῖτο, ὅτι τε Μαρτῖνον τὸν Πάπαν Ῥώμης ἀγαγὼν ἀτίμως ἐν Κωνσταντινουπόλει ἐξώρισεν εἰς Χερσῶνα, χεῖράς τε καὶ γλῶτταν τοῦ μεγάλου Μαξίμου ἀπέτεμε μὴ συντιθεμένου τοῖς Μονοθελήταις. ἓξ οὖν ποιήσας ἔτη ἐν Σικελίᾳ (ἀνέμενε γὰρ τοὺς αὐτοῦ παῖδας ἐλθεῖν ἀπὸ Κωνσταντινουπόλεως) ἀνῃρέθη ἐν βαλανείῳ. κατ' ἐκεῖνο δὲ καιροῦ ἐφάνη Κωνσταντῖνος ὁ καὶ Σιλουανὸς λεγό-

fugat et abigit. iisdem in locis et opobalsamum copiose admodum agricultione adhibita provenit. propterea deus hanc terram velut eximiam Israelo sibi carissimo donavit. in eadem et dominus omnia perfecit. ideoque doctores illam oculum orbis terrarum nuncuparunt.

Caeterum Constans imperator, cum navali praelio decernere vellet adversus Arabes, Thessalonicae sibi per quietem esse visus est. id somnium ubi cuidam interpreti rerum huiusmodi exposuisset, infelix esse didicit: nam eo significari Thes allo nicen, hoc est, alteri cede victoriam. altero die praelio cum hoste congressus et superatus cuidam suorum purpuram induit, sibique clanculum fuga consulit. is autem in pugna caesus reapse promeruit ut hoc de ipso verbum (Io. 15 13) praedicetur, „maior esse nequit amor in hominum ullo quam si animam suam quis amici causa ponat." secundum haec Constans in Siciliam sese contulit, imperii sedem Romam transferre cogitans. vehementer enim Byzantiis invisus erat, quod Martinum Romae papam contumeliose Cpolim perductum Chersonem in exsilium egisset, ac eximio viro Maximo manum cum lingua praecidisset, unam ob causam, quod Monotheletarum sectam non probaret. cum autem sex annos in Sicilia vixisset, ibique liberos suos Cpoli venturos expectasset, tandem in balneo necatus est. exstitit iis annis Con-

μενος, ὁ Παύλου τοῦ Σαμοσατέως διάδοχος, ὃς ἐδίδασκε μόνοις τοῖς εὐαγγελισταῖς καὶ τῷ ἀποστόλῳ προσέχειν, καὶ D τούτοις διεστραμμένως.

Μετὰ δὲ Κώνσταντα Κωνσταντῖνος ὁ υἱὸς αὐτοῦ ὁ Πωγωνᾶτος ἔτη ιζ. Πωγωνᾶτος δὲ ἐλέγετο δι' αἰτίαν τοιαύτην. τὸν ἐν Σικελίᾳ μαθὼν θάνατον τοῦ πατρὸς αὐτοῦ Κώνσταντος ἐκεῖσε κατάγει. πάλιν οὖν ἀνέρχεται. ἐφ' ᾧ καὶ Πωγωνᾶτος λέγεται· ἀγένειος γὰρ ἐκεῖσε κατελθὼν τελειοπώγων ὑπέστρεψε. τελευτᾷ δὲ τὸν βίον δυσεντερικός.

Καὶ κρατεῖ μετὰ τοῦτον Ἰουστινιανὸς ὁ Ῥινότμητος ἔτη ις. P. 279 οὗτος ὁ βασιλεὺς καθ' ὑπερβολὴν ἐμισεῖτο παρὰ παντὸς λαοῦ, σκληρὸς ὢν καὶ ὑπερόπτης καὶ πᾶσαν τὴν γνῶσιν ἔχειν δοκῶν. ὅθεν Λεόντιος πατρίκιος στασιάσας ἀναγορεύεται νυκτὸς ὑπὸ δήμου τῶν Βενέτων βασιλεύς, ἡμέρας δὲ γενομένης κρατεῖ τὸν Ἰουστινιανόν, καὶ ῥινοτομήσας αὐτὸν εἰς Χερσῶνα ἐξώρισε. κρατεῖ λοιπὸν ὁ Λεόντιος ἔτη τρία, καὶ πάσχει τηνικαῦτα τὰ ἴσα τῷ Ἰουστινιανῷ· ὁ γὰρ παρ' αὐτοῦ κατὰ Ἀράβων σταλεὶς μυρίανδρος στόλος καὶ ἅπαξ καὶ δὶς μὴ φέροντες τὴν ἐντεῦθεν κακοπάθειαν, Ἀψίμαρόν τινα προϊ- B στῶσιν ἑαυτῶν καὶ κατὰ τῆς Βυζαντίδος χωροῦσιν. Ἀψίμαρος οὖν ὁ καὶ Τιβέριος μετονομασθεὶς κρατεῖ Λεόντιον καὶ

stantinus, qui et Silvani nomen habuit, Pauli Samosateni successor. docuit ille solis evangelicae historiae scriptoribus et uni apostolo fidem habendam, idque ratione prorsus perversa.

Post Constantem imperio potitus est Constantinus ipsius filius, cognomento Pogonatus sive Barbatus, annos 17. is barbati appellationem ex causa quadam huiusmodi accepit. cum in Sicilia Constantem patrem mortuum accepisset, eo profectus est: inde reversus barbatus propterea dici coepit, quod expers barbae prius in reditu barbam integram iustaeque magnitudinis haberet. ex intestinorum dolore vitam cum morte commutavit.

Constantino mortuo Iustinianus annis 16 rerum potitus est, a naribus resectis deinceps Rhinotmeti nomen consecutus. hic imperator universo populo supra modum invisus erat, homo durus ac ferox, aliorum contemptor, omniaque se habere cognita putans. qua de causa factum ut Leontius patricius, seditione concitata noctu a Venetorum factione, imperator renuntiaretur. is ubi dies illuxisset Iustinianum cepit, eumque praeciso naso Chersonem exsulare iussit. hoc modo Leontius triennium regnavit, quo exacto idem ipsi quod Iustiniano accidit. nam missus ab ipso adversus Arabas exercitus sane maximus, cum semel atque iterum sinistram fortunam iniquo ferret animo, Apsimaro quodam sibi praefecto Byzantium recta contendit.

ῥινοτομεῖ αὐτὸν καὶ φρουρᾷ καθείργνυσι. κρατεῖ οὖν Ἀψί-
V. 216 μαρος μετ' αὐτὸν ἔτη ζ. τὸν μέντοι Λεόντιον αἱ τῶν ἀστρο-
λεσχούντων προρρήσεις ἐτάραττον. ὅθεν καὶ πᾶσαν ἐκίνει
κατὰ Ἰουστινιανοῦ μηχανήν. γράφει γὰρ Χαγάνῳ τῷ τῶν
Χαζάρων ἄρχοντι, χρήματα ὑπισχνεῖται εἰ τὸν Ἰουστινιανὸν
κρατήσας ἢ ὡς τρίδουλον ἀπεμπολήσει ἢ τὴν κεφαλὴν ἐκκό-
ψει αὐτοῦ. μανθάνει ταῦτα Ἰουστινιανός, δραπετεύει ἐκεῖ-
θεν, τοῖς Βουλγάροις προσέρχεται, ἁδραῖς αὐτοὺς ὑποσχέ-
C σεσι καταδεσμεῖ. ὅθεν καὶ μετὰ πλήθους ἀπείρου πρὸς τὴν
Βυζαντίδα ἔρχεται, καὶ διὰ σωλῆνος ὑδροφόρου κλέπτει τὴν
εἴσοδον, καὶ οὕτω τῆς βασιλείας αὖ ἐπιδράζεται, τοῦ Ἀψι-
μάρου εἰς Ἀπολλωνίδα φυγόντος. ἔτη οὖν ἑπτὰ κρατήσας
τὸν μὲν Ἀψίμαρον μέσῃ τῇ πόλει θριαμβεύσας ἀνεῖλεν, ὡσαύ-
τως καὶ Λεόντιον· τὸν δὲ πατριάρχην Καλλίνικον, ἐπειδή-
περ ἀντέστη προλαβὼν αὐτῷ πειρωμένῳ ἐκκλησίαν χαλάσαι,
τυφλώσας ἐξώριζεν ἐν Ῥώμῃ· καὶ ἀντ' αὐτοῦ προβάλλεται
Κυριακὸν τὸν ἐν τῇ νήσῳ Ἀμάστριδι ἔγκλειστον ὄντα· προη-
γόρευσε γὰρ αὐτῷ τὴν τῆς βασιλείας ἀποκατάστασιν. καὶ
ἁπλῶς εἰπεῖν, δίκην βοσκημάτων πάντας ἀπέκτεινε· μαινό-
D μενος γὰρ ἦν. ὅθεν καὶ διὰ μικροῦ σκάφους ἀπὸ Χερσῶνος
ἐπανερχόμενος καὶ κλύδωνι περιπεσὼν τὴν ἐνδομυχοῦσαν

quapropter Apsimarus, quem alio nomine Tiberium dixerunt, Leontio suam in potestatem redacto nares praecidit, hominemque carceribus inclusit. ipse regno ad se translato septem annis praefuit. Leontium mirifice perturbabant illorum praedictiones qui ex astris futura se habere cognita garrire consueverunt. itaque nihil non adversus Iustinianum moliebatur: litteras ad Chaganum Chazarorum principem, dabat; eidem magnas pecunias pollicebatur, si captum Iustinianum vel instar mancipii vilissimi venderet vel capite plecteret. iis cognitis Iustinianus in fugam se coniicit, ad Bulgaros proficiscitur, ingentibus eos promissis sibi devincit. quo facto tantum non infinitis cum copiis Byzantium contendit, per aquaeductum in urbem ingreditur, imperiumque recuperat. hinc Apsimarum per mediam urbem velut in triumpho et pompa circumductum una cum Leontio interficit; patriarcham Callinicum, quod olim ipsi contra ecclesiam aliquid molienti adversatus fuisset, oculis spoliatum Romam in exsilium mittit; eius loco Cyriacum patriarcham facit, qui in Amastride insula solitariam vitam inclusus agebat: nam is Iustiniano recuperationem imperii praedixerat. ut brevibus omnia denique complectar, quosvis pecudum instar iugulabat homo plane furens. atque hanc in imis animi latitantem angulis improbitatem iam antea quoque patefecerat, cum exigua navicula Chersone reverteretur et tempestate quadam exciperetur. nam

αὐτῷ κακίαν δήλην καθίστησιν. ἐπειδὴ γάρ τῶν οἰκείων τις αὐτῷ ἔλεγεν „ἰδοὺ ἀποθνήσκεις, δέσποτα, καὶ ὑπόσχου τῷ θεῷ, ἐάν σοι δώσῃ τὴν βασιλείαν, μηδένα τῶν ἐχθρῶν σου λυπῆσαι," ἔφη „ἐνταῦθά με καταποντισάτω κύριος, εἰ φείσομαί τινος ἐξ αὐτῶν." πρὸς τούτοις δὲ καὶ βαλὼν ὁ τύραννος οὗτος κατὰ νοῦν ὅσα οἱ Χερσωνῖται κατ' αὐτοῦ ἐμελέτων τῷ Ἀψιμάρῳ χαριζόμενοι, πέμπει στρατὸν κατ' αὐτῶν. καὶ ἦν ἰδεῖν θέαμα ἐλεεινόν. πᾶσαν ἡλικίαν ἐκέλευσεν ἀνηλεῶς ἀποσφάττεσθαι. καὶ δὴ καὶ ἀποσφάττονται γέροντες P. 280 νέοι γυναῖκες παῖδες καὶ πάντες ἁπλῶς. εἶτά τι μαθὼν Ἰουστινιανὸς ὅτι τῶν νεογνῶν πάντῃ βρεφῶν οἱ σταλέντες ἐκεῖνοι ἐφείδοντο, καχλάζει ἐπὶ πλέον τῷ θυμῷ καὶ στόλον ἕτερον ἐκπέμπει, ὡς κολασθῆναι μὲν καὶ τοὺς προαποσταλέντας, ἀναιρεθῆναι δὲ καὶ πᾶσαν βρεφικὴν ἡλικίαν. καθίστησι δὲ τοῦ στόλου ἡγεμόνα Φιλιππικὸν τὸν καὶ Βαρδάνην λεγόμενον. ἀπῆλθον ἐκεῖσε λοιπόν, καὶ τὴν τοῦ κρατοῦντος μυσαχθέντες ἀπανθρωπίαν, καὶ μὴ φέροντες αἵμασιν ἀδίκοις καταχρανθῆναι, εἰς στάσιν χωροῦσιν, ἄνακτα δὲ καὶ κράτορα Φιλιππικὸν ποιοῦσι. καιρὸς διῆλθεν ἐπὶ τούτοις ἱκανός. θροεῖται B ὁ βασιλεύς, μανθάνει ἐκεῖθεν οὐδέν, ἐξέρχεται στρατὸν οὐκ ὀλίγον ἐπισυρόμενος. φθάνει ἕως Σινώπης αὐτῆς, ὁρᾷ διὰ θαλάττης ἐρχόμενα πλοῖα. εὐθὺς ἀνθυποστρέφει καὶ αὐτός.

cum ei familiarium aliquis diceret „en moreris, domine, quamobrem deo promitte, si restituerit imperium tibi, neminem te hostium tuorum laesurum," „immo vero" ait „hoc ipso in loco fluctibus me dominus obruat, si eorum ulli pepercero." praeterea cum ad animum revocasset hic tyrannus quae moliti fuissent adversus ipsum in Apsimari gratiam Chersonitae, copias in eos militum ablegavit. erat heic videre spectaculum perquam miserabile. iusserat aetatem quamvis absque ulla commiseratione trucidari; quo factum ut iugularentur senes, iuvenes, feminae, pueri, adeoque omnes promiscue. quinetiam cum accepisset Iustinianus quod ablegati milites mandato suo pepercissent omnino infantibus, vehementer excanduit, aliamque classem instruxit, per quam et prius missos eo nomine puniret et omnes Chersonitarum infantes necaret. ei classi ducem praefecit Philippicum cognomento Bardanem. qui cum iter Chersonem instituisset, milites inhumanitatem ac diritatem imperatoris exsecrati, cum se innoxio sanguine pollui nollent, seditionem excitant, et Philippicum regem principemque suum designant. interea non parum temporis intercedit: rebus suis imperator metuit; nihil inde locorum rei novae percipit; non exiguis contractis copiis egreditur: Sinopen usque pervenit: classem adventare mari cernit: eo mox animadverso Cpolim

ἀλλὰ πρῶτος ὁ Φιλιππικὸς τὰ βασίλεια καταλαμβάνει. ὅθεν καὶ ὑστερήσας ὁ Ἰουστινιανὸς ἐν τοῖς τοῦ Δαμάτρυος ὄρεσι σὺν αὐτῷ συνάγεται τῷ στρατῷ. ἀποστέλλει πρὸς αὐτὸν ὁ Φιλιππικὸς ἀντιπαράταξιν. πλανῶσιν αὐτόν, κρατοῦσι, καὶ τὴν αὐτοῦ κεφαλὴν ἀποτέμνουσι. κρατεῖ λοιπὸν ὁ Φιλιππι-
C κὸς ἔτη δύο. ἀλλὰ καὶ τοῦτον πάλιν εἰσελθόντες τινὲς ἀπὸ Θρᾴκης ἐκτυφλοῦσι.

Καὶ βασιλεύει Ἀρτέμιος ὁ καὶ Ἀναστάσιος ἔτη δύο, καὶ μετὰ τοῦτον Θεοδόσιος τῶν κάτω ἔτη δύο. οὗτος καὶ ἄκων ἐξέστη τῆς βασιλείας καὶ ἀντὶ πορφύρας τὸ μέλαν ἠμφιάσατο. ὁ γὰρ ἐξ Ἰσαυρίας Λέων, πατρίκιος τηνικαῦ-
V. 217 τα ὢν καὶ στρατάρχης τῆς ἕω, μελετᾷ κατὰ Θεοδοσίου ἀποστασίαν, ἔχων εἰς τοῦτο συμπράκτορα καὶ ἄνδρα τινὰ τῶν περιδόξων, ᾧ ἦν ὄνομα Ἀρτάβασδος. ᾧ δὴ καὶ τὴν αὐτοῦ θυγατέρα χάριν ἀνταμοιβῆς μετὰ τὸ κρατῆσαι δίδωσιν, εἰ καὶ βάναυσος πρότερον ἦν. ἡνίκα γὰρ τοῖς Ἰου-
D δαίοις ἐκεῖνος ἐνέτυχε παρὰ πηγῇ, κατάφορτον ἐλαύνων ὀνάριον ἦν. ἀλλὰ τοῖς χωράρχαις γνωρισθείς, κἀντεῦθεν τὸ τολμηροκάρδιον ἐκφήνας, κατὰ μικρὸν πατρίκιος καθίσταται κἀντεῦθεν βασιλεὺς ἀναγορεύεται. κρατεῖ τοίνυν ὁ Λέων οὗτος ὁ καὶ Κόνων ἔτη κγ΄. οὗτος ἐξ Ἰσαυρίας μὲν ὥρμητο, τὸ ἐπιτήδευμα δὲ βάναυσος ἦν, Κόνων δὲ παρὰ τῆς μητρὸς

revertitur. verum Philippicus princeps regiam occupat, ideoque tardius adveniens Iustinianus in Damatryos montes suo se cum exercitu recipit. eo Philippicus adversas copias ablegat, quae Iustiniano fraude circumvento victoria potiuntur eique caput praecidunt. hoc facto biennium Philippicus imperat; ac vicissim a quibusdam, e Thracia qui venerant, oculis spoliatur.

Successit Artemius, cognomento Anastasius, et duobus annis imperavit. eum subsecutus est Theodosius, homo plebeius, qui et ipse biennium cum regnasset, invitus alteri cessit proque purpura pullam vestem induit. nam oriundus Isauria Leo, qui tum patricius erat et Orientis dux, defectionem moliebatur; quam ad rem virum illustrem habebat opitulatorem, cui nomen erat Artabasdo. illique deinceps cum adeptus esset imperium, remunerationis causa filiam suam matrimonio copulavit. ante occupatum imperium sordido quodam opificio se quondam aluerat; quo tempore quosdam in Iudaeos ad fontem sedentes incidit, asellum onustum agens. verum ubi deinde provinciarum principibus innotuisset ac singularem animi declarasset audaciam, paullatim patricius factus, imperator denique renuntiatur. igitur hic Leo, qui et Cononis nomen habuit, annos 23 imperavit. ex Isauria, ceu diximus, ortum habebat et artem olim sordidam tractabat. Cononis appellationem ei mater indiderat, quam semper a puero retinuit.

αὐτοῦ παιδόθεν ἐλέγετο. ὅθεν καὶ τοῦ ἁγίου τηνικαῦτα Γερμανοῦ πρὸς αὐτόν, ἡνίκα τὸν τῆς εἰκονομαχίας κόνιν εἰς ὕψος πάντων κατέχεεν, εἰπόντος „μὴ ταῦτα, ὦ βασιλεῦ· τὴν γὰρ εἰκονομαχίαν Κόνων ἐγεῖραι λέγεται," ἔφη „ἐγώ εἰμι ὁ Κόνων."

Τούτῳ τῷ βασιλεῖ πενιχρῷ ὄντι περὶ βασιλείας προεῖπον P. 281 Ἰουδαῖοι μάντεις τινὲς ἑνωθέντες αὐτῷ κατὰ τύχην ἔν τινι πηγῇ ἀναψύξεως χάριν· ἐφ' ᾧ καὶ ὑπέσχετο μεθ' ὅρκου ἀμείψασθαι αὐτούς. ὅθεν καὶ βασιλεύοντι αὐτῷ ἐπέστησαν οὗτοι, λέγοντες ὅτι ἐὰν τὴν εἰκόνα τοῦ θεοῦ καὶ πάντων τῶν ἁγίων ἐκ μέσου ποιήσῃ, ἔσται τὸ σκῆπτρον αὐτοῦ διαρκοῦν κατὰ γενεὰν εἰς ἐνιαυτοὺς ρ'. οὗτος τοσοῦτον ἐμηχανήσατο κατὰ τῶν εἰκόνων, ὡς καὶ τὸν μέγαν Γερμανὸν πολλὰ διαλεξάμενον ἐκδιῶξαι τοῦ θρόνου. προὐβάλλετο δὲ ὁ πατριάρχης τὴν διὰ Θαδδαίου κυριακὴν ἐκτύπωσιν πρὸς Αὔγαρον B σταλεῖσαν καὶ τῇ Ἐδέσσῃ ἐναποκειμένην. εἰς μέσον δὲ ἔφερε καὶ τὴν παρὰ Λουκᾶ μὲν τοῦ ἀποστόλου ἱστορηθεῖσαν εἰκόνα, ἐν Ῥώμῃ δὲ πρὸς Θεόφιλον σταλεῖσαν, ὡσαύτως καὶ τὰ δύο χαλκᾶ ἐκτυπώματα, ἅπερ ἡ αἱμορροοῦσα ἐκ πόθου ἀνεστηλώσατο, ὧν τὸ ἓν ἐπικλινὲς πρὸς γῆν εἰς τύπον αὐτῆς καὶ τὴν εὐλογίαν παρὰ θατέρου δεχόμενον· τοῦ Χριστοῦ γὰρ

unde factum ut cum sanctus ille Germanus, Leone pulverem oppugnationis imaginum in altum concitante, moneret imperatorem his verbis „cave tu faxis haec, imperator, quando futurum perhibetur ut oppugnationem imaginum Cono quidam auspicetur," Leo vicissim se Cononem illum esse responderet.

Cum adhuc pauper esset, accidit ut Iudaei quidam, vaticinandi periti, futurum praedicerent ut ipse imperio potiretur. nam in eos forte quendam ad fontem inciderat, ubi se illi ex itinere recreabant cumque sacramento adhibito pollicitus fuisset se praedictionis huius nomine vicissim eis benefacturum, illi exspectato tempore, dum imperio potiretur, tandem eum convenerunt, ac si quidem tum dei tum aliorum sanctorum imagines e medio tolleret, posteritatem ipsius totos 100 annos imperio potituram monuerunt. itaque tanto studio quidvis adversus imagines molitus est, ut etiam magnum illum patriarcham Germanum, qui multis cum eo disceptaverat, solio deiectum expelleret. inter caetera Germanus in medium proferebat effigiem domini per Thaddaeum Augaro missam et Edessae conservatam, praeterea memoriae proditam ab apostolo Luca imaginem, quae Romam ad Theophilum missa fuit, item aheneas duas effigies, quas mulier illa sanguinis fluxum perpessa quodam ex singulari desiderio fieri curavit et erexit. earum altera, qua ipsa repraesentatur, ad ter-

ἦν. τότε καὶ Γρηγόριος ὁ πάπας Ῥώμης γράφει πρὸς τὸν
βασιλέα Λέοντα περὶ τῶν εἰκόνων. ἀλλὰ τὸν Αἰθίοπα σμῆ-
ξαι μὴ δυνηθεὶς τοὺς φόρους τῆς Ἰταλίας καὶ Ῥώμης ἐκώ-
C λυσε τελεῖσθαι πρὸς τὸν βασιλέα, καὶ τὴν ὅλην δὲ χώραν
αὐτῶν τῆς ἐξουσίας ταύτης ἀπέστησε.

Δεῖγμα δὲ τῆς τοῦ Λέοντος κακοπραγίας πρὸς τοῖς ἄλλοις
καὶ τοῦτο. ἐγγὺς τοῦ τεμένους τῆς ἁγίας τοῦ θεοῦ σοφίας
οἶκος δεδόμητο λαμπρός, ἐν ᾧ βίβλοι τεθησαυρισμέναι ἦσαν,
τὸν ἀριθμὸν ὡσεὶ τρισμύριαι ἑξακισχίλιαι πρὸς ἄλλαις πεντακο-
σίαις, ἔχουσαι φύλακά τε καὶ προϊστάμενον ἄνδρα τίμιον καὶ
σοφόν. ἦσαν δὲ καὶ ὑπ' αὐτὸν ἕτεροι ἄνδρες θαυμαστοί, ὡσεὶ
ιβ', ἀμισθὶ τοὺς θέλοντας ἐκπαιδεύοντες· τοσοῦτον δὲ τὴν
D ἀρετὴν ἦσαν περιώνυμοι ὡς καὶ τοὺς βασιλεῖς μηδέν τι πράτ-
τειν ἄνευ αὐτῶν. ὁ γοῦν κάκιστος κοινοῦται καὶ τούτοις τὰ
τῆς ἀθέου γνώμης αὐτοῦ, καὶ μὴ ἔχων καταπειθεῖς εὑρεῖν
αὐτοὺς ὕλην περισωρεύει εὐέξαπτον κύκλῳ τοῦ θείου ναοῦ,
καὶ πῦρ ὑφάπτει λιπαρόν, καὶ πάντα ὁμοῦ καταφλέγει,
τούς τε θείους ἐκείνους ἄνδρας καὶ σὺν αὐτοῖς τὰς βίβλους.

V. 218 Κατ' ἐκεῖνο δὲ καιροῦ καὶ πλούσιός τις ἦν ἐλεημοσύναις
ἅμου καὶ πορνείαις συζῶν, καὶ οὕτω καταγηράσας ἀπέθανε.

ram se flectit et ab effigie Christi benedictionem accipit. eo tempore Gregorius quoque papa Romanus ad imperatorem Leonem de imaginibus scripsit. sed cum Aethiopem eluere non posset, Italiae Romaeque vectigalia imperatori amplius pendi vetuit, adeoque totam illam regionem ab hoc imperio prorsus avulsit.

Quam nequiter se Leo gesserit, inter alia vel unicum hoc exemplum demonstrare poterit. haud procul a fano sanctae dei sapientiae splendida domus erat exstructa, qua librorum thesaurus continebatur, numero triginta sex milium et quingentorum. haec domus custodem et praefectum quendam habebat, virum omnino venerabilem ac doctum; sub quo alii duodecim erant, admirabili virtute ac rerum cognitione praestantes, qui quosvis absque mercede ac praemio disciplinis optimis erudiebant. atque horum ob virtutem tanta celebritas erat, ut ne ipsi quidem imperatores aliquid iis non consultis agerent. cum his ergo vir improbissimus sententiam suam impiam communicat, cumque parum eos suis rationibus tribuere deprehenderet, undique divinam hanc aedem materie coacervata cingit, quae ignem facile conciperet. inde pingues ei faces subiicit, omniaque simul exurit, tam divinos istos homines quam libros.

Exstitit iisdem temporibus vir quidam opulentus, qui et beneficentiam in pauperes largiter exercebat et plus aequo deditus erat scortationibus. ubi consenuisset, tandem naturae debitum persolvit. ibi de hoc

γίνεται οὖν στάσις περὶ τοῦ ποῦ ὁ τοιοῦτος τέτακται· οἱ μὲν γὰρ ἔλεγον ἄμωμον εἶναι δεῖ τὴν ἐλεημοσύνην, οἱ δὲ ταύτῃ P. 282
καθαίρεσθαι τὰ ἁμαρτήματα διισχυρίζοντο. δεηθέντων οὖν τοῦ πατριάρχου τε Ῥωμανοῦ καὶ τῶν θεοφιλῶν ἐπισκόπων τοῦ θεοῦ περὶ τούτου, ἀπεκαλύφθη τινὶ ἐγκλειστῳ. ἑώρα γὰρ ἐντεῦθεν μὲν παράδεισον, ἐκεῖθεν δὲ φλόγα πυρὸς μεγίστην, μέσον δὲ τὸν τελευτήσαντα ἑστῶτα καὶ μέγα στενάζοντα· πρὸς ὃν ἄγγελος ἐλθὼν εἶπε „τί μέγα στενάζεις; ἡ ἐλεημοσύνη σου ἐρρύσατό σε τῆς φλογός." μανθάνομεν οὖν ἐντεῦθεν ὅτι οὐ τοσοῦτον ὠφελήσει τὸ ἀργύριον ἐκ ῥυπαρᾶς χειρὸς διδόμενον. ἀλλὰ καὶ Ζήνων ὁ βασιλεύς, ὥς πού φη- B
σιν, ἐμίγη γυναικὶ παρθένῳ, ἧς ἡ μήτηρ μὴ φέρουσα τὸ συμβὰν τὴν ἀειπαρθένον ἱκέτευε θεοτόκον ἐκτενῶς ὥστε λαβεῖν ἐκδίκησιν. καὶ ἤκουσε θείας ἐκεῖθεν φωνῆς οὕτω λεγούσης πρὸς αὐτήν „θέλομεν ἐκδικῆσαί σε, ὦ γύναι· ἀλλ' ἡ δεξιὰ ἐκείνου ποιῆσαί με οὕτως οὐκ ἀφίησι." ὁ δὲ θεολόγος Γρηγόριος πρὸς ἀκρίβειαν νομοθετῶν οὕτως εὕρηται λέγων „μίσθωμα πόρνης ἁγνὸς οὐ μερίζεται."

Ἐγένετο δὲ καὶ ἐν τῇ Ῥώμῃ τοιοῦτόν τι. μοναχός τις C
ἀφορισθεὶς ὑπὸ Γρηγορίου τοῦ πάπα, ὡς παρὰ γνώμην τοῦ

oriri dissensiones coeperunt, quonam referendus esset. quippe nonnulli aiebant beneficentiam in pauperes expertem labis et a vitiis immunem esse debere. alii contra purgari et expiari delicta per hanc beneficentiam adserebant. quare cum hanc ob causam Romanus patriarcha et religiosi antistites deum rogarent, tandem patefactio quaedam viro in solitudinem abdito contigit. etenim videbat ab una parte paradisum, ab altera flammam ignis maximam, in medio stantem ac valde ingemiscentem eum qui vitam reliquerat. hinc angelum accedentem, qui talibus ipsum verbis alloqueretur: „cur tantopere ingemiscis? beneficentia in pauperes tua te flammis hisce liberavit." de quo exemplo discimus pecuniam manu inquinata sordenteque donatam non usque adeo largientibus profuturam, ut nonnulli existimant. itidem accepimus Zenonem imperatorem virgini cuidam vitium obtulisse; cuius mater iniquo casum hunc animo ferens, continentibus perpetuae illi deiparaeque virgini precibus supplicaverit, ut facinus istuc impunitum non relinqueret. tandem ab ea divinam quandam vocem, huiusmodi verba proferentem, auditam esse „cupimus nos quidem iniuriam tibi factam ulcisci, mulier, verum Zenonis dextra nos id facere nequaquam sinit." Gregorius autem cognomento theologus, accuratas pietatis leges ferens, alicubi locutus in haec verba reperitur „deus, qui purus est, non vult scorti mercedis particeps esse."

Perhibent etiam Romae quiddam huiusmodi accidisse. quidam

ἡγουμένου αὐτοῦ καὶ παρὰ τὸν θεσμὸν τοῦ μοναστηρίου τοῦ αὐτοῦ Γρηγορίου ποιήσας τι, μετ' ὀλίγας ἐτελεύτησεν ἡμέρας. ὅπερ ἀκούσας ὁ πάπας μεγάλως ἐλυπήθη, διότι ἀπῆλθεν ὁ ἀδελφὸς ἐξαίφνης δεδεμένος ὤν. καὶ γράψας ἐν χάρτῃ εὐχὴν λύουσαν τῶν δεσμῶν τὸν τεθνεῶτα ἔδωκέ τινι διακόνῳ εἰπὼν „ἄπελθε ἐπὶ τὸν τάφον τοῦ ἀδελφοῦ, καὶ ἀνάγνωθι αὐτήν." καὶ τούτου γενομένου θεωρεῖ ὁ ἡγούμενος κατ' D ὄναρ τὸν ἀδελφόν, καὶ λέγει αὐτῷ „λύπην ἔχομεν, ἀδελφέ, περὶ σοῦ, ὅτι δεδεμένος ἐτελεύτησας· εἰπὲ οὖν ἡμῖν πῶς ἔχει τὰ κατά σε;" καὶ ὃς ἀποκριθεὶς εἶπεν „ὄντως, πάτερ, εἰς φυλακὴν ἤμην ἕως χθές· σήμερον δὲ ἀπολέλυμαι." καὶ ἐγνώσθη πᾶσιν ὅτι καθ' ἣν ὥραν ἀνέγνω ὁ διάκονος τὴν εὐχὴν ἐπὶ τοῦ τάφου, τοῦ δεσμοῦ παραδόξως ὁ ἀδελφὸς ἠλευθέρωτο. ὅσα δὲ δύναται ὁ παρὰ τῶν ἱερέων ἐπαγόμενος δεσμός, δῆλον ἐντεῦθεν. ἐν τῇ ἐκκλησιαστικῇ ἱστορίᾳ Φίλω- P.283 νος τοῦ φιλοσόφου εὕρηται ὅτι ἐν τῷ καιρῷ τῶν διωγμῶν ἐπίσκοπός τις ἀφώρισε πρεσβύτερον, ὃς ἀπελθών που διά τινα χρείαν κρατεῖται ὑπὸ Ἑλλήνων καὶ μαρτυρεῖ. ναὸς ἐκεῖσε αὐτῷ ἐγείρεται, τελεῖται τὰ ἐγκαίνια. καὶ ἅμα τῷ τὸν ἐπίσκοπον εἰπεῖν „εἰρήνη πᾶσι," τηνικαῦτα ἡ λάρναξ τοῦ

8. τὸν om P.

solitariae vitae sectator a Gregorio papa excommunicatus, ut qui contra voluntatem praesidis et praescriptas monasterio leges a Gregorio nonnihil deliquisset, paucis diebus interiectis vitam cum morte commutavit. ea re nuntiata magnopere Gregorius indoluit, fratrem illum e vita subito migrasse sacris adhuc vinculis constrictum. itaque scriptam in charta precationem, qua mortuum vinculis istis eximeret, ministro cuidam cum hisce verbis tradidit „abi ad sepulcrum fratris illius, et precationem hanc pellege." quod ubi factum fuisset, monasterii praeses per quietem fratrem hunc conspicit. mox eum compellans „tua causa moesti sumus, o frater" ait, „quod vinculis sacris ligatus obieris. quamobrem dic, obsecro, nobis quonam in statu et conditione sis." tum ille respondens „re vera" inquit „o pater, ad hesternum usque diem carcere quodam clausus fui: verum hodie solutus ac liber factus sum." hoc modo cunctis innotuit, eadem hora qua Diaconus precationem illam supra sepulcrum legerat, nova et admirabili ratione fratrem istum a sacro vinculo fuisse liberatum. de hoc quoque satis existimari potest quanta vis sit eius vinculi quo mortales a sacerdotibus ligantur. in historia ecclesiastica Philonis philosophi reperitur, quodam persecutionum priscarum tempore seniori ecclesiastico ab antistite sacris interdictum fuisse. cum autem senior ille quandam ob causam necessariam aliquo profectus esset, accidit ut ab ethnicis comprehensus testimonio suo veritatem obsignaret. hinc templum eo

ναοῦ ἐξεπορεύετο. γίνεται τοῦτο δὶς καὶ πολλάκις. ὀπτάνεται ὁ μάρτυρ τῷ ἐπισκόπῳ, λέγων „ἄπελθε, καὶ πεῖσον τὸν ἐπίσκοπόν μου ἐλθεῖν καὶ λῦσαί με. ἀφώρισέ με γὰρ τῆς V. 219 λειτουργίας, καὶ συλλειτουργῆσαι ὑμῖν οὐ δύναμαι. καὶ τὸν μὲν στέφανον τοῦ μαρτυρίου ἔλαβον, τὸ δὲ πρόσωπον τοῦ θεοῦ οὐκ ἐθεασάμην. καὶ εἰ μὴ ὁ δήσας λύσει με, λῦσαι B ἄλλος οὐ δύναται." γίνεται ταῦτα, καὶ ἡ λάρναξ οὐκέτι τοῦ ναοῦ ἐξέρχεται. ὅθεν καὶ πάντες τῷ θεῷ δόξαν δεδώκασι τῷ διδόντι τοιαύτην ἐξουσίαν τοῖς δούλοις αὐτοῦ. ἀλλὰ καὶ ὁ χρυσορρήμων οὕτω φησίν „ἡμεῖς μὲν οὖν κατὰ τὸν ἐκκλησιαστικὸν θεσμὸν τὰ δεσμὰ περιβάλλομεν. εἰ δέ τις τούτων καταφρονεῖ, ἐπιστήσεται ὁ τοῦ θανάτου καὶ τῆς κρίσεως καιρός, διδάσκων αὐτὸν ὡς ἀψευδὴς ὁ λόγος τοῦ κυρίου καὶ ὁ νόμος τῆς ἐκκλησίας αὐτοῦ."

Μετὰ δὲ Λέοντα ἐβασίλευσεν ὁ υἱὸς αὐτοῦ Κωνσταντῖ- C νος ὁ Κοπρώνυμος ἔτη λδ', ἐκ δεινοτάτου λέοντος ποικιλότροπος πάρδαλις. οὗτος πᾶσαν κακίαν μετήρχετο, τοὺς ἁγίους τε μὴ λέγειν ἁγίους ἐθέσπιζε, τὰ λείψανα διαπτύειν αὐτῶν, καὶ πρεσβείαν ἐκεῖθεν μὴ ἐκκαλεῖσθαι· οὐ δύνανται γάρ. καὶ τὸ πάσης βλασφημίας μεῖζον, ὅτι τοιαῦτα καὶ περὶ τῆς θεομήτορος ἐφρόνει· ἔλεγε γὰρ ὅτι ἕως οὗ εἶχεν ἐν ἑαυτῇ

loco conditur et renovalia peraguntur; cumque antistes haec verba pronuntiaret „pax universis," sandapila templo excessit, idque non semel sed bis terve factum. hinc per quietem antistiti senior oblatus „abito" inquit, „et episcopo meo sis auctor ut huc veniat meque vinculis exsolvat. nam officio me sacro exclusit, ideoque sacris interesse vobiscum nequeo. testimonii quidem coronam consecutus sum, sed dei faciem necdum conspexi. quodsi me ipse profectus huc non exsolverit, alius exsolvere nemo poterit." cum igitur his obtemperatum esset, sandapila templo excedere desiit. atque hanc ob causam deo cuncti gloriam tribuebant, qui servis suis eiusmodi potestatem concessisset. Iohannes quidem orator ille aureus hac de re verbis huiusmodi disserit „nos secundum legem atque praescriptum ecclesiasticum vincula quibusdam iniicimus. ea si quis flocci pendit, is sciat mortis atque iudicii tempus appetiturum, quod ipsum doceat dei sermonem et eius ecclesiae leges minime falsas ac mendaciter excogitatas esse."

Post Leonem filius eius Constantinus, cognomento Copronymus, 34 annos imperium tenuit, ex saevissimo leone versuta pardalis. nihil non scelerum in eo fuit. sanctos hoc nomine appellari lege lata vetuit; reliquias eorum conspui iussit; ne quis eorum intercessionem imploret, edixit: nihil eos videlicet praestare posse; quod omni denique

τὸν Χριστόν, τετιμημένη ἐτύγχανε, ἀφ' οὗ δὲ τοῦτον ἀπέ-
τεκεν, ὢ τῆς ἀνοχῆς σου Χριστέ! οὐδὲν τῶν λοιπῶν γυναι-
D κῶν διενήνοχε, κατὰ τὴν εἰκόνα δῆθεν τοῦ βαλαντίου· πλῆ-
ρες μὲν νομισμάτων ὂν διὰ τιμῆς ἐστί, κενωθὲν δὲ οὐδενὸς
λογίζεται ἄξιον. ἀλλὰ καὶ τοὺς ἱεροὺς ναοὺς ἀνιέρους ἔσπευδε
ποιεῖν· τὰς γὰρ ἱερὰς μορφώσεις ἀπείληφεν, ἱππηλασίας δὲ
ἀντ' αὐτῶν ὑπεζωγράφει καὶ κυνηγέσια. καὶ οὐ τοῦτο μόνον,
ἀλλὰ καὶ τοὺς μοναχοὺς ἐδίωκε καὶ ὡς ἄρνας κατέσφαττε.

Ταῦτα δὲ βλέπων ὁ προρρηθεὶς Ἀρτάβασδος συνάπτει
πόλεμον αὐτῷ, καὶ τῆς βασιλείας ἐξώσας κράτωρ αὐτὸς ἀνα-
γορεύεται. ἐντεῦθεν ἀνθεῖται τὰ τῆς εὐσεβείας, καὶ τὰ
P. 284 τῶν ἐκκλησιῶν τὸ πρώην κάλλος ἐλάμβανον. ἀλλ' ὁ Βελίαρ
ἐπὶ τούτοις οὐκ ἔφερεν. ὑπέρχεται τὸ στρατιωτικόν, κολα-
κείαις θερμαίνει. ἀθροίζει δύναμιν, τῷ Ἀρταβάσδῳ συνά-
πτει πόλεμον, νικᾷ κατὰ κράτος. χειροῦται αὐτὸν ζῶντα καὶ
ὀφθαλμοὺς ἐξορύττει, καὶ κράτωρ αὖθις ἀποκαθίσταται ὁ
δεύτερος ὄντως Ἰουλιανός· ἀνθρώπους καὶ γὰρ ἔθυε τῇ
Ἀφροδίτῃ. ὅθεν καὶ ἐν ταῖς ἡμέραις αὐτοῦ νοσήματα χα-
λεπὰ κατὰ θεομηνίαν συνέβαινον, κἀντεῦθεν θανατικὸν γέγο-
νεν ἄρρητον. φθορὰ γὰρ ἀνθρώπων τηνικαῦτα ἐπέπεσεν
ὁποία δὴ καὶ ἐν ταῖς ἡμέραις Ἰουστινιανοῦ· ὁλόκληροι γὰρ
B ἐκλείσθησαν οἶκοι. ἀλλὰ καὶ δείματα φοβερὰ ἑώρων οἱ ἄν-

11. ἀνθεῖ τε τὰ?

blasphemia maius est, eadem de matre dei sentiebat. nam de hac aiebat, quam diu Christum intra se gestaverit, honorandam ac venerabilem fuisse: verum ex quo illum pepererit (pro quanta tua patientia est, Christe!) nihil eam ceteris a mulieribus differre. cuius rei simulacrum et imago peti de marsupio potest: cum aureis oppletum est, in pretio solet haberi, cum evacuatum, nihili penditur. praeterea sacras aedes magno studio profanare conabatur. nam religiosas effigies inductas delebat, earumque loco ludorum circensium venationumque picturas substituebat. neque tantum huiusmodi facinora designabat, verum etiam solitariae vitae sectatores persequebatur et tanquam agnos iugulabat.

Quae cum Artabasdus is cuius mentionem supra facimus cerneret, bellum Constantino intulit, eoque deiecto ipse renuntiatus est imperator. tum vero pietas reflorescere, pristinamque status ecclesiarum pulcritudinem recuperare. verum haec Beliar ille pati non poterat. nam Constantinus exercitibus semet insinuat, adulationibus eos inflammat, copias militares cogit. praelium cum Artabasdo conserit, victoria vi potitur, Artabasdum vivum capit, oculos eidem eruit, eoque pacto reapse Iulianus alter imperium recuperat. solebat enim et ipse Veneri victimis humanis litare. quapropter eo regnante diri

θρωποι· ὡς ἐν ἐκστάσει καὶ γὰρ γινόμενοι ἐδόκουν ἐντυγχάνειν ἀνδράσι τισὶ βριαροῖς. τότε καὶ ψῦχος γίνεται μέγα καὶ πικρόν, ὥστε καὶ τὴν ἀρκτῴαν τοῦ Πόντου παράλιον ἐπὶ μίλια ρʹ ὑπολιθωθῆναι τὸ πέλαγος ἐκ τοῦ κρύους, εἰς δὲ βάθος ἐπὶ πήχεσι λʹ, ὃ καὶ ἐπιχιονισθὲν ηὐξήθη πήχεις ἑτέρους κʹ. κατὰ δὲ μῆνα Φευρουάριον εἰς διάφορα τμήματα διαιρεθὲν ἐπὶ τὴν πόλιν αὐτὴν καὶ μέχρι τῆς Ἀβύδου κατῆλθεν, ἔχον ἐν ἑαυτῷ καὶ ζῶα πάμπολλα πεπηγμένα. τότε ὁ θέλων πεζοπορῆσαι ἀπὸ ἀκροπόλεως εἰς Χρυσούπολιν οὐκ C ἐκωλύετο. τότε ὑπ' αὐτῶν συντριβόμενα τὰ τείχη μεγάλως V. 220 ἐδονήθησαν. τότε ιβʹ νομίσματα ἐπράθη ὁ μόδιος ἡ κριθή. τότε τῆς κατὰ Μεσοποταμίαν γῆς σχισθείσης ἡμίονος ἀνεδόθη πολεμίων ἔφοδον ἀνθρωπίνῃ φωνῇ προσημαίνουσα. καὶ τότε Νικήτας τις εὐνοῦχος, τὰ πρῶτα φέρων παρὰ τῷ Κοπρωνύμῳ, μηδὲν ἄλλο εἰδὼς ἢ ἐσθίειν καὶ πίνειν, χειροτονεῖται πατριάρχης. οὗτός ποτε τὸ εὐαγγέλιον ἀναγινώσκων ἐν τῷ κελλίῳ αὐτοῦ, ἀντὶ τοῦ εἰπεῖν ἐκ τοῦ κατὰ Ματθαῖον „ἐκ τοῦ κατὰ Ματθάϊον" ἐξεφώνησεν. ἐφ' ᾧ καί τις τῶν παρισταμένων εἶπε „μὴ διαίρει τὴν αι δίφθογγον." πρὸς ὃν D ἐκεῖνος ἔφη μετὰ θυμοῦ „φλυαρεῖς· τὰ γὰρ δίφθογγα καὶ

quidam morbi ex ira divina passim grassati sunt, adeoque pestis ineffabiles hominum copias sustulit, nequaquam illa minor quae Iustiniani temporibus exstitit: nam domus integrae prorsus occludebantur. praeterea se terriculamenta quaedam horrenda mortalibus offerebant, cum de potestate scilicet egressi et extra se rapti putarent in homines se terribili vultu praeditos incidere. tunc et ingens acerbumque adeo frigus exstitit, ut a ponti parte septentrionali prae frigore glacieque pelagus ad centum a littore miliaria lapidesceret, cuius glaciei crassities triginta cubitos aequabat. cumque larga deinceps nix supra glaciem hanc delapsa fuisset, ad alios viginti cubitos ea crassities excrevit. tandem Februario mense glacies diversa in fragmina divulsa usque ad urbem ipsam et Abydum delata est. in iis fragminibus erat videre complures gelu adstrictas bestias. quodsi quis ab arce Chrysopolim usque proficisci pedes volebat, omnino id facere nulla impeditus re poterat. atque haec fragmina in urbis muros impacta vehementer eos succusserunt. eodem Copronymo imperante modius hordei 12 aureis vaeniit. cumque terra dehisceret in Mesopotamia, mulus exiit, humanaque voce secuturos hostium incursus denuntiavit. tunc et Nicetas quidam eunuchus, principe apud Copronymum loco, qui nihil aliud sciret quam edere et bibere, patriarcha creatus est. cum aliquando evangelium in cellula sua recitaret, pro eo quod dicendum erat „ex evangelio secundum Matthaeum" pronuntiavit „ex evangelio secundum Matthaëum." ibi quodam ex

τρίφθογγα πολλὰ μισεῖ ἡ ψυχή μου." ὁ δὲ τύραννος ἀπὸ ἐκστρατείας ὑποστρέφων ἀνθρακοῦται τὰ σκέλη, καὶ περὶ τὸ στρογγύλον θνήσκει λάβρῳ πυρετῷ συσχεθείς, τοῦτο καὶ μόνον ἐπὶ τούτοις εἰπών, ὅτι ζῶν ἀσβέστῳ πυρὶ παραδίδομαι διὰ τὴν Μαρίαν· ἀλλ' ἀπὸ τοῦ νῦν τιμάσθω. γίνωσκε δέ, ἀγαπητέ, ὅτι πολλὰ καὶ πολλάκις ζητήσαντες ὅθεν ἐκεῖνος ἐκλήθη Κοπρώνυμος, οὐδὲν ἄλλο ἢ τοῦτο μόνον εὕρομεν. χώρα τίς ἐστι Κάβαλα οὕτω λεγομένη. οἱ οὖν ἐκεῖθεν ὁρμώμενοι Καβαλῖ-
P. 285 νοι πάντως ἐλέγοντο. ἐκεῖθεν οὖν καὶ αὐτὸς τὴν γέννησιν ἔσχηκε, καὶ ἐπειδὴ κατά τινα συνήθειαν Καβαλίνα ἡ κοπρία λέγεται, δικαίως ὁ κάκιστος ἐκεῖνος ἐπεκλήθη Κοπρώνυμος, ὡς ὄνομα κοπρίας ἐν ἑαυτῷ δῆθεν ἐπιφερόμενος.

Μετὰ δὲ τοῦτον κρατεῖ ὁ ἐκ τῆς Χαζάρας υἱὸς αὐτοῦ Λέων ἔτη ε', εὐσεβὴς μὲν ὢν κατ' ἀρχάς. ἔπειτα δὲ τὸ τῆς ἐκκλησίας στέμμα φορεῖ, ὅθεν ἀπανθρακωθεὶς ὥσπερ ὑπὸ λαβροῦ πυρετοῦ τελευτᾷ. τότε καὶ ὁ κύων ἐκεῖνος ἦν ὁ τὸν φονέα
B τοῦ κυρίου αὐτοῦ γνωρίσας ἐν καπηλείῳ εἰσελθόντα τοῦ πιεῖν οἶνον. ὁ γὰρ κύων μετὰ τὸ φονευθῆναι τὸν κύριον συνοδεύοντά τινι κακούργῳ καθ' ὁδὸν προσήλυτος ἐν πανδοχείῳ γέγονεν. ἐκεῖσε γοῦν τυχαίως εἰσελθὼν ὁ φονεὺς ἐγνωρίσθη

8. καβαλία F. καβαληνοὶ F.

adstantibus subiiciente „noli ae diphthongum" (gemini soni vocem) „dividere," „nugaris" ait quadam cum iracundia: „nam quae geminos et trinos sonos habent, anima mea vehementer odit." tandem hic tyrannus ab expeditione quadam revertens carbunculi morbum in pedibus sensit, et vehementi febre circa strongylum correptus vitam finiit, quum solum hoc verbum pronuntiasset „propter insaniam furoremque meum vivus inextincto igni trador. deinceps vero quin ea quae prohibui cum honoris delatione fiant, minime veto." velim autem animadvertere te hoc loco, dilecte fili, nos multum et saepius inquisito cur hic imperator Copronymus vocaretur, hoc tantum reperisse, regionem quandam esse quae Caballa dicatur; ex ea quotquot oriundi sint, Caballinos fuisse vocatos. quamobrem cum Constantinus hic inde originem traxerit, ac more inoleverit ut stercus caballinum dicamus, non abs re vir sceleratissimus a stercoreo nomine Copronymus est nuncupatus, ut qui stercoreum nomen in se circumferret.

Post Copronymum eius ex coniuge Chazara filius Leo annis quinque imperavit, religiosus ac pius quidem ille ab initio, verum ubi coronam ecclesiae donatam gestasset, carbunculi morbo vexatus, ardenti febre tandem extinguitur. exstitit hisce temporibus canis ille qui heri sui interfectorem indicio suo prodidit, cum vini bibendi causa cauponam ingressus esset. nam domino suo necato, qui cum

παρὰ τοῦ κυνός, καὶ τοσοῦτον ἦν ἐκεῖνος ὑπ' αὐτῷ ὑλακτῶν ὥστε ὑποψίαν οὐκ ἀγαθὴν δοῦναι περὶ αὐτοῦ. κρατεῖται λοιπὸν ὁ φονεύς, προσάγεται τῷ ἄρχοντι, ἐτάζεται ἀκριβῶς, ὁμολογεῖ καὶ ἄκων, καὶ τελευταῖον ὡς κακοῦργος ἀναιρεῖται.

Μετὰ δὲ τοῦτον κρατεῖ ὁ υἱὸς αὐτοῦ Κωνσταντῖνος σὺν
τῇ αὐτοῦ μητρὶ Εἰρήνῃ ἔτη ιζ', ὑφ' οὗ ἡ εὐσέβεια κρατύνε-
ται καὶ τὰ μοναστήρια πλατύνονται. τότε καὶ ἐν τῇ Θρᾴκῃ
ὀρύσσων τις εὗρε λάρνακα ἐν ᾗ γεγραμμένον ἦν „Χριστὸς C
γεννᾶσθαι μέλλει ἐκ Μαρίας τῆς παρθένου, καὶ πιστεύω εἰς
αὐτόν. ἐπὶ Κωνσταντίνου καὶ Εἰρήνης τῶν εὐσεβῶν βασι-
λέων ὄψει με πάλιν, ὦ ἥλιε." ἡ Εἰρήνη αὕτη τῷ υἱῷ αὐτῆς
Κωνσταντίνῳ συμβασιλεύουσα, καὶ μὴ ἀνεχομένη τῶν παρὰ
αὐτοῦ γινομένων (αὐτήν τε γὰρ τῆς βασιλείας ἐποίησεν
ἔκπτωτον, εἰ καὶ μεταμεληθεὶς πάλιν ἐπὶ τὰ βασίλεια ταύτην
ἀνήγαγε, καὶ τὴν ὁμόζυγον αὐτοῦ σώφρονα καὶ λίαν οὖσαν
ἐξάγει, μῖξιν δὲ γυναικὸς ἄλλης ἀντεισάγει), τούτου χάριν
ἐκτυφλοῖ αὐτὸν ὑπνώττοντα, ὡς ἐντεῦθεν καὶ τὸν ἥλιον ἐπὶ
πλείστας ἡμέρας μὴ δοῦναι καθαρὰς τὰς ἀκτῖνας αὐτοῦ. D
ἀλλ' ἡ βασιλὶς Εἰρήνη μετάμελον ἐφ' οἷς δέδρακε σχοῦσα, V. 221
καὶ θέλουσα τοῦ μίσους ἑαυτὴν ἀποπλῦναι, χρημάτων

1. ἐπ'? 7. ιβ' F.

homine malefico iter fecerat, quoddam in diversorium sese contulit; quo cum forte fortuna venisset homicida ille, mox a cane agnitus fuit. neque canis insigniter ipsius causa latrare desinebat, ita ut tandem infausta quaedam coniectura de latrone conciperetur. itaque carceri homicida mancipatur, ad praetorem deducitur, accurate quaestionibus subiicitur, vel invitus facinus suum fatetur, ac tandem malefici more necatur.

Leone mortuo filius eius Constantinus 17 annis rerum potitur, sub cuius imperio et dominatu religio radices agebat et monasteriorum multitudo adaugebatur. eodem imperante quidam in Thracia terram fodiens cistam invenit, in qua huiusmodi verba scripta reperiebantur „Christus e virgine Maria nascetur, in quem ego credo. Constantino et Irena religiose imperantibus rursum me sol videbis." caeterum haec Irena particeps erat imperii Constantini filii, nec quae ab ipso designabantur aequo pati animo poterat. nam et matrem aliquando summovit ab imperii gubernaculis, quanquam deinceps eam poenitudine ductus in aulam reduxit; et coniuge sua, femina valde casta, repudiata, quandam aliam eius loco uxorem accepit. itaque filium mater consopitum oculis spoliat, quo factum est ut sol complures dies radios suos pure non emitteret. sed enim Irena impe-

θησαυροὺς τῇ πόλει ἐκκενοῖ καὶ λύει τὰ χρέα. πλὴν οὐκ ἐπενύσταξεν ὁ παντεπόπτης ὀφθαλμός· πρὸς βραχὺ καὶ γὰρ τῆς ἡδονῆς τοῦ κράτους αὕτη γευσαμένη ἀψινθιάζοντα πίνει κρατῆρα. ἐπανέστη καὶ γάρ τις τῶν συγκλήτου, τοὔνομα Νικηφόρος, τὴν ἀξίαν πατρίκιος ἀπὸ γενικῶν, καὶ τῆς βασιλείας αὐτὴν ἀτίμως ἐξίστησι. κρατεῖ τοίνυν ὁ Νικηφόρος οὗτος ἔτη θ', ἄνθρωπος φονικώτατος, δοῦλος χρυσοῦ, Μίδας ἄλλος ἄντικρυς, P. 286 ὠνίους τὰς ἀρχὰς ποιούμενος. οὗτος πᾶσι μὲν ἐῴκει κατηφὴς εἶναι, τὸν δὲ χρυσὸν αὐτῷ προσάγουσι καὶ πάνυ χαρίεις ἐφαίνετο. ἀλλὰ καὶ βαρὺ τοῖς Βυζαντίοις ἄχθος ἐπέθηκε, χάριν τῶν γηρασάντων τειχῶν ἀπαιτεῖσθαι τὸ λεγόμενον δικέρατον ἐκέλευσε. πρὸς τούτοις δὲ ἐπεκράτει καὶ τὰ τῷ στρατῷ ἐποφειλόμενα.

Κατ' ἐκεῖνο δὲ καιροῦ καὶ τὸ τῆς ἁγίας Εὐφημίας λείψανον κατὰ θαλάττης ῥιφὲν παρὰ τοῦ Κοπρωνύμου ἐν Λέσβῳ τῇ νήσῳ ἐπανεσώθη. καὶ περὶ μὲν τούτων οὕτως. ὁ δὲ Ζωναρᾶς B ἐν τῷ χρονικῷ αὐτοῦ συντάγματι καὶ τάδε περὶ τούτου φησί. δύο λόγοι φέρονται· ὁ μὲν γὰρ λέγει πυρὶ παραδοθῆναι παρὰ τοῦ Κοπρωνύμου τὴν ἁγίαν Εὐφημίαν, εἰ καὶ τῆς ἐλπίδος ἐκεῖνος διήμαρτεν (ἀντ' αὐτῆς γὰρ ἕτερον

5. γενικοῦ F.

ratrix facti sui poenitens, ut odium inde conceptum elueret, omnes opum thesauros exhauriebat et urbi largiebatur, persolutis obaeratorum debitis. verum oculus ille, qui cunctas res mortalium inspicit, nequaquam sopitus obdormiit. nam hac imperii voluptate perexiguum ad tempus degustata tandem Irena craterem absinthio dilutum bibit. etenim quidam ex ordine senatorio, cui nomen Nicephorus, dignitate patricius et unus ex generalibus, motu adversus eam concitato non sine dedecore regnum ipsi eripuit. quapropter imperio Nicephorus hic novem annis praefuit, homo caedium cupidissimus, auri mancipium, prorsus alter Midas. magistratus et praefecturas venales habebat, et tristior quidem vulgo videbatur: verum si qui aurum adferrent, valde se gratiosum atque comem praebebat. grave Byzantiis onus imposuit, sub praetextu instaurandorum veterum murorum exigi praecipiens id quod diceratum (a duobus ceratiis) nuncupatur. praeterea quae militibus debebantur, ipse sibi retinuit.

His annis etiam reliquiae S. Euphemiae, quas Copronymus in mare proiecerat, ad Lesbum insulam receptae servataeque sunt. sic enim nos factum accepimus. Zonaras in Annalium libris huiusmodi quaedam commemorat. duplex, inquit, hac de re rumor est. nam alii tradunt sanctam Euphemiam a Copronymo igni fuisse traditam, quanquam spe sua tyrannus excidit: quippe illius loco cadaver aliud

ἐκαύθη σῶμα), ὁ δὲ λέγει κατὰ βυθοῦ ῥιφῆναι αὐτήν, θείᾳ χάριτι περὶ τὴν Λέσβον νῆσον ἐπανασωθῆναι.

Τότε δὴ τότε κακῶς οὕτω τοῦ Νικηφόρου τὰ τῆς βασιλείας διέποντος θρόος ἄτακτος παρὰ τῷ λαῷ καὶ στάσις ὅτι πολλή. τότε καὶ Βαρδάνην τὸν στρατάρχην τὸ τῆς βασιλείας κράτος ἐκβιάζουσιν ἀναδήσασθαι. ὅθεν καὶ τὸ τῆς τύχης οὗτος ἄδηλον δεδιὼς διορατικῷ τινὶ προσέρχεται ἀνδρὶ τὰ C μέλλοντα μαθησόμενος, καὶ δὴ καὶ μεμάθηκεν ἀπλανῶς πάντα τὰ συμβησόμενα. τὸν μέντοι Νικηφόρον, διάγε τὸ τὸν μέγαν Θεόδωρον τὸν Στουδίτην ὑπερόριον ποιῆσαι τοῦ δικαίου καὶ τῶν κανόνων ὑπερλαλοῦντα, ἡ θεία δίκη μετέρχεται· κατὰ Βουλγάρων γὰρ ἐκστρατεύσας ἐν τῷ πολέμῳ πίπτει καὶ τὴν κεφαλὴν ἀφαιρεῖται. τῷ παιδὶ Σταυρακίῳ τὰ σκῆπτρα καταλιμπάνει. ἀλλὰ καὶ Σταυράκιος ἐκ μέσου τάχιον γίνεται κατὰ ταύτην τὴν μάχην δορατότρωτος γεγονώς, κρατήσας μῆνας δύο.

Μετὰ δὲ τοῦτον κρατεῖ Μιχαὴλ ὁ Ῥαγγαβὲ ὁ ἐπὶ θυγατρὶ Προκοπίᾳ τοῦ Νικηφόρου γαμβρός, ἔτη δ' μῆνας θ', ὁ καὶ βασιλείας ἄξιος· πρὸς γὰρ τοῖς ἄλλοις καὶ τοὺς ἐν ἐξορίᾳ D ὄντας ἁγίους ἐπανεσώσατο. τοῦτον μέντοι τὸν Μιχαὴλ ἀρχὴν ὁ Σκυλίτζης τοῦ χρονικοῦ αὐτοῦ ποιεῖται συντάγματος. ὁ

1. θείᾳ δὲ χ.?

crematum fuit. alii perhibent eam in mare proiectam divino beneficio circa Lesbum recuperatam fuisse.

Cum autem Nicephorus male imperium administraret, rumor in populo turbarum plenus est diditus excitataque seditio gravissima; cuius occasione quidam Bardanem copiarum ducem imperium sibi vindicare cogunt. ille vero fortunae reveritus inconstantiam, virum quendam adit futura prospiciendi vi praeditum, ut quid eventurum esset cognosceret; id quod citra omnem errorem consecutus fuit. deinceps Nicephorum imperatorem propterea quod eximium Studiano e collegio virum Theodorum in exsilium egisset, iustitiae sacrisque canonibus patrocinantem, vindicta divina persequi coepit. nam contra Bulgaros expeditione suscepta quodam in praelio cecidit, hostibus ei caput amputantibus. imperii gubernacula Stauracio filio reliquit. verum is quoque celeriter admodum e medio sublatus est, hac ipsa in pugna ictu hastae vulneratus.

Successit in imperio Michaelus Rangabes, Nicephori gener, ut cui nuptum ille filiam Procopiam dederat. rebus omnino per annos quattuor menses novem praefuit, vir plane dignus imperio. nam praeter alia quae praeclara fecit, etiam viros sanctos ab exsilio revocatos in integrum restituit. ab hoc Michaelo suorum annalium

διαληφθεὶς Βαρδάνης, ἡνίκα προσῆλθε τῷ κατά γε τὸ Φιλομίλιον διορατικῷ μοναχῷ, συνεφεπομένους εἶχε Λέοντα τὸν Ἀρμένιον, Μιχαὴλ τὸν τραυλὸν καὶ Θωμᾶν τινά. καὶ ὁ μὲν Βαρδάνης κατὰ τὴν τοῦ μοναχοῦ πρόρρησιν ἐκτυφλοῦται τυραννίδος ἐφιέμενος, ὁ δὲ Λέων ὕστερον καὶ ὁ Μιχαὴλ ἐγκρατεῖς τῆς βασιλείας γίνονται. τῷ μέντοι Μιχαὴλ τῷ Ῥαγγαβὲ ἡ τῆς βασιλείας ἀποβολὴ καὶ οὕτω δεδήλωται. παιδίσκη τις οἰκογενὴς ἦν τῷ Μιχαήλ· αὕτη κατά γε τὰς σεληνιακὰς συνόδους πάθει μανίας ἡλίσκετο. ἡνίκα γοῦν τῷ πάθει
P. 287 (beside "νιακὰς συνόδους")
συνείχετο, κατά γε τὸν Βουκολέοντα ἤρχετο, καὶ γεγωνότερον ἐβόα πρὸς τὸν βασιλέα „κάτελθε, κάτελθε· ὑποχώρει τῶν ἀλλοτρίων." γίνεται τοῦτο πολλάκις.
V. 222 (beside "νότερον ἐβόα")
ἐκπλήττεται ὁ βασιλεύς. κοινολογεῖται τὰ περὶ τούτου οἰκείῳ τινὶ Θεοδότῳ τοὔνομα. καὶ ὃς ἅμα τῷ γενέσθαι τὸ κοράσιον τῷ δαίμονι κάτοχον διερωτᾷ τε αὐτὸ καὶ μανθάνει τίνι προσήκει τὸ παλάτιον καὶ ὁποῖα τὰ τούτου γνωρίσματα. ὁ δὲ ἦν Λέων ὁ Ἀρμένιος. πολὺ τὸ ἐν μέσῳ καὶ παρὰ Μιχαὴλ πέμπεται πρὸς τῆς ἕω στρατηγὸς ὁ Ἀρμένιος. εἶτα μετέρχεται τὸ στρατιωτικόν, ἀνταίρει κατὰ Μιχαήλ. τρίχινον λοιπὸν οὗτος ἐνδύεται, καὶ τῆς βασιλείας ἑκὼν ὑπεξίσταται.

14. θεοδώρῳ F.

volumen Scylitzes orsus est. diximus antea de Bardane. quo tempore is monachum illum futura prospiciendi facultate praeditum, qui degebat in Philomilio, conveniebat, comites habebat secum Leonem Armenium, Michaelum Balbum et alium quendam cognomento Thomam. ex his quattuor primus Bardanes affectato imperio secundum monachi praedictionem oculos amisit, alter Leo idemque Michaelus imperio deinceps potiti sunt. etiam huic Michaelo Rangabi hoc quodam modo imperii denuntiata fuit amissio. vernam quandam ancillam habebat, quae sub lunae cum sole coitu furore corripiebatur. quoties igitur hoc malo vexabatur, ad Bucoleontem (loci hoc nomen est, a collocatis ibi bovis leonisque statuis) se conferebat, et ad imperatorem contentiori voce clamabat „descende, descende, atque alienis cede." cum id saepius accideret, imperator metu perculsus rem totam cum familiari quodam suo, cui nomen esset Theodoti, communicat. is cum primum puella malo a genio corriperetur, quibus ex indiciis agnosci posset imperatoris successor, interrogat. animadvertit illis expositis Leonem Armenium significari; qui ex eo tempore sibi conciliatis exercitibus contra Michaelum arma sumit. eo Rangabes cognito asperam vestem induit, et imperio sponte sua cedit.

Κρατεῖ οὖν μετὰ τὸν Ῥαγγαβὲ ὁ Ἀρμένιος, ἔτη ζ΄ μῆ- B νας ε΄. καὶ τηνικαῦτα τὸ γένος φιλονεικῶν ἐκτρῖψαι τοῦ Μιχαὴλ, τὰ παιδογόνα τοῦ παιδὸς αὐτοῦ μόρια, ᾧ ὄνομα Νικήτας, ἐκτέμνει, μή ποτε τεκνώσας ἀμύνηται αὐτόν. εἰς ἄνδρας οὖν ὁ παῖς οὗτος ἔρχεται, καὶ τῆς νέας ταυτησὶ Ῥώμης ἀρχιερεὺς χρηματίζει, μετακληθεὶς Ἰγνάτιος ἐν μεταθέσει βίου. ὁ δὲ Λέων κατὰ τῶν ἁγίων εἰκόνων ὁπλίζεται. ἡ δὲ αἰτία τοιαύτη. ὁ προορατικὸς ἐκεῖνος τελευτᾷ μοναχός. διαδέχεται τὸ κελλίον αὐτοῦ μοναχὸς ἄλλος, Σαββάτιος τοὔνομα, ὃς καὶ πείθει τὸν Λέοντα ἐκ μέσου ποιῆσαι τὰς ἁγίας C εἰκόνας. ὁ γὰρ Λέων τῆς βασιλείας ἐπιβὰς καὶ τῆς τοῦ μοναχοῦ προρρήσεως ἐπιμνησθεὶς στέλλει τάχα πρὸς ἐκεῖνόν τινας ἀμοιβάς· εὑρεθεὶς δὲ ὁ Σαββάτιος οὗτος καταπλήττει τε διὰ γραφῆς, καὶ ἔκπτωσιν τῆς βασιλείας ἀπειλεῖ εἰ μὴ τὰς εἰκόνας αὐτὰς καταστρέψειεν. ἐντεῦθεν ἡ τῆς εἰκονομαχίας πυρκαϊὰ τῷ βασιλεῖ Λέοντι ὑπανάπτεται. τηνικαῦτα καὶ ὁ ἐν πατριάρχαις ἀοίδιμος Νικηφόρος μὴ πεισθεὶς τῇ εἰκονομαχίᾳ συνθέσθαι ἐξόριστος εἰς Προικόνησον γίνεται, καὶ πρὸ πολλοῦ τοῦτο εἰδώς, καὶ ὅτι ταράξει τὴν ἐκκλησίαν D ὁ Λέων· ἔδοξε γὰρ τῷ μακαρίτῃ, ὁπηνίκα τὸ διάδημα τῇ τοῦ Λέοντος ἐπέθη κεφαλῇ, ἀκάνθαις καὶ τριβόλοις τὴν χεῖρα περιπαρῆναι. οὗτος οὖν ὁ μακάριος διὰ νηὸς εἰς τὴν

Hoc modo post Rangabem Armenius hic septem annos quinque menses rerum potitus est. ante omnia studiose dedit operam ut Michaeli genus exscinderet. quapropter genitalia filii eius, qui Nicetae nomen habebat, resecuit, ne forte procreatis aliquando liberis vindictam de Leone sumeret. is puer ubi virilem ad aetatem pervenisset, urbis huius Novae Romae pontifex creatus est, cum ipsa vitae mutatione diverso etiam a priori nomine adscito: nam pro Niceta Ignatius appellatus est. secundum haec Leo se contra sacras imagines armat huiusmodi causa impulsus. mortuo monacho qui futura prospiciebat, in eius cella quidam alius monachus successit, qui Sabbatius dicebatur. is Leoni persuasit ut sacras imagines e medio tolleret. quippe Leo consecutus imperium, ubi praedictionem illius Monachi ad animum revocasset, quaedam ad illum munera misit declarandi animi grati causa. cum autem ipsius loco Sabbatius inventus esset, perscriptis ille litteris imperatori terrorem iniicit et amissionem imperii minatur, ni sacras imagines everteret. hinc illa simulacrorum excidii flamma in Leone accensa est. eodem tempore clarissimus ille patriarcha Nicephorus, cum adduci non posset ut imaginum oppugnationem probaret, solum vertere iussus est ac in Proeconesum deportatus, cum quidem id eventurum sibi multo ante cognovisset, ac Leo-

τὸν Χριστόν, τετιμημένη ἐτύγχανε, ἀφ' οὗ δὲ τοῦτον ἀπέτεκεν, ὦ τῆς ἀνοχῆς σου Χριστέ! οὐδὲν τῶν λοιπῶν γυναι- D κῶν διενήνοχε, κατὰ τὴν εἰκόνα δῆθεν τοῦ βαλαντίου· πλήρες μὲν νομισμάτων ὂν διὰ τιμῆς ἐστί, κενωθὲν δὲ οὐδενὸς λογίζεται ἄξιον. ἀλλὰ καὶ τοὺς ἱεροὺς ναοὺς ἀνιέρους ἔσπευδε ποιεῖν· τὰς γὰρ ἱερὰς μορφώσεις ἀπείληφεν, ἱππηλασίας δὲ ἀντ' αὐτῶν ὑπεζωγράφει καὶ κυνηγέσια. καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ τοὺς μοναχοὺς ἐδίωκε καὶ ὡς ἄρνας κατέσφαττε.

Κατὰ ταύτας δὲ τὰς ἡμέρας ἀνήρ τις ἀνεφάνη Φιλώραιος καλούμενος, ὑπασπιστὴς ὢν Ῥωμανοῦ μαγίστρου του Μωσηλὲ τοῦ ἐγγόνου Ῥωμανοῦ τοῦ γέροντος. οὗτος ἄνωθεν ἵππου ὠκυτάτου ἐπὶ τῆς ἐφεστρίδος ἱστάμενος ὄρθιος, τοῦ ἵππου τρέχοντος ὅσον ἠδύνατο, κατὰ τὴν ἱπποδρομίαν ἄνω καὶ κάτω ἐφέρετο. τότε δὴ τότε καὶ τὸ λοιμικὸν ἐπέδωκε πάθος, ἐπιόν τε αὖθις καὶ διαφθεῖρον τοὺς βόας· ὃ Κράβα κατονομάζεται. φασὶ δὲ τὴν ἀρχὴν τοῦτο λαβεῖν ἐπὶ τῶν
D ἡμερῶν Ῥωμανοῦ τοῦ γέροντος. ἔγγιστα γὰρ τῆς Βόνου κινστέρνης ἀναψυχὴν ἑαυτῷ τῆς θερινῆς θέρμης παλάτιον τοῦ Ῥωμανοῦ ἀναγείραντος, καὶ τῶν θεμελίων καταβαλλομένων, βοός φασιν εὑρεθῆναι μαρμαρίνου κεφαλήν, ἣν εὑρόντες καὶ συντρίψαντες εἰς τὴν τοῦ τιτάνου κάμινον βάλλουσιν. ἐξ ἐκείνου δὲ καὶ μέχρι τῶν τῇδε χρόνων οὐκ ἐπαύσατο πανταχοῦ τῆς γῆς, ὁπόσην ἡ τῶν Ῥωμαίων περιέχει δυναστεία, τὰ τῶν βοῶν διαφθείρεσθαι γένη.

Ὁ μέντοι Φωκᾶς Νικήφορος, ὡς ἔμπροσθεν εἴρηται, προσταχθεὶς ἀπὸ Κρήτης ἐπανελθεῖν οὐ συνεχωρήθη πρός γε τὴν βασιλεύουσαν εἰσελθεῖν, ἀλλ' ἐν τῇ ἀνατολῇ ἐκελεύσθη παραγενέσθαι μετὰ παντὸς τοῦ στρατοῦ διὰ τὸν Ἀποχανδᾶν καὶ μᾶλλον τὴν ἑαυτοῦ ἧτταν ὥσπερ ἀνακαλούμενον. πάλιν
P.305 οὖν κατὰ Συρίας ὁρμήσας ὁ Φωκᾶς κατὰ κράτος τε αὐτὸν

9. βώνου F.

Per idem tempus vir quidam exstitit Philoraeus nomine, stipator Romani Moselis magistri, a Romano seniore prognati. is veste stragula in equum velocissimum iniecta rectus in ea stabat, equo interim totis viribus currente, atque ita Circum equestrem sursum deorsumque obibat. tunc et pestis illa de integro saevire coepit ac boves extinguere, quae Craba nuncupatur. eam perhibent initium habuisse sub Romani senioris imperio. cum enim proxime Boni cisternam Romanus palatium conderet, in quo se ab ardore solis aestivo refrigeraret, dum fundamenta iaciuntur, effossum ferunt bovis marmorei caput, quod ii qui repererant, confractum attritumque calcariam in fornacem coniecerint. ex eo tempore in hunc usque diem pestis armenta boum per universos imperii Romani fines infestare nunquam desiit.

Nicephorus autem Phocas, uti diximus, sic Creta iussus est decedere, ut inde ad imperatoriam urbem redeundi potestas ei non fieret, sed mandatum est ut cum omnibus copiis in orientem traiiceret propter Apochaudam, qui semet ab accepta clade magis ac magis recolligebat. itaque Phocas iterum Syriam versus ductis copiis, ingenti strage adfectum Apochaudam superavit, magnamque praedam

ἥττησε, καὶ λείαν πολλὴν ἐκεῖθεν ἀφείλετο, καὶ τῶν αἰχμαλώτων ἠλευθέρωσε Χριστιανῶν ὅτι πολλούς.

Ἐπὶ τούτοις ὁ βασιλεὺς τελευτᾷ Ῥωμανός, ἐτῶν κδ', V. 236 καὶ διαδέχονται τὴν αὐτοῦ βασιλείαν Βασίλειος καὶ Κωνσταντῖνος οἱ παῖδες αὐτοῦ σὺν Θεοφανῷ τῇ μητρὶ αὐτῶν, καὶ κρατοῦσιν ὡσεὶ μῆνας ε'. ὁ δὲ Φωκᾶς εἰσέρχεται ἐν Κωνσταντινουπόλει κελεύσει τῆς βασιλίσσης, εἰ καὶ τὰ τοιαῦτα κωλύων ἦν ὁ τὰ πρῶτα τηνικαῦτα παρὰ τοῖς κρατοῦσι φέρων Ἰωσήφ. δεδιὼς οὖν ἐπὶ τούτοις ὁ Φωκᾶς εἰσέρχεται λάθρα πρὸς τὸν Ἰωσήφ, καὶ δεικνύει αὐτῷ ὅπερ ἐντὸς ἐνεδέδυτο τρίχινον, πληροφορῶν αὐτόν, καὶ λέγων ὡς πάλαι ἂν B ἐξέστη τῶν βιωτικῶν συρφετῶν δι' ἔρωτα μοναχικόν, εἰ μήγε τὸ τῶν κρατούντων φίλτρον συνεκράτει αὐτόν. τοῦτον οὖν ὁ Βρύγγας ἰδὼν Ἰωσὴφ πίπτει παρὰ τοὺς πόδας αὐτοῦ λέγων ὡς οὐκ ἄν ποτε πιστεύσειέ τινι κατ' αὐτοῦ λέγοντι. ἔξεισιν οὖν ἐκεῖθεν ὁ Φωκᾶς. καὶ τηνικαῦτα τὸν Ἰωσὴφ μεταμέλος ἔσχηκεν, ὅτι τὸ θήραμα ἐντὸς ἔχων ἀρκύων ἀπώλεσε. γράφει λοιπὸν πρὸς τὸν Τζιμισχῆν Ἰωάννην, στρατηγὸν τηνικαῦτα τῶν ἀνατολῶν ὑπάρχοντα, ἄνδρα θυμώδη καὶ δραστήριον καὶ μετὰ τὸν Φωκᾶν ἐν στρατηγοῖς ἐπισημότατον. ὁμοίως δὲ καὶ πρὸς ἑτέρους ἔγραψεν, ὡς εἴγε διαναστάντες C τὸν Φωκᾶν καθαιρήσουσι καὶ μοναχὸν ἀποκείρουσι, τὸν μὲν Ἰωάννην δομέστικον τῆς ἀνατολῆς, ὁ δὲ αὖθίς τινα προβα-

11. ὡς om P.

secum inde abstulit, plurimis etiam Christianis, qui captivi detinebantur, liberatis.

Secundum haec Romanus imperator naturae debitum persolvit, annos 24 natus. successerunt in imperio Basilius et Constantinus Romani FF, et cum matre Theophanone 5 propemodum mensibus eo potiti sunt. Phocas autem imperatricis iussu Cpolim hoc tempore ingressus est, quanquam Iosephus, qui principem apud imperatores locum obtinebat, ne id fieret enixe vetabat. in urbem ubi venisset, ad Iosephum se clanculum confert, eique vestem ex pilis contextam, qua interius indutus erat, ostendit; simulque fidem ei certam facit iamdudum se faeces et quisquilias huius vitae relicturum fuisse propter amorem solitariae vitae, ni studium erga imperatores sibi ab hoc instituto revocato aliud suasisset. Bringas (hoc Iosepho cognomen erat) ubi Nicephorum hoc modo indutum vidisset, ad pedes ipsius provolutus nunquam se cuiquam ipsum accusanti fidem habiturum dixit. hac ratione salvus inde Phocas digressus est, moxque Iosephum facti sui poenitere coepit, quod praedam in ipsa delatam retia tam negligenter amisisset. quapropter ad Iohannem Zimischem Orientis ducem id temporis, hominem animosum ac rebus gerendis

λεῖται τῆς δύσεως. ἀλλὰ πάντες οὗτοι σχετικῶς ἔχοντες πρὸς τὸν Νικηφόρον ὑποδεικνύουσιν αὐτῷ τὰ γράμματα καὶ διεγερθῆναι πρὸς ἀλκὴν ἀναπείθουσιν. ἔκτοτε λοιπὸν ὑπὸ τῶν τῆς ἀνατολῆς στρατευμάτων ἁπάντων παρακεκινημένων ὑπὸ τοῦ Τζιμισχῆ βασιλεὺς ἀναγορεύεται ὁ Φωκᾶς, ἔρωτα δὴ καὶ πάλαι τῆς βασιλείας ἔχων μάλιστα τῆς βασιλίσσης Θεοφανοῦς. ἔρχεται οὖν οὕτως ἔχων πρὸς Χρυσόπολιν, κἀκεῖθεν διαπεραιοῦται πρὸς τὸ Ἕβδομον, καὶ μετὰ παντὸς τοῦ λαοῦ διὰ τῆς χρυσῆς πόρτης πρὸς τὴν ἐκκλησίαν εἰσέρχεται, D καὶ παρὰ τοῦ Πολυεύκτου τῷ διαδήματι στέφεται, καὶ κρατεῖ ἔτη ς'. τὴν μέντοι Θεοφανὼ πρῶτα μὲν τῶν βασιλικῶν κατάγει ὁ Φωκᾶς καὶ ἐξόριστον τίθησιν, ὥσπερ δὴ καὶ τὸν Ἰωσήφ, τὸν δὲ πατέρα αὐτοῦ προχειρίζεται Καίσαρα. μετὰ δὲ ταῦτα τὸ προσωπεῖον καὶ τὴν σκηνὴν ἀποθέμενος ἄγεται νόμιμον γυναῖκα τὴν Θεοφανώ. τότε δὴ καὶ κρεῶν ἀπεγεύσατο, πρότερον ἀπεχόμενος κρεωδαισίας, ἐξ ὅτου Βάρδος ὁ ἐκ τῆς προτέρας αὐτοῦ γαμετῆς ἀποτεχθεὶς υἱός, ἱππαζόμενος ἐν τῷ πεδίῳ καὶ τῷ οἰκείῳ προσπαίζων ἀνεψιῷ τῷ Πλεύσῃ, μετὰ δόρατος βληθεὶς ἀκουσίως τέθνηκε. τοῦ γάμου δὲ τε- P. 306 λεσθέντος ἐν τῇ κατὰ τὸ παλάτιον νέᾳ ἐκκλησίᾳ, ἐπείπερ ἔμελλεν εἴσοδος ἐν τῷ θυσιαστηρίῳ γενέσθαι, τῆς χειρὸς κα-

6. ἔχων καὶ μ.?

idoneum postque Phocam inter duces ceteros illustrissimum, et ad alios itidem perscriptis litteris futurum indicat ut si discessione a Nicephoro facta eum loco suo deiicerent vitaeque solitariae rasum addicerent, Zimisches munus domestici Orientis acciperet, quemque vellet ipse, domesticum Occidentis constitueret. verum hi omnes erga Nicephorum benevole adfecti litteras ei Iosephi commonstrant, utque se ad defensionem animo forti compareret hortantur. hoc modo per Orientis exercitus Phocas imperator renuntiatur, iampridem amore tam imperii quam Theophanonis imperatricis potiundae flagrans. deinde cum copiis Chrysopolim se confert, Chrysopoli versus Hebdomum traiicit, et universo cum populo per auream portam ad ecclesiam pergit, ibique a Polyeucto diademate cingitur. imperio sex annis praefuit. initio Theophanonem eiectam e regia solum vertere iussit, eadem poena Iosepho multato; simulque patrem suum Caesarem creavit. deinde larva scenaque deposita Theophanonem legitimo sibi matrimonio copulat, et carnibus rursum vescitur, a quibus abstinuerat, ex quo Bardas ipsius ex coniuge priore filius, quodam in campo equestribus intentus exercitiis et cum suo consobrino Pleusa ludens, hasta ictus a nolente perierat. peractis nuptiis in novo ad palatium templo, cum in sanctuarium esset intrandum, manu Pho-

τέχνων αὐτὸν ὁ Πολύευκτος καὶ ταῖς ἱεραῖς ἐγκύρσας κιγκλίσιν εἴσεισι μὲν ἐκεῖνος εἰς τὰ ἄδυτα, τὸν δὲ Φωκᾶν ὄπισθεν ἐξωθεῖ εἰπὼν ὅτι οὐκ ἔξεστί σοι εἰσελθεῖν, εἰ μὴ ἐπιτίμια δέξῃ δευτερογαμοῦντος. διεδίδοτο δὲ καὶ λόγος ἁπανταχοῦ, ὃς οὐ μικρῶς διετάραξε τὴν ἐκκλησίαν, ὅτι περ ὁ Νικηφόρος ἀπὸ τοῦ ἁγίου βαπτίσματος ἀνάδοχος ἐγένετο τῶν τῆς Θεοφανοῦς ἑνὸς παιδίου. ταῦτ' ἄρα καὶ ὁ πατριάρχης ἐπὶ πλέον ἀνέτεινεν. ἔτι δὲ ἀναβαλλόμενον τὸν Πολύευκτον κοινωνῆσαι τῷ βασιλεῖ ὁ Καῖσαρ ἐπληροφόρησεν. ἀλλὰ καὶ Στυλιανὸς B
ὁ πρωτοπαπᾶς τοῦ μεγάλου παλατίου, ἀφ' οὗ καὶ μᾶλλον ἡ τοιαύτη φήμη κατέσχεν ἅπαντας, δι' ὅρκων ἐβεβαιοῦτο μηδέν τι τοιοῦτον ἐπισυμβῆναι τῷ Φωκᾷ. ὁ μέντοι Πολύευκτος, καίπερ φανερῶς ἐπιορκοῦντα εἰδὼς τὸν Στυλιανόν, τὸ τῆς συντεκνίας ἔγκλημα συγκεχώρηκε, καὶ ὁ πάλαι ἐνιστάμενος δευτερογαμίας ἐπιτίμια θεῖναι καὶ τὸ μέγα τοῦτο παρῆκεν ἁμάρτημα.

Ὁ μέντοι Φωκᾶς καὶ βασιλεύων κατὰ Συρίας ὁρμᾷ, καὶ V.237
πόλεις πολλὰς καταστρέψας ἐκεῖθεν ὑπέστρεψε, φέρων μεθ' ἑαυτοῦ καὶ τὸν ἔχοντα ἀχειρότευκτον ἐκτύπωμα τῆς μορφῆς τοῦ Χριστοῦ καὶ θεοῦ ἡμῶν ἅγιον κέραμον, ὃν εὗρεν ἐν C
Ἱεραπόλει, ταύτην πεπορθηκώς, καὶ τῶν τριχῶν τοῦ βαπτιστοῦ Ἰωάννου βόστρυχον ἐμπεπιλημένον αἵματι. τοιοῦτος δὲ

cam tenens Polyeuctus, ut ad sacros cancellos accesserat, ipse in adytum introiit, repulsoque imperatore dixit non intromissum iri prius quam poenas progredientum ad secundas nuptias luisset. praeterea diditus erat passim rumor, qui non exiguas in ecclesia turbas dedit, unum videlicet ex Theophanonis liberis fuisse a Nicephoro de sacro baptismo susceptum. atque haec ipsa non dubitabat amplificare patriarcha. verum Caesar Polyeuctum tergiversantem et res sacras cum imperatore communes habere recusantem de re tota certiorem reddidit. Stylianus quoque magni palatii papa princeps, a quo emanasse rumor iste ferebatur ad omnes, iureiurando praestito confirmabat nihil eiusmodi Phocam fecisse. Polyectus ergo, quanquam peierare Stylianum certo ac manifesto sciret, compaternitatis imperatori culpam condonavit; et qui ante urgebat ut ob secundas nuptias ei poena infligeretur, etiam magnum hoc delictum impunitum reliquit.

Posteaquam ad imperium Phocas pervenisset, expeditionem in Syriam instituit; cumque multas urbes evertisset, rediit inde, secum et laterem illum sacrum adferens, quo continebatur expressa formae Christi dei nostri pictura, nullius hominis manu elaborata (eum Hierapoli repererat, in eius urbis direptione), et cincinnum Johannis Baptistae sanguine condensatum. quanquam vero talis vir esset Nice-

ὁ Νικηφόρος ὢν καὶ ἐπὶ τοσοῦτον τὰ Ῥωμαίων αὐξήσας πράγματα (κατέσχε γὰρ πόλεις πλέον τῶν ρʹ καὶ φρούρια Κιλικίας Συρίας καὶ Φοινίκης, ὧν μέγιστα καὶ ἐπίσημα ἡ Ἀνάβαρζα, ἡ Ἄδανα, καὶ τὰ λοιπὰ ἡ Μάμιστα ἡ καὶ Μόψου ἑστία λεγομένη, ἡ Ταρσός, τὸ Παγρά, τὸ Συνέφιον, τὸ Χάλεπ, ἡ Λαοδίκεια, ἔθετό τε ὑποφόρους τὴν ἐν Φοινίκῃ τε Τρίπολιν καὶ τὴν Δαμασκόν) ἀλλ' ὅμως μισητὸς παντὶ ἀνθρώπῳ γέγονε, καὶ πάντες τὴν αὐτοῦ καταστροφὴν ἐδίψων ἰδεῖν· εἰ γὰρ καὶ πλεῖστα ἐπέλαμπον αὐτῷ τὰ κάλ-
D λιστα, ἀλλὰ καὶ δύο κακὰ κατεσπίλουν αὐτόν, ἥ τε τῆς Θεοφανοῦς ἀθέμιτος μῖξις καὶ τὸ πρὸς πάντας αὐτοῦ μικρολόγον καὶ ἀφιλότιμον. λιμὸς καὶ γὰρ τὴν πόλιν κατέσχε ποτέ, ὡς ἕνα μέδιμνον χρυσέῳ πωλεῖσθαι νομίσματι. μανθάνει τοῦτο Φωκᾶς, καὶ μικροπρεπῶς τὸ πάθος ἰᾶται· τὰς δημοσίας καὶ γὰρ σιτοθήκας ἀνοίξας δύο μεδίμνους τῷ νομίσματι πωλεῖσθαι ἐκέλευσεν, οὐ τὸν Μακεδόνα Βασίλειον ἐν τούτῳ μιμησάμενος· οὗτος γὰρ τοὺς Βυζαντίους πενθοῦντας ἰδών, καὶ μαθὼν ὡς ὁ λιμὸς αἴτιος τοῦ πενθεῖν αὐτούς, δώδεκα μεδίμνους κελεύει πωλεῖσθαι τῷ νομίσματι. ἀλλὰ καὶ τοῦ
P. 307 βασιλέως Φωκᾶ κατ' ἐκεῖνο δὴ καιροῦ ἐξελθόντος ὥστε γυμνάσαι τὸν στρατόν, ἐπεί τις ἦλθε πολιὸς τὴν τρίχα καὶ ἐπειρᾶτο συναριθμηθῆναι τοῖς στρατιώταις, φησὶ πρὸς αὐτὸν

phorus ac tantopere rem Romanam auxisset, occupatis amplius centum urbibus et variis Ciliciae Syriae Phoenicesque castellis, quorum erant maxima et ceteris illustriora Anabarza, Adana, Mamista, et quae Mopsi Vesta nuncupatur, Tarsus, Pagra, Synephium, Chalepus, Laodicea; licet item tributarias fecisset in Phoenice Tripolim, in Syria Damascum, nihilominus universis mortalibus invisus erat, qui quidem exitium ipsius videndi longe cupidissimi erant. tametsi enim plurima in eo multo praeclarissima elucebant, duo tamen erant vitia potissimum, quae ipsius famae labem aspergerent, nimirum consuetudo nefanda legibus vetita cum Theophanone, ac sordes erga quosvis foedaque tenacitas. accidit aliquando, tanta ut in urbe foret annonae caritas, ut aureo numo medimnus unus veniret. eo cognito Phocas miseriam publicam illiberali ac sordido remedio sublevat: apertis enim publicis horreis medimnos duos uno vendi aureo numo iussit; qua quidem in re Macedonem illum Basilium non est imitatus. nam cum is cives Byzantios lugere cerneret, simulque didicisset eius tristitiae causam esse penuriam annonae, uno vendi aureo duodecim medimnos praecepit. quinetiam evenit ut cum eo ipso penuriae tempore Phocas imperator aliquando militum exercendorum causa in campum progressus esset, cano cuidam, qui inter milites adscribi se

„σὺ δέ, ὦ ἄνθρωπε, γέρων ὢν πῶς τοῖς ἐμοῖς στρατιώταις ἐπείγῃ συναριθμηθῆναι;" ὁ δ' εὐστόχως ὑπολαβὼν „πολλῷ δυνατώτερός εἰμι νῦν" ἔφη „ἢ ὅτε ἤκμαζον." ὁ αὐτὸς δὲ „καὶ πῶς τοῦτο" ἐρόμενος, ἔφη ὅτι τὸν τοῦ νομίσματος σῖτον πρότερον δυσὶν ἡμιόνοις ἐπεφόρτιζον, ἐπὶ δὲ τῆς σῆς βασιλείας δύο νομισμάτων σῖτον ἐπὶ τῶν ὤμων φέρω. συνεὶς οὖν τὴν εἰρωνείαν ἀνεχώρησε, μηδὲν ταραχθείς.

Ἀλλὰ καὶ τὰς ἀριθμηθείσας ἄνωθεν πόλεις καθελών, τὴν B Ἀντιόχειαν μόνην ἀφῆκε παρελθών, καὶ ταῦτα δυνάμενος αὐτὴν καθελεῖν. ἐξεπίτηδες δὲ πάντως ἀφῆκε, δεδιὼς τὸν φημιζόμενον λόγον· ἐλέγετο γὰρ ὡς ἅμα τῇ ἁλώσει τῆς πόλεως Ἀντιοχείας καὶ ὁ βασιλεὺς τεθνήξεται. ὅθεν καὶ περὶ τὰ μέρη ἐκεῖνα τὸν Μιχαὴλ Βούρτζην ἀφεὶς φύλακα καὶ Πέτρον τινὰ εὐνοῦχον στρατοπεδάρχην, καὶ ἐνσκήψας αὐτοῖς μηδαμοῦ τῇ Ἀντιοχείᾳ προσβαλεῖν, πρός γε τὴν βασιλεύουσαν ἔρχεται. ἀλλ' ὁ Βούρτζης θέλων αὑτῷ περιποιήσασθαι ὄνομα τῶν μὲν ἐκείνου λόγων καταφρονεῖ, παντοίως δὲ τὴν πόλιν πολιορκήσας κατέσχεν αὐτήν. ταῦτα πυθόμενος ὁ Φω- C κᾶς, καὶ οὐκ ὀλίγα δυσχεράνας, ὕβρεσί τε πλύνει τὸν Βούρτζην καὶ τῆς ἀρχῆς παραλύει. ἐντεῦθεν οὖν τὸ κατ' αὐτοῦ μῖσος λαμβάνει ἀρχήν. πρὸς τούτοις δὲ καὶ τοὺς ὑπὸ χεῖρα τοῖς συχνοῖς ἐκάκου ταξειδίοις, κατὰ μηδὲν αὐτοὺς παραμυ-

petebat, diceret ecquid homo canus et senio confectus in militiam cuperet allegi. ad ea senex ille aptissime respondit multo se nunc validiorem esse quam adolescens aetate vegeta fuisset. tum imperatore quaerente quonam id pacto verum esset „quoniam olim" ait „frumento unius aurei pretio coempto duos asinos onerabam: te autem imperante, quantum frumenti duobus aureis emitur, humeris ipse meis gestare possum." id dicterium satis intelligens imperator nihil omnino motus abiit.

Cum eas urbes quas supra recensuimus in potestatem redigeret, Antiochiam solam cum copiis praetergressus intactam reliquit, cum quidem ea potiri ex animi sententia posset. verum hoc omnino data fecit opera, rumorem publice diditum veritus: ferebatur enim futurum ut illa urbe capta, mox imperatore vivis excederet. quapropter in iis locis atque regionibus Michaelo Burza et Petro quodam eunucho copiarum duce relictis cum mandato peculiari, ne ullo pacto Antiochiam invaderent, ad urbem imperatoriam reversus fuerat. Burza vero nomen aliquod sibi parare cupiens imperatoris verba flocci fecit, et urbe omni arte oppugnata tandem est potitus. earum fama rerum ad Phocam perlata non parum ille indignari, Burzamque notatum contumeliis ab officio removere. hinc concitata sunt hominum in Pho-

θούμενος. ἀλλὰ καὶ τὰ παρὰ βασιλέων τινῶν εἰς εὐαγεῖς
ναοὺς τυπωθέντα δίδοσθαι τέλεον ἔκοψε, προφάσει τοῦ τὸ
V.238 δημόσιον σπανίζειν. χωρὶς αὐτοῦ ἐπίσκοπος οὐκ ἐψηφίζετο.
ἀλλὰ καὶ θανόντων ἐπισκόπων βασιλικὸς ἄνθρωπος ἐκεῖσε
ἐστέλλετο. ἐσπούδαζε δὲ καὶ νόμον θεῖναι τοὺς ἐν πολέμοις
θνήσκοντας τιμᾶσθαι ὡς μάρτυρας, τὴν ψυχικὴν σωτηρίαν
D ἐν μόνῳ πολέμῳ θέμενος καὶ οὐκ ἐν ἄλλῳ τινί. πρὸς ὅπερ
ἡ σύνοδος ἀντέστη, τὸν τοῦ μεγάλου Βασιλείου κανόνα σύμ-
μαχον ἔχουσα τὸν ἐκτεθέντα διά γε τοὺς ἐν πολέμῳ θνή-
σκοντας. πολλὰ δὲ καὶ τὴν πόλιν ἐκάκωσε, τὸ τεῖχος κτίζων
τῶν παλατίων. τοῦτο δὲ ἐποίει δεδιὼς τὰ τηνικαῦτα λεγό-
μενα· τοῦ παλατίου καὶ γὰρ ἐντὸς θανεῖν αὐτὸν προαντεθέ-
σπιστο. κατ' ἐκεῖνο δὲ καιροῦ καὶ ἡλίου ἔκλειψις γέγονε περὶ
τρίτην ὥραν τῆς ἡμέρας, ὥστε καὶ ἄστρα φανῆναι. ἡ μέν-
τοι Θεοφανὼ τὴν τοῦ Νικηφόρου συνουσίαν ἀπεστρέφετο.
τίνος ἕνεκεν; ὅτι βίον ἐκεῖνος εἶχε σώφρονα, σαρκικῶν ἀπεί-
P.308 χετο μίξεων, χαμευνίαις ἔχαιρεν. ὅθεν οὐκ ἀρεσκομένη τού-
τοις ἡ Θεοφανὼ τὸν Τζιμισχῆν μεταπέμπεται, κατά γε τὴν
ἑαυτοῦ καθήμενον οἶκον· ἔφθασε γὰρ ὁ Φωκᾶς διά τινα
ὑποψίαν παραλύσας αὐτὸν τῆς τοῦ δομεστίκου ἀρχῆς. νυ-

2. τὸ] τὸν P.

cam odia, quibus accedebat et aliud, quod nimirum crebris exactionibus subditos vexabat nec ulla eos re sublevabat. praeterea quae nonnulli imperatores per instrumenta litterasque sacras religiosis templis donari iusserant, sub hoc praetextu prorsus iis praecidit, quod aerarium publicum exhauriretur. nullus antistes citra ipsius auctoritatem approbabatur. quodsi etiam antistites alicubi morerentur, ex suis aliquem eo mittebat. legem magno studio ferre conabatur, qua statueretur omnes in praeliis occumbentes martyrum honoribus ornandos esse: ponebat enim animae salutem in alia re nulla quam in bello. verum hac in parte synodus ipsius voluntati est adversata, Basilii magni canone pro se citato, qui de occumbentibus in praeliis est latus. idem Phocas urbem quoque mirifice adfligebat, dum palatiorum moenia substruebat. id autem propterea faciebat, quod ea quae vulgo ferebantur metueret: nam oraculo proditum erat futurum ut in palatio moreretur. accidit tunc temporis circa tertiam horam diei tantus solis defectus, ut ipsa etiam sidera conspicerentur. iam vero Nicephori consuetudinem Theophano aversabatur. quamobrem istuc? quod castam ille vitam ageret, a corporeis amplexibus abstineret, humi cubaret eaque dormitione delectaretur. quapropter his marito moribus illi displicente, Zimischem arcessit, qui domi suae tum temporis degebat: nam aliquanto ante Phocas propter suspicionem quandam ei munus domestici scholarum ademerat. noctu igitur 12

κτὸς οὖν ιαʹ τοῦ Δεκεμβρίου μηνός, λόγου ιγʹ, ἔτει ͵ϛυοηʹ ἀποστείλασα ἄγει τοῦτον πρὸς τὸν χειροποίητον κάτωθεν τοῦ παλατίου λιμένα, κἀκεῖθεν ἀνάγει τοῦτον διὰ κοφίνου σὺν πᾶσι τοῖς ὑπ' αὐτόν, Μιχαὴλ τῷ Βούρτζῃ, Λέοντι ταξιάρχῃ τῷ Ἀβαλάντῃ, τῷ τοῦ Τζιμισχῆ Ἀτζιποθεοδώρῳ καὶ ἑτέροις τισί. καταλαμβάνουσιν οὖν αὐτὸν ἐπ' ἐδάφους κοιμώμενον. ἔνυξεν ὁ Τζιμισχῆς τὸν πόδα αὐτοῦ, καὶ δὴ μικρὸν ἀνεκάθισε. B καὶ τηνικαῦτα κατὰ τοῦ κρανίου αὐτοῦ κατάγει ὁ Ἀβαλάντης τὴν σπάθην. εἶτα πρὸς τὸν Τζιμισχῆν ἐπὶ τῆς βασιλικῆς κλίνης καθίσαντα φέρουσιν αὐτὸν ἐμπαροινοῦντες καὶ βλασφημοῦντες εἰς αὐτόν, μηδὲν ἄλλο λέγοντα ἢ „κύριε ἐλέησον" καὶ „θεοτόκε βοήθησον." ἐπεὶ δὲ ὑπὸ τῶν παρακοίτων ἤδη κατεφωράθησαν καὶ πολλοὺς ἑώρων βοηθήσαντας, τὴν κεφαλὴν αὐτοῦ ἀποτέμνουσι καὶ διὰ θυρίδος αὐτὴν ὑποδεικνύουσιν. ὅθεν καὶ ἔνθεν κἀκεῖθεν διεσκεδάσθησαν.

Κρατεῖ οὖν μετὰ τὸν Φωκᾶν ὁ Τζιμισχῆς ἔτη ἕξ, συμβασιλεύοντας ἔχων αὐτῷ τοὺς υἱοὺς Ῥωμανοῦ Βασίλειον καὶ Κωνσταντῖνον. μεταπέμπεται δὲ Βασίλειον παρακοιμώμενον C ἅτε δραστήριον ὄντα παντάπασιν καὶ ἱκανόν, ὃν δὴ καὶ ὁ Φωκᾶς πρόεδρον ἐτίμησε. τότε δὴ τότε τοῦ ἀξιώματος παρ' αὐτοῦ εὑρεθέντος, ἔρχεται τηνικαῦτα πρὸς τὴν μεγάλην ἐκκλησίαν. ἀλλ' οὐ προσδέχεται αὐτὸν ὁ Πολύευκτος, λέγων

Decembris, indictione 13, anno mundi 6478, missis Theophano suis hominibus Zimischem ad portum manu confectum, qui est infra palatium, deduci curat, et impositum corbi cum universis, quos sibi obnoxios habebat, nimirum Michaelo Burza, Leone Abalante Duce, familiari Zimischis Azipotheodoro et aliis quibusdam in palatium attrahit. hi Phocam humi cubantem inveniunt. eius pedem ubi Zimisches pupugisset, paullum erectus consedit; mox Abalantes gladio cranium eius transadigit. inde ipsum ad Zimischem in lectulo imperatorio collocatum adducunt, multisque contumeliis et conviciis exagitant, nullum aliud verbum proferentem quam „domine miserere" vel „opitulare deipara." tandem ubi res cubiculariis innotuisset, iamque multos accurrere cernerent latum opem imperatori, caput ei praecidunt, idque resectum defensoribus per fenestram ostendunt. quo facto hinc inde illi dissipati aufugerunt.

Hoc modo post Phocam Zimisches imperio sex annos potitus est, participes regni Basilium et Constantinum Romani FF. habens. arcessivit et Basilium cubicularium tanquam hominem plane gerendis rebus natum et idoneum, quem et Phocas honore praesidis ornaverat, hoc nomine dignitatis ab eo primum invento. posteaquam imperium accepisset, ad magnam ecclesiam se contulit: sed a Polyeucto non est

„εἰ μὴ ἄξια ποιήσεις μετανοίας, οὐκ ἐπιβήσῃ τοῦ θείου ναοῦ." ἔνθεν τοι καὶ πάντα ὑπέσχετο ποιῆσαι. εἶπε δὲ μὴ αὐτόχειρα γενέσθαι αὐτὸν τοῦ Φωκᾶ, Ἀβαλάντην δὲ καὶ Ἀτζιποθεόδωρον κελεύσει τῆς δεσποίνης. ἣν δὴ καὶ ἐξορισθῆναι συναινεῖ ὁ πατριάρχης. γίνεται ταῦτα, καὶ οὐ μόνον ἡ μοιχαλὶς ἀλλὰ καὶ οἱ αὐτόχειρες τοῦ Φωκᾶ τῆς πόλεως
D ἐκδιώκονται. ῥήγνυσι δὲ καὶ τὸν τόμον ὁ Τζιμισχῆς, ὃν ἐπὶ συγχύσει τῆς ἐκκλησίας ὁ Φωκᾶς ἔθετο. ταύτῃ τοι καὶ τῷ διαδήματι παρὰ τοῦ Πολυεύκτου στέφεται. μετὰ δὲ ταῦτα τοὺς Βουλγάρους καταγωνισάμενος χαριστήρια τῶν τροπαίων ἀποδίδωσι τῷ θεῷ. ἐφ' ᾧ καὶ ἄνωθεν τῆς ἀψῖδος τῆς χαλκῆς ναὸν ἀνοικοδομεῖ ἐκ καινῆς. προστάσσει δὲ καὶ τὴν εἰκόνα τοῦ σωτῆρος τῷ νομίσματι ἐγγράφεσθαι, μὴ πρότερον τού-
V. 239 του γενομένου. τηνικαῦτα καὶ κομήτης ἐφάνη ὁ καλούμενος πωγωνίας, κατὰ μῆνα Αὔγουστον, καὶ ἐφαίνετο ἄχρις Ὀκτω-
P. 309 βρίου, σημαίνων τὸν τοῦ βασιλέως θάνατον καὶ τὰς ἐπελευσομένας τοῖς Ῥωμαίοις συμφοράς. τινὲς μὲν οὖν τῶν πόλεων, ἃς ὁ Φωκᾶς προλαβὼν ἐπεκτήσατο, τὴν Ῥωμαίων ἐξουσίαν ἀπεσείσαντο. ἔξεισι λοιπὸν ὁ βασιλεὺς κατ' αὐτῶν, καὶ ἄπεισι μέχρι Δαμασκοῦ, καὶ πάντα καλῶς πειθοῖ τε καὶ πολέμῳ ἀποκαταστήσας πρὸς τὴν βασιλίδα ὑπέστρεψε. διερ-

admissus, qui diceret se minime concessurum ut divinam aedem ingrederetur, ni ea prius faceret quae poenitentiae convenirent. Zimisches illa se praestiturum omnia pollicetur. simul indicat Phocam ab se minime trucidatum esse, sed Augustae iussu Abalantem et Azipotheodorum ei manus attulisse. quo cognito, patriarcha monet ut ipsam in exsilium abire iubeat. paret monenti Zimisches, neque tantum adultera verumetiam interfectores Phocae mox urbe pelluntur. praeter haec Zimisches etiam libellum illum dilacerat, quem Phocas ad perturbandam ecclesiam conscribi curaverat. has ob res a Polyeucto diademate cingitur. deinde Bulgaris debellatis, ut pro victoriae tropaeis deo gratias referret: templum supra fornicem Chalces novum exstruit. mandat etiam ut imago servatoris numismatis insculperetur, quod antea factum non fuerat. conspectus est id temporis etiam cometa mense Augusto, quem barbatum appellant, ad ipsum Octobrem usque mortem imperatoris denuntians easque calamitates quae Romanis imminerent. cum autem urbium nonnullae, quas Phocas antea recuperaverat, Romanorum se potestati excusso iugo subtraxissent, imperator ad eas domandas cum copiis exiit, ad Damascum usque profectus, omnibus partim suadendo partim vi bellica pristinum ad statum praeclare revocatis imperatoriam ad urbem reversus est. in hoc itinere propter Anabarzum et Podandum transiens, cum istic posses-

χόμενος οὖν κατά γε τὴν Ἀνάβαρζαν καὶ τὸν Πονδαδόν, κἀκεῖσε κτήσεις ἰδὼν πολυτελεῖς καὶ χωρία πάμφορα, ἠρώτα τοὺς παρευρημένους τίνος ἂν εἶεν αὗται. ὡς οὖν ἐμάνθανεν ὅτι Βασιλείου τοῦ παρακοιμωμένου εἰσὶ πᾶσαι, ἀφ' ὧν αἱ μὲν τῇ Ῥωμαίων προσεκτήθησαν παρὰ Νικηφόρου τοῦ Φωκᾶ, B αἱ δὲ τοῦ δομεστίκου καὶ αὗται παρὰ σοῦ, ὦ βασιλεῦ, ἐντεῦθεν περιαλγὴς γενόμενος (τὰ γὰρ καταλειφθέντα τῷ δημοσίῳ οὐδενὸς ἄξια λόγου ἐτύγχανε) καὶ βύθιον στενάξας „δεινὸν ὦ παρόντες" ἔφη, „εἰ τὰ δημόσια καταναλίσκονται χρήματα καὶ τὰ Ῥωμαϊκὰ ταλαιπωροῦνται στρατεύματα καὶ οἱ βασιλεῖς ὑπερορίους ἀναδέχονται κόπους, τὰ δ' ἐκ τοσούτων προσκτώμενα μόχθων ἑνὸς εὐνούχου γίνονται κτῆμα." καὶ ὁ μὲν βασιλεὺς ταῦτα, τὶς δὲ τῶν παρόντων τῷ Βασιλείῳ τηνικαῦτα τὸν τοῦ βασιλέως λόγον διαπορθμεύσας ἠρέθισε πρὸς ὀργήν. ὑπέρχεται οὖν τὸν οἰνοχοοῦντα τῷ βασι- C λεῖ, δηλητήριον κίρνησι. πλὴν οὐ τῶν δραστικωτέρων ἦν· ἐφ' ᾧ καὶ κατ' ὀλίγον νοσηλευόμενος ὁ βασιλεύς, καὶ τοὺς ὤμους ἀνθρακιάσας, αἵματος αὐτοῦ πολλοῦ ῥυέντος διὰ τῶν ὀφθαλμῶν κατέλυσε τὴν ζωήν.

Κρατεῖ μετ' αὐτὸν Βασίλειος ὁ πορφυρογέννητος ἔτη ν', εἰ καὶ τὸ πᾶν τηνικαῦτα παρὰ Βασιλείου προέδρου ἐνεργούμενον ἦν διά γε τὸ ἁπαλὸν τῆς τοῦ βασιλέως νεότητος. ἔκτοτε

1. ποιδαδὸν F.

siones et praedia maximi pretii longeque fertilissima rerum omnium conspiceret, homines quos istic vicinos offendebat, cuiusnam illa forent, interrogat. deinde cognito Basilii cubicularii esse universa, partim a Nicephoro Phoca Romanis finibus adiecta, partim ab hoc vel illo domestico, partim ipsiusmet imperatoris opera, gravi dolore correptus est, quod rei publicae relicta nullius esse pretii videret. itaque gemitu ex imo pectore ducto „proh indignam" ait „, rem, comites, publicas insumi pecunias, Romanos exercitus aerumnas exantlare, imperatores extra fines imperii labores tolerare; quidquid autem tot laboribus atque molestiis adquiratur, in unius eunuchi commodum cedere." hunc imperatoris sermonem quidam ad Basilium detulit, eumque contra Zimischem ad iram concitavit. quapropter hominem Basilius, qui erat imperatori a poculis, corrumpit; venenumque letale temperat et imperatori propinat, non tamen efficacissimum. iccirco lento morbo confectus, carbunculis per humeros exortis, magna sanguinis copia per oculos excreta vitam cum morte commutavit.

Imperium ipsius morte ad Basilium Purpurigenam devenit, qui ei totos annos quinquaginta praefuit, tametsi ab initio cuncta Basilii praesidis arbitratu propter aetatem imperatoris teneram gererentur.

οὖν τὰ τοῦ ἐμφυλίου πολέμου κατὰ τὸν προφανέντα κομήτην λαμβάνει ἀρχήν. κατὰ τοῦτον μέντοι τὸν καιρὸν καὶ ἔκλειψις ἡλίου γέγονεν, ὥστε καὶ ἄστρα φανῆναι. πρόσεχε δέ, D ἀγαπητέ, ὅτι τῶν Βουλγάρων ἅμα τῇ τελευτῇ τοῦ βασιλέως Ἰωάννου ἀποστατησάντων ἄρχειν αὐτῶν προχειρίζονται τέσσαρες ἀδελφοί, Δαβὶδ Μωσῆς Ἀαρὼν καὶ Σαμουήλ, καὶ οὐ διέλιπον ἔκτοτε πόλεμοί τε πανταχοῦ καὶ σφαγαί. ἐν ἔτει ,ϛυϟδʹ, Ὀκτωβρίῳ μηνί, ἐγένετο κλόνος μέγας, καὶ κατέπεσον οἰκίαι καὶ ναοὶ πολλοί, καὶ μέρος τῆς σφαίρας τῆς τοῦ θεοῦ μεγάλης ἐκκλησίας, ὅπερ ὁ βασιλεὺς φιλοτίμως ἐπανωρθώσατο, δαπανήσας εἰς μόνας τὰς μηχανὰς τῆς ἀνόδου, δι' ὧν οἱ τεχνῖται ἱστάμενοι καὶ τὰς ὕλας ἀναγομένας δεχόμενοι ᾠκοδόμουν τὸ πεπτωκός, κεντηνάρια ιʹ.

P. 310 Γίνωσκε δὲ καὶ τοῦτο, ὅτι τὰ Βοδενὰ φρούριόν ἐστιν ἐπὶ πέτρας ἀποτόμου κείμενον, δι' ἧς κατέρρει τὸ τῆς λίμνης τοῦ Ὀστροβοῦ ὕδωρ ὑπὸ γῆς κάτωθεν ῥέον ἀφανῶς, κἀκεῖσε πάλιν ἀναδυόμενον. ὁ μέντοι Βασίλειος συχνοὺς πολέμους κατὰ Βουλγάρων στησάμενος καὶ διαφόρως αὐτοῖς συμπλακείς, καὶ τρόπαια στήσας κρείττονα λόγου, καὶ τὸν Σαμουὴλ πολλάκις καταλύσας, ἐπὶ τὴν βασιλίδα ἔρχεται. καὶ δόγμα τηνικαῦτα ἐξέθετο τὰς τῶν ἀπολωλότων ταπεινῶν συντελείας τελεῖσθαι

mox et intestina bella, quae conspectus antea cometes portenderat, exorta sunt. itidem solis quoque tantus accidit defectus ut ipsa sidera conspicerentur. scito autem, fili, Bulgaris statim a Iohannis imperatoris morte defectionem molitis, quattuor fratribus delatum esse in ipsos imperium, videlicet Davidi, Mosi, Aaroni et Samuelo. nec ex eo tempore bellorum et caedium ubique locorum finis fuit. anno mundi 6494, mense Octobri, succussio terrae ingens extitit, cuius vi complura aedificia templaque deiecta corruerunt, et inter alia pars sphaerae magnae illius dei ecclesiae, quam imperator studiose refecit; cum in solas machinas adscensus, quibus artifices insistentes ac materiam sursum vectam excipientes collapsam partem exaedificabant, centenarios decem impendisset.

Illud etiam animadvertito, esse castellum quoddam Bodena dictum, in praerupto situm scopulo, per quem stagni Ostrobi aqua inadspectabiliter sub terra manabat et alio in loco rursus ex imo prodibat. imperator cum frequenter bella Bulgaris intulisset, varie cum eis manum conseruisset, tropaea statuisset insignia, quae vix oratione satis exponi possunt, Samuelo multoties fracto imperatoriam ad urbem est reversus. edictum inde promulgat, quo sancitum ut exigendas a plebeis hominibus, qui fortunarum detrimentum fecissent, publicas contributiones opulenti ac facultatibus pollentes

παρὰ τῶν δυνατῶν. κατωνομάσθη δὲ ἡ τοιαύτη σύνταξις
ἀλληλέγγυον. τοῦ πατριάρχου Σεργίου, τῶν μητροπολιτῶν
καὶ πολλῶν ἄλλων ἀσκητῶν δεηθέντων ἐκκοπῆναι τουτὶ πα- V. 240
ράλογον ἄχθος, ὁ βασιλεὺς οὐχ ὑπήκουσε. B

Κατ' ἐκεῖνον δὲ καιρὸν χειμὼν γέγονεν ἐπαχθέστατος,
ὡς ἀποκρυσταλλωθῆναι πάντα ποταμὸν καὶ λίμνην καὶ αὐτὴν
τὴν θάλασσαν. ἀλλὰ καὶ κατὰ Ἰανουάριον μῆνα γέγονε σει-
σμὸς φρικωδέστατος, καὶ διεκράτησε κλονουμένη ἡ γῆ μέχρι
τῆς θ' τοῦ Μαρτίου μηνός. ἐν ταύτῃ δὲ περὶ δεκάτην ὥραν
τῆς ἡμέρας γέγονε βρασμὸς καὶ κλόνος φρικτὸς κατά γε τὴν
βασιλίδα καὶ τὰ λοιπὰ θέματα, καὶ πεπτώκασιν αἱ σφαῖραι
τοῦ ναοῦ τῶν ἁγίων τεσσαράκοντα καὶ τῶν ἁγίων πάντων,
ἃς ὁ βασιλεὺς εὐθὺς ἀνεκτίσατο. ταῦτα δὲ προεμήνυσε τὴν C
γενομένην ἐν Ἰταλίᾳ στάσιν· ἠγέρθησαν γὰρ καὶ οὗτοι σὺν
Λογγιβάρδοις κατὰ Ῥωμαίων. καθ' ὧν ὁ Μέλης παρὰ τοῦ
βασιλέως ἐκπέμπεται, καὶ λαμπρὸν ἵστησι τρόπαιον. ὁ μέν-
τοι βασιλεὺς οὐ διέλιπε καθ' ἕκαστον ἔτος εἰσιὼν ἐν Βουλ-
γάροις. ὁ δὲ Σαμουὴλ μὴ δυνάμενος κατὰ τὸ ἐμφανὲς ἀντι-
τάσσεσθαι, ἔγνω δὲ τάφροις καὶ θριγγίοις τὴν Βουλγάρων
κατοχυρῶσαι, κἂν διὰ κενῆς αὐτῷ ἀπέβαινε τὰ τεχνάσματα.
συνάπτει οὖν μετὰ ταῦτα καὶ τῷ Σαμουήλ, καὶ τοῦτον κατα-

persolverent: haec exactio nominata est Allelengyum, a sponsione ac fideiussione mutua. cumque patriarcha Sergius, metropolitani antistites, et alii multi religiosis exercitationibus dediti apud imperatorem de onere tam absurdo tollendo et abolendo intercederent, non tamen eis obtemperare voluit.

Secuta est id temporis hiems saevissima, qua durante cuncta flumina stagna ipsumque adeo mare per glaciem constrictum fuit. praeterea mense Ianuario terrae motus maxime horrendus exstitit, neque desiit ea succussio ante nonum Martii diem; quo die circiter horam decimam tam horribiliter commotum est solum urbis imperatoriae vicinarumque regionum, ut globi aedis sanctorum quadraginta, itemque sanctorum omnium collaberentur; quos imperator mox refici curavit. haec autem portendebant eam seditionem quae in Italia fuit excitata. quippe coniuncti Longibardis Itali contra Romanos (quo nomine Graeci sunt accipiendi) se commoverunt. adversus eos Meles ab imperatore missus tropaeum sane splendidum victoria potitus statuit. interim non desinebat imperator singulis annis in Bulgariam irrumpere; cui cum Samuelus aperta vi se non posset opponere, fossis ac septis Bulgarorum fines munire decrevit, quanquam irrito conatu molitiones hasce occiperet. tandem imperator cum Samuelo praelio congreditur, eumque Marte aperto vincit, vix saluti suae in

κράτος ἡττᾷ, μόλις μόνον διασωθέντα εἴς τι φρούριον τὸν D Πρίλαπον. ὁ δὲ βασιλεὺς τοὺς ἑαλωκότας τῶν Βουλγάρων ὡσεὶ ιε΄, ὥς φασιν, ὄντας χιλιάδας ἀποτυφλώσας, καὶ ἑκάστην ἑκατοντάδα πεπηρωμένην ὑφ' ἑνὸς μονοφθάλμου ὁδηγεῖσθαι κελεύσας, πρὸς τὸν Σαμουὴλ ἐκπέμπει. οὓς ἐκεῖνος ἰδών, καὶ τὸ πάθος οὐκ ἐνεγκών, λειποθυμίᾳ καὶ σκότει βάλλεται καὶ εἰς γῆν πίπτει. ὕδατι οὖν καὶ μύροις οἱ παρόντες τὴν πνοὴν αὐτοῦ ἀνακαλεσάμενοι ἀνενεγκεῖν μικρὸν πεποιήκασιν. ἀνενεγκὼν δὲ ὕδωρ πιεῖν ἐπεζήτησε ψυχρόν. λαβὼν δὲ καὶ πιὼν ἐλήφθη καρδιωγμῷ, καὶ μετὰ δύο ἡμέρας θνήσκει. ἔνθεν τοι καὶ παραλαμβάνει τὴν τῶν Βουλγάρων ἀρχὴν ὁ υἱὸς αὐτοῦ Γαβριήλ, ὁ καὶ Ῥωμανός, ῥώμῃ μὲν P. 311 καὶ ἰσχύϊ τοῦ πατρὸς ὑπερέχων, φρονήσει δὲ καὶ διανοίᾳ πολλῷ λειπόμενος. οὕτω μὲν οὖν τὴν τῶν Βουλγάρων ἀρχὴν κατέλυσεν ἅπασαν, ὧν μὲν κτανθέντων ὧν δὲ ἄλλων χειρωθέντων, καὶ ἑτέρων αὖθις τῶν ὁπωσδήποτε καταληφθέντων καὶ μὴ βουλομένων αὐτῷ προσελθόντων. καὶ αὐτὴν δὲ τὴν Ἀχρίδα, καθ' ἣν τὰ βασίλεια τῶν Βουλγάρων ἐτύγχανε, κατέσχεν· ἀφ' ἧς καὶ χρήματα πολλά, λίθους δηλαδὴ καὶ μαργάρους καὶ χρυσοῦ κεντηνάρια ρ΄, ἀφείλετο. μετὰ ταῦτα δὲ πάντα ἐν Ἀθήναις γενόμενος, καὶ τὰ τῆς νίκης εὐχαρι- B στήρια τῇ θεοτόκῳ ἀποδούς, καὶ ἀναθήμασι πολλοῖς λαμ-

eo consulentem, ut fuga Prilapum (castelli hoc nomen) evaderet. capta erant ab imperatore Bulgarorum ad quindecim milia (tot enim fuisse perhibentur): quos ubi spoliasset oculis, et singulis centuriis monoculum unum attribui iussisset, qui viae dux ceteris foret, ita deinde ad Samuelem ablegavit. Samuelus iis conspectis tantae calamitatis magnitudine victus animo deficit, et vertigine correptus in terram prolabitur. mox ii qui aderant aqua et unguentis spiritum ei revocantes, ut nonnihil ad se rediret, effecerunt. ubi respirasset, haustum frigidae postulavit, qua epota cardiogmo correptus est, et post biduum rebus humanis excessit. eius loco regnum apud Chagaros filius ipsius Gabrielus, qui et Romanus dicebatur, obtinuit, viribus ille quidem ac robore patrem superans, sed vicissim prudentia mentisque vi multis modis impar. ita factum ut Basilius imperator Bulgarorum imperium in universum tolleret, aliis eorum caesis, aliis in potestatem redactis, aliis, qui quocunque tandem modo superstites remanserant, vel invite ipsi se dedentibus. quin et Acridem ipsam, quo in oppido regia Bulgarorum erat, occupavit; indeque magnas opes, gemmas nimirum et uniones aurique centenarios centum abstulit. secundum haec Athenas profectus, cum munera gratiarum actionis ergo deiparae vota reddidisset, ac illius templum multis iisque

προῖς καὶ πολυτελέσι κοσμήσας τὸν ναόν, ὑπέστρεψεν εἰς
Κωνσταντινούπολιν, καὶ διὰ τῶν μεγάλων πυλῶν χρυσῷ στε-
φάνῳ λόφον ἐφύπερθεν ἔχοντι ἐθριάμβευσεν ἐστεφανωμένος,
προηγουμένης Μαρίας τῆς τοῦ Βλαδισθλάβου γυναικὸς καὶ
τῶν τοῦ Σαμουὴλ θυγατέρων καὶ τῶν λοιπῶν Βουλγάρων,
καὶ οὕτω μετὰ τροπαίων ἐν τῇ ἐκκλησίᾳ εἰσῆλθεν. ὃν δὴ
καὶ πολλὰ τηνικαῦτα κατελιπάρει ὁ πατριάρχης Σέργιος σβέ-
σαι τὸ ἀλληλέγγυον· ἦν γὰρ ὑποσχόμενος ποιῆσαι τοῦτο, εἰ
τῶν Βουλγάρων ὑπερισχύσειεν. ἀλλ' οὐκ ἔπεισε. ταῦτα μὲν
οὖν πάντα τελέσας ὁ βασιλεὺς καὶ κατὰ τῆς Σικελίας ἐκστρα- C
τεῦσαι ἐβούλετο. ἀλλ' ἐκωλύθη· νόσῳ γὰρ αἰφνιδίῳ συσχε-
θεὶς ἀπεβίω, καὶ θάπτεται ἐν τῷ κατὰ Ἕβδομον ναῷ τοῦ
θεολόγου, Ἀλέξιον μοναχὸν ἀπὸ μονῆς τοῦ Στουδίου πατρι- V.241
άρχην ἐνθρονιάσας. ἔτυχε γὰρ εἰς ἐπίσκεψιν αὐτοῦ ἐλθεῖν
μετὰ τῆς τιμίας κεφαλῆς τοῦ προδρόμου· τοῦτον καὶ γὰρ
εἶχε σύμβουλον πρὸς τὴν τοῦ κοινοῦ διοίκησιν.

Μετὰ δὲ Βασίλειον τὴν ἅπασαν τῆς βασιλείας ἐξουσίαν ὁ
ἀδελφὸς αὐτοῦ Κωνσταντῖνος διαδέχεται, κρατήσας ἔτη γ', εἰ
μὴ καὶ κατ' ἐκεῖνον ταύτην ἐκόσμησε, γυναιξὶ χαίρων ὀρχη- D
στρίαις καὶ φιλοπαίγμοσιν· ἀλλὰ καὶ πρὸς ἱπποδρομίας ὡς
οὐδεὶς ἕτερος κεχηνὼς τὴν τοῦ κοινοῦ φροντίδα ὡς οὐδὲν ἡγού-
μενος ἦν. καὶ οὓς μὲν εὗρεν ἄνδρας ἀξιολόγους, κατήγαγε καὶ

splendidis et magnificis donariis ornasset, Cpolim reversus est, aureaque corona redimitus, quae cristam et apicem in parte superiore habebat, per portas magnas ingressus triumphum egit, praecedente Maria Vladislavi uxore cum Samueli filiabus reliquisque Bulgaris. hoc modo cum victoriae signis in ecclesiam delatum obnixe patriarcha Sergius obsecrabat, ut tributum illud quod Allelengyum dicebatur aboleret: nam id se facturum promiserat, si Bulgaros superasset. verum ea res frustra fuit, imperatore ut id faceret, persuaderi sibi non ferente. his rebus gestis etiam cogitabat in Siciliam Basilius expeditionem suscipere, quo in conatu fuit impeditus. quippe repentino correptus morbo vivendi finem fecit, in templo Iohannis Theologi, quod est iuxta Hebdomum, sepultus. Alexium solitarium e mansione Studiana translatum in solium patriarchae collocavit: nam ille cum venerabili capite praecursoris imperatorem decumbentem inviserat, qui eodem consiliario in administranda re publica uti consueverat.

Post Basilii mortem universa imperii potestas ad successorem et fratrem ipsius Constantinum delata fuit, qui biennium rebus praefuit. Basilii fratris exemplo nequaquam imperium ornavit, homo saltatriculis et ludionibus deditus. praeterea ludis equestribus, ut mortalium alius nemo, perpetuum occupatus, omnem de re publica

ἀπετύφλωσε, πρὸς δὲ τὰς ἀρχὰς ἑτέρους ἀνεβίβαζεν ἀφελεῖς
καὶ ἀξίους γέλωτος. συνέτριψε δὲ οὐ μόνον πένητας ἀλλὰ καὶ
πλουσίους. ἐν τρισὶ γὰρ ἔτεσιν, ἐν οἷς καὶ τὸ πᾶν τῆς αὐτοῦ
βασιλείας, πέντε δασμοφορίας ἀπῄτησε· τὰς γὰρ δύο ἔτυχεν
ἀφεὶς ὁ ἀδελφὸς αὐτοῦ. μετὰ δὲ ταῦτα αἰφνιδίῳ νόσῳ συ-
σχεθεὶς σκέπτεται τίνα καταλείψει διάδοχον. πρός τινων οὖν
ἐκδιδαχθεὶς ὡς εἰς Ῥωμανὸν τὸ κράτος μετ' αὐτὸν φοιτή-
σειεν, ἕνα μὲν ὄντα τῶν τῆς συγκλήτου, λεγόμενον δὲ Ἀργυ-
P. 312 ρόπουλον, ἐξ ἀνάγκης τὸν τοιοῦτον μεταπέμπεται, ᾧ καὶ
ἀνάγκη ἐπέκειτο ἢ διαζυγῆναι τῆς νομίμου γυναικὸς καὶ τῇ
τοῦ βασιλέως θυγατρὶ συναφθῆναι καὶ οὕτω βασιλεὺς ἀναγο-
ρευθῆναι, ἢ πηρωθῆναι τοὺς ὀφθαλμούς. τοῦ δὲ ἰλιγγιῶντος
καὶ ἀναδυομένου πρὸς αὐτῶν ἑκάτερον, ἡ σύνοικος δείσασα
περὶ τοῦ ἀνδρός, μή τι καὶ πάθῃ δεινόν, τὴν κοσμικὴν ἑκου-
σίως ἀπέθετο τρίχα, καὶ οὕτως τῷ συζύγῳ πρὸς τῇ ὄψει καὶ
τὴν βασιλείαν ἐχαρίσατο. τριῶν θυγατέρων οὐσῶν τῷ βασι-
λεῖ Κωνσταντίνῳ ἡ μὲν πρώτη ἀπεκείρατο, ἡ δὲ τρίτη ἀπη-
νήνατο. συνάπτεται οὖν τῇ δευτέρᾳ, ἥτις Ζωὴ ἐκαλεῖτο,
B καὶ οὕτως αὐτοκράτωρ ἀναγορεύεται, κρατήσας ἔτη ε'. καὶ
τηνικαῦτα προοιμίων ἀγαθῶν ἄρχεται· τῇ γὰρ θεοῦ με-
γάλῃ ἐκκλησίᾳ ἐκέλευσε δίδοσθαι κατ' ἔτος ἀπὸ τῶν βασιλι-

sollicitudinem atque curam flocci pendebat. si quos homines alicuius pretii reperiebat, eos statu suo deiectos excaecabat, illorumque loco magistratus aliis plane stolidis ridiculisque mandabat. neque pauperum modo fortunas sed etiam locupletum attrivit. nam triennio, quo tempus imperii eius continetur, quinquies a subditis exactiones postulavit; quarum duas frater ipsius antea subiectis condonaverat. secundum haec morbo subito correptus, quem successorem imperii relinqueret, secum ipse deliberare coepit. cumque de nonnullis accepisset omnino futurum ut post ipsum Romanus imperio potiretur, qui esset ordinis senatorii et Argyropuli cognomentum haberet, necessitate quadam urgente virum arcessi iubet, optionemque vel invito dat, ut aut legitima cum uxore divortio facto filiam imperatoris matrimonio sibi iungeret ac imperator hoc pacto renuntiaretur, aut oculos per excaecationem amitteret. cum in utramque partem Romanus animi dubius et anxius haereret, uxor ipsius verita ne quid crudele viro accideret, sponte sua mundanos capillos deponit, eaque ratione marito non oculos solum conservavit verumetiam imperium est largita. Constantinus autem imperator tres cum filias haberet, prima quidem tonso capillo se mundo abdicaverat, tertia vero Argyropuli nuptias aspernabatur. quapropter alteri iungitur, cui Zoe nomen erat; eoque facto imperator designatur. obtinuit imperium annis quinque. fuerunt eius initia praeclara et laudabilia. nam magnae

κῶν ταμείων χρυσοῦ λίτρας π'. κόψας καὶ τὸ ἀλληλέγγυον,
ἐκκενοῖ τε καὶ τὰς φυλακάς, καὶ ἄλλα πολλὰ τοιαῦτα ποιεῖ.
Ὀκτωβρίῳ δὲ μηνί, κατὰ τὴν λα', χύσις ἀστέρος ἐγένετο ἐκ
δυσμῶν πρὸς ἀνατολὰς τὴν πορείαν ποιοῦντος, καθ' ἣν ἡμέ-
ραν καὶ πτῶσις οὐ μικρὰ γέγονε τοῦ Ῥωμαϊκοῦ στρατοῦ,
στρατηγοῦντος τῆς μεγάλης Ἀντιοχείας Μιχαὴλ τοῦ Σπονδύ-
λου. ἐγένετο δὲ καὶ ὄμβρων ἐπίκλυσις, κρατήσασα ἕως αὐτοῦ
τοῦ Μαρτίου μηνός, τῶν ποταμῶν ἐκχυθέντων καὶ τῶν κοί- C
λων πελαγισάντων, ὡς ἀποπνιγῆναι σχεδὸν πάντα τε τὰ ζῶα
καὶ τοὺς καταβληθέντας καρποὺς τῇ γῇ, κἀντεῦθεν ἐπακο-
λουθῆσαι λιμὸν κατὰ τὸν ἐπιόντα χρόνον δεινόν. τὸ μέντοι
τοῦ Ῥωμαϊκοῦ στρατοῦ ἀτύχημα κατὰ Συρίαν ἐγένετο. κατ'
ἐκεῖνο δὴ καιροῦ καὶ τεράστιόν τι γέγονεν ἐν τῷ θέματι τῶν
Θρᾳκησίων περὶ τὰς ὑπωρείας τοῦ ὄρους τοῦ Κουζινᾶ, ἐν ᾧ
πηγή ἐστι διειδοῦς ὕδατος, καθ' ἣν ἤκουστο φωνή τις οἰκτρὰ
μετὰ ὀδυρμῶν καὶ οὐαὶ καὶ θρῆνος παρεμφερὴς ὀλοφυρμῷ
γυναικῶν. καὶ οὐχ ἅπαξ ἢ δὶς τοῦτο γινόμενον ἦν, ἀλλ'
ἀπὸ Μαρτίου μηνὸς ἕως Ἰουνίου αὐτοῦ, καθ' ἡμέραν καὶ D
νύκτα. ἀπιόντων δέ τινων ἐπὶ τῷ κατασκοπῆσαι τὸν τόπον
ἐν ᾧ ἡ φωνὴ ἐξηχεῖτο, ἀλλαχοῦ μετέπιπτεν ἡ ὀλολυγή.
τοῦτο δέ, ὡς ἔοικε, προεμήνυε τὴν φθάσασαν γενέσθαι τοῖς V. 243

14. ὑπωρείας] ὑπερορίας P. κοζινᾶ F. 20. ἐξήρχετο F.

dei ecclesiae sancivit, in annos singulos dari debere de thesauris imperatoriis auri libras octoginta. Allelengyo quoque sublato et abolito, praesidia deminuit, aliaque talia non pauca praestitit. die mensis Octobris 31 sideris cuiusdam ab occasu versus orientem pergentis conspecta est diffusio, prorsus illo ipso die quo Romanus exercitus cladem non exiguam accepit, duce Michaelo Spondyle, magnae illius Antiochiae praefecto. praeterea largi terram imbres diluvio quodam operuerunt, qui ad Martium usque mensem perdurarunt, amnibus passim extra suas ripas effusis, et concavis locis per aquas restagnantes sic obrutis ut omnia propemodum animalia cum fructibus terrae creditis perirent. unde proximo anno fames gravis est consecuta, simulque Romano, ceu dictum est, exercitui adversus ille casus in Syria contigit. eodem tempore prodigium quoddam in solo Thracensium accidit, propter radices Cuzinae montis, ubi fons est aquae limpidae ac pellucidae. iuxta hunc fontem vox quaedam miserabilis exaudiebatur, eiulatibus et lamentis permista, quae vae saepius repeteret ac ploratum ederet lamentationi muliebri consimilem. neque semel hoc aut iterum accidit, sed continuos dies et noctes a Martio mense ad Iunium usque duravit. cumque nonnulli speculatum accessissent eum locum, unde vox edebatur, alio eiulatus isti migrarunt,

Ῥωμαίοις ἀτυχίαν ἐν Κοίλῃ Συρίᾳ. τοῦ γὰρ βασιλέως Νικηφόρου τοῦ Φωκᾶ τὰς πλείστας τῆς Συρίας καὶ Φοινίκης πόλεις τῇ Ῥωμαίων ἀποκαταστησαμένου, καὶ τοῦ μετ' αὐτὸν Ἰωάννου τὰ ἑαλωκότα κρατυναμένου καὶ μέχρι γε Δαμασκοῦ τὴν ἐπικράτειαν παρατείναντος, ἐπείπερ ὁ μετ' αὐτοὺς βασιλεὺς ἐμποδιζόμενος μὲν καὶ ὑπὸ τῶν ἐμφυλίων πολέμων, κατατρέχων δὲ καὶ τῶν Βουλγάρων δι' ὅλου, τὰ τῆς ἕω καλῶς ἀσφαλίσασθαι οὐκ ἴσχυσεν· ἐν φαντασίᾳ γὰρ καὶ μόνῃ P. 313 παραγενόμενος ἐκεῖσε τηνικαῦτα ὑπέστρεψεν, ἀσχολίαν ἔχων ἔμμονον τὸ τῶν Βουλγάρων καθυποτάξαι γένος. ἐντεῦθεν οὖν ἀδείας οἱ περὶ τὴν ἕω δραξάμενοι τὴν ἑαυτῶν ἐλευθερίαν ἀναζητῆσαι διενοήσαντο. ταύτῃ τοι καὶ ἐμελετᾶτο μὲν ἡ ἀποστασία ἐπὶ τοῦ Βασιλείου, ἐκρύπτετο δέ. ἐπὶ δὲ Κωνσταντίνου τὴν βασιλείαν ἀμελῶς ἰθύνοντος οἱ Σαρακηνοί, μηδενὸς ὄντος τοῦ κωλύοντος, ἐπόρθουν ἀδεῶς τὰ ἐν ταῖς πόλεσι φρούρια, πολλὴν ἁπανταχοῦ καταδρομὴν ποιησάμενοι. B οὕτω μὲν οὖν τῶν πραγμάτων ἐχόντων ὁρμᾷ κατὰ τῶν Σαρακηνῶν ὁ βασιλεύς. πρὸς τὸ Φιλομίλιον ἔρχεται. πέμπονται πρὸς αὐτὸν πρέσβεις ἀπὸ Βερροίας, συμπάθειαν ἐξαιτούμενοι καὶ τὴν προτέραν δούλωσιν καὶ δασμοφορίαν καταδεχόμενοι. ὁ δὲ Ῥωμανὸς θέλων ἐνδείξασθαί τι γενναῖον

4. γε] τε P.

significabat autem, ceu credi par est, portentum hoc cladem Romanorum in Coelesyria non ita pridem acceptam. etenim Nicephorus imperator urbes Syriae Phoeniciaeque plurimas imperio Romano recuperaverat, et ab eo parta successor ipsius Iohannes Zimisches confirmarat, imperio Damascum usque prolatato. Basilius autem, qui post utrumque potitus est imperio, partim a bellis intestinis impeditus, partim vexandis Bulgaris occupatus, res orientis nullo modo recte munire poterat, sed quasi per imaginationem solam eo traiecerat animum, moxque suo ab instituto resilierat, studio tantum uno eoque perpetuo intentus, ut Bulgarorum nationem sub iugum mitteret. hoc modo metu soluti prorsus orientales, quibus viis libertatem pristinam recuperarent, secum ipsi dispiciebant. atque hanc defectionem sub Basilio quidem illi moliebantur, licet occulte rem tractarent: verum Constantino rem publicam negligenter administrante, Saraceni nemine prohibente citra metum omnem urbium praesidia oppugnabant, et longe lateque cuncta percurrendo populabantur. hoc ergo res in statu cum forent, Romanus imperator adversus Saracenos copias educit; cumque iam Philomilium usque pervenisset, legati Berrhoea missi accesserunt, qui peterent ut eorum misereretur, paratorum ad subeundam servitutem pristinam tributaque pendenda. verum Romanus, quod nobile facinus aliquod in hac contra Syriam

κατὰ Συρίας, ὡς οἱ πρὸ αὐτοῦ βασιλεῖς, τοὺς πρέσβεις οὐ δέχεται, ἀλλ' ὁρμᾷ κατ' αὐτῶν, μήτε τὴν τοῦ ὕδατος σπάνιν ἀναλογισάμενος, μήτε τοὺς Σαρακηνοὺς αὐτοὺς ὡς ἀκάθεκτοι μᾶλλον ἐν θερινῷ καιρῷ διὰ τὸ ἔθος τυγχάνουσι. συνάπτεται τοιούτοις, καὶ ἧτταν ἡττᾶται οἵαν ὁ λόγος παραστῆσαι οὐ δύναται. ὑποστρέφει πρὸς Ἀντιόχειαν, τοῦ στρατοῦ κοιλιακῷ συσχεθέντος νοσήματι καὶ τῷ δίψει κακωθέντος. C ἐπιτίθενται καὶ αὖθις αὐτοῖς οἱ Σαρακηνοί, καὶ τοσοῦτον φθόρον ἐποίησαν ὥστε καὶ τὸν βασιλέα μόλις διασωθῆναι.

Ὁ δὲ βασιλεὺς τὸν οἶκον τοῦ Τριακονταφύλλου ἐξωνησάμενος εἰς μοναστήριον μετεσκεύασεν ἐπ' ὀνόματι τῆς θεοτόκου, συντρίψας τῇ προφάσει ταύτῃ τὸ ὑπήκοον καὶ κακώσας ἐν ταῖς τῶν ὑλῶν μετακομιδαῖς. καταλαμπρύνει δὲ καὶ τὰ κιονάκρανα τῆς μεγάλης ἐκκλησίας καὶ τῶν Βλαχερνῶν ἀργύρῳ καὶ χρυσῷ.

Μετὰ δὲ ταῦτα ἦλθε πρὸς τὸν βασιλέα Ῥωμανὸν μετὰ δώρων πολλῶν ὁ τοῦ Χαλεπίτου υἱὸς Ἄμερ, ἐξαιτῶν ἀνανεῶσαι τὴν εἰρήνην καὶ τοὺς πρόσθεν παρέχειν φόρους. καὶ D δὴ στέλλεται Θεοφύλακτος πρωτοσπαθάριος ὁ Ἀθηναῖος, καὶ τὰς σπονδὰς ἐβεβαίωσε. κατ' ἐκεῖνο δὲ καιροῦ περὶ δευτέραν ὥραν τῆς νυκτὸς χύσις ἐγένετο ἀστέρος ἀπὸ μεσημβρίας

17. χαλεπίου F.

expeditione superiorum imperatorum exemplo cogitaret edere, non admissis legatis adversus eos recta perrexit, cum quidem secum nequaquam expendisset aquae illis in locis penuriam, quodque Saraceni propemodum aestivo tempore minus inhiberi se patiantur, corporibus utentes ad perferendos calores adsuefactis. itaque manus cum eis conserit, tantaque strage caeditur imperator quanta vix dicendo possit exponi. accepta clade Antiochiam revertitur, exercitu graviter ex intestinorum morbo laborante ac siti misere vexato. nec his contenti Saraceni Romanos iterum aggrediuntur, tantaque caede grassantur in eos vix ut imperator ipse salvus evaderet.

Secundum haec Romanus emptam Triacontaphylli domum in monasterium, cui a deipara nomen inditum, commutavit; atque sub hoc praetextu non parum subditos adflixit et vexavit, materiem convehere coactos. praeterea columnarum magnae ecclesiae ac Blachernarum capita splendide argento et auro exornavit.

Venit ad imperatorem Romanum magnis cum muneribus etiam Amer Chalepitae filius, pacem renovari petens, simulque pristinorum tributorum persolutionem promittens. eius rei conficiundae causa Theophylactus protospatharius est ablegatus, Atheniensis patria, qui foedus ictum confirmavit. eodem tempore circa secundam noctis horam traiectio sideris a meridie versus septemtriones accidit, quo

πρὸς ἄρκτον πᾶσαν τὴν γῆν περιαστράψαντος. ἐφ' ᾧ καὶ μετὰ μικρὸν ἀγγέλλονται τὰ κατασχόντα τὴν Ῥωμαίων ἀτυχήματα, Ἄραβες ληϊσάμενοι τὴν Μεσοποταμίαν ἄχρι Μελιτηνῆς, Πατζινάκαι δὲ τὸν Ἴστρον διαβάντες καὶ τὴν Μυσίαν κακῶς διαθέμενοι. τηνικαῦτα δὲ καὶ ἡ ἰδιόγραφος
P.314 ἐπιστολὴ τοῦ δεσπότου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἡ πρὸς Αὔγαρον πεμφθεῖσα τὸν τοπάρχην, ἐστάλη πρὸς τὸν βασιλέα. οὗτος μὲν οὖν ὁ βασιλεὺς πάντων ἐπεμελεῖτο τῶν ἀγαθῶν, τὰ ὑπὸ σεισμοῦ κακῶς παθόντα πτωχοτροφεῖα παντάπασιν ἀνανεού-
V.243 μενος. εἶτα νόσῳ χρονίᾳ βάλλεται καὶ τριχορρυεῖ γένυν τε καὶ τὴν κόμην, κατεργασθείς, ὥς φασιν, ὑπὸ Ἰωάννου τοῦ τηνικαῦτα ὀρφανοτρόφου. οὗτος γὰρ ὁ Ἰωάννης καὶ πρὸ τῆς βασιλείας ὑπηρέτει τῷ Ῥωμανῷ. ταύτῃ τοι καὶ τοῦ κράτους ἐπιβάντος αὐτοῦ μεγάλην δύναμιν ἔσχεν. ἦσαν δὲ τῷ
B Ἰωάννῃ καὶ ἕτεροι ἀδελφοί, Μιχαὴλ Νικήτας Κωνσταντῖνος καὶ Γεώργιος. ἀλλ' ὁ μὲν Κωνσταντῖνος καὶ Γεώργιος σὺν τῷ Ἰωάννῃ εὐνοῦχοι ὄντες ἀγυρτικὴν μετῄεσαν τέχνην, ἀλλὰ διὰ τοῦ Ἰωάννου πάντες οὗτοι τῷ βασιλεῖ ᾠκειώθησαν. ἡ μέντοι Ζωὴ τὸν Ῥωμανὸν ὁρῶσα βίον ὑπερχόμενον σώφρονα, καὶ ἀπαρεσκομένη τῷ πράγματι σφαδασμοῖς ἅτε σαρκικοῖς ὑποθερμαινομένη, ἐρωτικὸν ἐνορᾷ πρὸς τὸν διαληφθέντα Μι-

tellus universa fuit collustrata. neque magno temporis interiecto spatio, quae Romanis calamitates adversaeque res contigissent, imperatori nuntiatum fuit. Arabes enim Mesopotamiam depopulati sunt ad ipsam usque Melitenam; et Patzinacae traiecto Istro Mysiam inclementer omnino tractarunt. allata quoque tunc est domini nostri Iesu Christi epistola, manu ipsiusmet scripta et ad Augarum loci cuiusdam dominum missa. erat autem imperator hic imprimis omnium bonorum operum studiosus. aedificia pauperibus alendis destinata, quae a terrae motu succussa graviterque laesa fuerant, prorsus instauravit. tandem morbo lento corripitur, quo durante capilli capitis eius et barbae defluxerunt, petitus, uti quidem ferebatur, veneno ab Iohanne, qui tum pupillorum alumni munere fungebatur. nam Iohannes ille quia prius etiam quam Romanus imperio potiretur minister ipsius fuerat, magnam apud eum potentiam et auctoritatem habebat, ex quo imperare coeperat. erant illi fratres aliquot, nimirum Michaelus, Nicetas, Constantinus et Georgius. ex iis Constantinus ac Georgius itidem, ut et Iohannes, castrati circulatoriam artem exercebant. sed deinceps omnes in familiaritatem imperatoris opera Iohannis fratris pervenerunt. cum autem Zoe videret Romanum se pro homine casto gerere, moleste studium hoc illius institutumque ferens, ut quae carneis pruritibus incalesceret, in Michaelum Iohannis fratrem,

χαὴλ, εὐπρεπέστατον τὴν ὄψιν ὑπάρχοντα, καὶ οὕτω κρυφίως αὐτῷ ἐπεμίγνυτο. ἐφ' ᾧ καὶ κατεργάζεται ὁ βασιλεὺς ἅτε τῆς βασιλίδος τὸν Μιχαὴλ εἰς τὸν βασιλικὸν θρόνον σπευδούσης ἀναγαγεῖν. βραδυθανάτοις δὲ φαρμάκοις κατερ- C γασθείς, καὶ χρόνον συχνὸν κείμενος κλινοπετής, ὅλῃ ψυχῇ ἐπεκαλεῖτο τὸν θάνατον. κατὰ δέ γε τὴν μεγάλην πέμπτην τὰς ῥόγας τῶν συγκλητικῶν ποιησάμενος, καὶ ἐπιθυμήσας λούσασθαι κατὰ τὸ ἐν τῷ μεγάλῳ παλατίῳ βαλανεῖον, καὶ εἰσελθὼν οἰκτρῶς ἀποπνίγεται ὑπὸ τῶν περὶ τὸν Μιχαὴλ ἐν τῇ κολυμβήθρᾳ τοῦ λουτροῦ. κατὰ ταύτην μὲν οὖν τὴν νύκτα μηνύεται ὁ πατριάρχης Ἀλέξιος ὑπὸ τοῦ βασιλέως δῆθεν Ῥωμανοῦ. ἀλλ' ὁ πατριάρχης ἐλθὼν αὐτὸν μὲν εὑρίσκει νεκρόν, ἡ δὲ βασιλὶς Ζωὴ ἐν τῷ χρυσοτρικλινίῳ προκαθίσασα ἐξάγει τὸν Μιχαήλ, καὶ καταναγκάζει τὸν πατριάρ- D χην ἱερολογῆσαι τοῦτον αὐτῇ. ὁ δὲ πατριάρχης ἐπὶ τῷ πράγματι ἐκπλαγεὶς τὴν ἱερολογίαν, ὡς εἰκός, ἐνεδοίαζεν. ἔνθεν τοι καὶ ὁ Ἰωάννης σὺν τῇ Ζωῇ ν' μὲν χρυσοῦ λίτρας τῷ πατριάρχῃ ν' δὲ ὁμοίως τῷ κλήρῳ ἐπιδοὺς ἔπεισε ἱερολογίας ἀξιῶσαι αὐτούς. καὶ ὁ μὲν Ῥωμανὸς ἐν τῇ ὑπ' αὐτοῦ νεουργηθείσῃ ἐκκλησίᾳ θάπτεται τῆς περιβλέπτου.

Κρατεῖ δὲ ὁ Μιχαὴλ σὺν τῇ Ζωῇ ἔτη ζ'. ἀλλ' ἡ Ζωὴ

de quo diximus, non sine amoris adfectione oculos coniicere coepit, quod esset is facie venustissima praeditus. cumque clandestinam cum eo consuetudinem habuisset, operam dedit ut imperator e medio tolleretur, in hoc solum intenta, ut Michaelum ad imperatoriam dignitatem eveheret. Romanus venenis lentum exitium adferentibus confectus, ubi diuturno tempore in lectulo decubuisset, toto pectore nihil expetebat aliud quam ut hac vita fungeretur. denique magna quinta feria distributis in patres conscriptos muneribus, quas rogas vocant, cum magni Palatii balneum lavandi causa ingressus fuisset, a Michaeli sociis in balnei labro miserabiliter suffocatur. eadem nocte Alexius patriarcha Romani imperatoris nomine in regiam arcessitur, quam ingressus imperatorem extinctum invenit: Zoe vero imperatrix in aureo triclinio sedens Michaelum producit, et patriarcham adigit ut eum sibi maritum sacris precibus conceptis iungeret. patriarcha rei novitate perculsus, sacrasne preces illas eis impertiretur, non abs re dubitabat. quapropter Iohannes et Zoe quinquaginta libris auri patriarchae totidemque clero donatis persuaserunt homini ut matrimonium ipsorum consecraret. Romanus in dedicata ab se spectatissimae ecclesia sepelitur.

Eius loco Michaelus imperare coepit cum coniuge Zoe annis septem, quae cum se Michaelo mancipii loco speraret usuram, insti-

αὕτη ἐλπίζουσα τῷ Μιχαὴλ ἀντὶ δούλου κεχρῆσθαι ἀστοχεῖ τοῦ σκοποῦ. ὁ γὰρ Ἰωάννης δραστήριος ὤν, καὶ δεδιὼς περὶ
P. 315 τοῦ ἀδελφοῦ αὐτοῦ, πάντας μὲν τοὺς προσόντας αὐτῇ θαλαμηπόλους, ναὶ μὴν καὶ τὰς οἰκειοτάτας θεραπαινίδας ἐξ αὐτῆς ἀποσπᾷ, καὶ οὐδὲ τὸ τυχὸν παρ' αὐτῆς ἐνεργεῖται εἴ μήγε κατὰ γνώμην Ἰωάννου. οὗτος μὲν οὖν καὶ τὸ ὑπήκοον ἐξημέρου παντοίως καὶ πάντα μετεχειρίζετο. ὅτι δὲ τὰ γεγονότα οὐκ ἀρεστὰ ἦν τῷ θεῷ, δέδεικται καὶ ἐκ προοιμίων αὐτῶν· κατὰ γὰρ τὴν ια' ὥραν τῆς ἁγίας μεγάλης κυριακῆς χάλαζα κατηνέχθη ἀφόρητος καὶ γενναία, ὡς συντριβῆναι μὴ μόνα τὰ δένδρα, τά τε κάρπιμα καὶ τὰ ἄκαρπα, ἀλλὰ δὴ καὶ οἰκίας καταπεσεῖν καὶ ναούς. γέγονε δὲ καὶ χύσις ἀστέρος κατὰ τὴν μετὰ τὸ πάσχα κυριακήν, περὶ ὥραν τρί-
B την τῆς νυκτός, τῇ ὑπερβολῇ τῆς λαμπρότητος τοὺς ἀστέρας πάντας ἀποκαλύψαντος ὡς καὶ ἥλιον ἀνατεῖλαι δοκεῖν· ὁ μέντοι βασιλεὺς ἐλήφθη δαιμονίῳ, ὃ καὶ σεμνολογοῦντες οἱ περὶ τοῦτον μανικὸν ἀπεκάλουν νόσημα. καὶ παρέμεινε τὸ τοιοῦτον ἄχρι τέλους τῆς αὐτοῦ βιοτῆς.

V. 244 Κατ' ἐκεῖνο δὴ καιροῦ καὶ τοιοῦτόν τι συνέβη ἐν τῷ θέματι τῶν Θρακησίων. Βαράγγων διεσπαρμένων γυναῖκά τις ἐγχωρίαν εὑρὼν ἐπ' ἐρημίας ἐπειρᾶτο τῆς σωφροσύνης αὐτῆς,

tuto ac spe sua frustrata est. Iohannes enim Michaeli frater, vir industrius et rerum gerendarum peritus, qui fratris incolumitati metueret, omnes Zoae cubicularios una cum ancillis ipsi maxime familiaribus ab ea removit, ne minimum quidem aliquid, citra voluntatem et arbitrium suum ab ea geri permittens. idem subditorum animos variis modis blande tractando fratri conciliabat, et omnium administrationem in se suscipiebat. non tamen ea quae in Romanum commissa fuerant, grata deo fuisse, de ipsis initiis imperii Michaeli certis argumentis colligi poterat. nam hora undecima sacrosanctae magnae dominicae grandine tam intolerabili pluit, ut non arbores tantum frugiferae sterilesque confringerentur, sed domus etiam cum templis deiectae corruerent. praeterea sideris traiectio, dominica post Paschatis festum, hora tertia noctis accidit; cum quidem id sidus amplitudine fulgoris sui cunctorum aliorum siderum luminibus officeret ac sol ipse oriri videretur. itidem imperator malo correptus est genio, quam rem familiares ipsius honestiore vocabulo tegentes insaniam quandam animi vocabant. neque malum hoc ipsum ante finem vitae missum fecit.

Accidit eo imperante Thracensium in finibus huiusmodi quiddam. dispersis per illam regionem in hiberna Barangis, forte quidam mulierem indigenam in solitudine nactus ei stuprum inferre conatus

ὡς δὲ οὐκ ἔπειθε, καὶ βίαν ἤδη ἐπῆγεν. ἡ δὲ τὸν ἀκινάκην σπασαμένη τοῦ ἀνδρὸς παίει κατὰ καρδίαν τὸν Βάραγγον, καὶ εὐθὺς ἀναιρεῖ. τοῦ δὲ ἔργου διαδοθέντος ἐν τῇ περιχώρῳ, C συναθροισθέντες οἱ Βάραγγοι τήν τε γυναῖκα στεφανοῦσι καὶ τὴν ἅπασαν οὐσίαν τοῦ βιαστοῦ ταύτῃ διδόασι, κἀκεῖνον ἄταφον ῥίπτουσι.

Τότε δὴ καὶ σεισμοῦ γενομένου κακῶς ἔπαθε τὰ Ἱεροσόλυμα, τεθνηκότων ἀνθρώπων πολλῶν ἐν τοῖς τῶν ἐκκλησιῶν καὶ οἰκιῶν συμπτώμασι, σειομένης τῆς γῆς ἄχρις ἡμερῶν μ΄. τῷ δέ γε Σεπτεμβρίῳ μηνί, ͵ϛφμγ΄ ἔτει, ἰνδικτιῶνος τρίτης, πυρὸς ἐφαίνετο στῦλος κατὰ τὴν ἑῴαν, τὴν κορυφὴν κεκολλημένην φέρων πρὸς μεσημβρίαν· καθ' ἣν ἡμέραν καὶ οἱ Σαρακηνοὶ ἦραν τὰ Μύρα, καὶ ἄλλα δὲ δεινὰ πολλὰ συνέβησαν. ὁ μέντοι βασιλεὺς Μιχαὴλ πᾶσαν αὐτοῦ τὴν ζωὴν D ἀποκλαιόμενος ἣν τὴν εἰς τὸν Ῥωμανὸν ἁμαρτάδα, τὸν θεὸν ἱλασκόμενος δι' ἀγαθοεργιῶν καὶ κτίσεως μοναστηρίων, καὶ ἄλλας δὲ πρὸς τούτοις πράξεις ἐτέλει χρηστάς. αὗται δὲ ἀνύσιμοι ἂν ἦσαν, εἰ τὴν βασιλειάν τε ἀπέρριψε δι' ἣν τὰ τοιαῦτα κακά, καὶ εἰ τὴν μοιχάδα ἀπώσατο καὶ καθ' ἑαυτὸν ἀπεκλαίετο τὴν ἁμαρτίαν. τούτων δὲ μηδὲν πεπραχώς, ἀλλ' ἐκείνῃ συνὼν καὶ τῆς βασιλείας ἀντεχόμενος, κἂν τῶν δημοσίων καὶ κοινῶν τὰς δοκούσας εὐποιίας ἀποπληρῶν, κἀντεῦθεν νομίζων τυχεῖν συγχωρήσεως, ἀνόητον διελογίζετο τὸ

est. ea vero ipsiusmet acinace correpto in cor Barangum ferit ac statim interficit. quod factum ubi per viciniam innotuisset, coivere Barangi ceteri, mulierique coronatae facultates illius omnes, qui pudicitiae ipsius adferre vim voluerat, donarunt, cadavere militis citra sepulturae honorem abiecto.

Tunc et Hierosolyma terrae motu misere adflicta fuit, quod in ipsis templorum aediumque ruinis ingens hominum multitudo opprimeretur, terra diem ad quadragesimum usque succussa. anno mundi 6543, indictione tertia, columna ignea versus ortum conspecta est, vertice ad meridiem inclinante; quo ipso die Saraceni Myra ceperunt, aliaeque nonnullae calamitates Romanis acciderunt. ceterum Michaelus imperator delictum in Romanum suum per omnem vitam deplorare non desinebat, ac deum bonis operibus, monasteriis condendis, benignitate in egentes placabat. ea vero profuissent illi, si quidem abiecisset imperium, cuius gratia molitus ea facinora fuerat, et adultera repudiata privatus peccatum suum deplorasset. nunc ille nihil horum agens, sed Zoae consuetudine utens, imperium mordicus retinens, de publicis bonis in speciem beneficia quaedam praestans, eoque pacto veniam se consecuturum sperans, numen divi-

θεῖον καὶ ἄδικον, ἀλλοτρίοις χρήμασιν ὠνούμενος τὴν μετάνοιαν.

P. 316 Κατ' ἐκεῖνο δὲ καιροῦ καὶ σεισμοῦ γεγονότος χάσματα γεγόνασιν ἐν Βουκελλαρίοις, καὶ κατεπόθησαν χωρία πέντε. ἔνθα καὶ Νικηφόρον πρόεδρον τὸν Κωνσταντίνου βασιλέως εὐνοῦχον διατρίβοντα μικροῦ δεῖν κινδυνεῦσαι συνέβαινεν ἄν, διαφυγόντα δὲ παρ' ἐλπίδα τὸν κίνδυνον ἀποκαρῆναι μοναχόν. τηνικαῦτα δὲ καὶ αὐχμοῦ γεγονότος ὡς ἐπὶ μῆνας ἓξ μὴ καταρραγῆναι ὑετόν, λιτανείας ἐποίησαν οἱ τοῦ βασιλέως ἀδελφοί, καὶ ὁ μὲν Ἰωάννης τὸ ἅγιον ἐβάσταζε μανδήλιον, ὁ δὲ μέγας δομέστικος τὴν πρὸς Αὔγαρον ἐπιστολὴν τοῦ Χριστοῦ καὶ τὰ ἅγια σπάργανα. καὶ πεζοὶ ὁδεύσαντες ἀπὸ τοῦ
B μεγάλου παλατίου ἀφίκοντο μέχρι τῶν Βλαχερνῶν. οὐ μόνον δὲ οὐκ ἔβρεξεν, ἀλλὰ καὶ χάλαζαι παμμεγέθεις καταρραγεῖσαι συνέτριψαν τά τε δένδρα καὶ τοὺς κεράμους τῆς πόλεως. ὁ μὲν οὖν βασιλεύς, κατατεινόμενος ὑπὸ τοῦ δαίμονος ἐπὶ πλέον, ἔπεμψεν ἐν τοῖς θέμασι καὶ ταῖς νήσοις τοῖς μὲν πρεσβυτέροις ἀνὰ νομίσματα β', τοῖς δὲ μοναχοῖς ἀνὰ νομίσματα ἕν· ἐπὶ πλέον τὸ κακὸν ἐπετείνετο, συνεπιλαβομένης καὶ νόσου ὑδρωπικῆς. κατὰ τοῦτο καὶ ὁ βασιλεὺς διέτριβε τῇ Θεσσαλονίκῃ ὡς τὰ πολλά, προσλιπαρῶν τῷ τάφῳ τοῦ καλλινίκου Δημητρίου τοῦ
C πάθους ἕνεκεν· τῶν γὰρ κοσμικῶν πραγμάτων οὐδαμῶς

num et mentis expers et iniustum esse putabat, quod alienis opibus redimi poenitentiam pateretur.

Eodem tempore terrae motum in Bucellariis hiatus subsecuti sunt, quibus integrae quinque villae sunt absorptae. parum etiam abfuit quin eo Nicephorus praeses, imperatoris Constantini eunuchus, illis in locis degens periret: verum praeter spem evitato periculo, rasus vitae solitariae se dedit. cum autem magna quoque siccitas incidisset ac totis sex mensibus non pluisset, supplicatum est a fratribus imperatoris, Iohanne sacrum mantile, magno domestico scriptam ad Augarum Christi epistolam sacrasque cunarum fascias gestantibus; peditesque a magno palatio usque ad Blachernas processêrunt. sed tantum abfuit ut plueret, ut etiam ingens grando delata vehementi cum impetu tam arbores quam tegulas urbis comminueret. Michaelus ubi malo a genio peius in dies exagitaretur, in quasvis regiones et insulas presbyteris quidem singulis numos aureos binos, monachis vero unum misit, licet irrito studio, quod malum augesceret ac morbus aquae intercutis accederet. quamobrem Thessalonicam profectus imperator ibidem degebat, et ad egregii martyris victorisque certaminum Demetrii sepulcrum adsiduo versabatur, ut eo malo liberaretur: quippe de mundanis rebus omnino sollicitus non

ἐφρόντιζεν, ὑπὸ τοῦ Ἰωάννου τούτων διοικουμένων. ἐπὶ τούτοις δὲ καὶ συνεχῶς τὴν οἰκουμένην ὁ θεὸς ἔσειε, καὶ δείματα κατεῖχον αὐτήν, ἐν οὐρανῷ μὲν κομητῶν ἐπιτολαί, ἄνεμοι ἐναέριοι καὶ ὄμβροι ῥαγδαῖοι, ἐν γῇ δὲ βρασμοὶ καὶ κλόνοι· ἃ δὴ καὶ προεμήνυον τὴν μετ' οὐ πολὺ γενησομένην τῶν κρατούντων καταστροφήν. ὁ τοιοῦτος δὲ Ἰωάννης ὠνίους τὰς ἀρχὰς ποιούμενος μυρίων κακῶν τὴν οἰκουμένην ἐνέπλησε. διὰ γὰρ τοῦτο καὶ τοὺς Βουλγάρους ἀντιστῆναι πεποίηκε· τοῦ γὰρ Βασιλείου ἐν εἴδεσί τισι τὴν ἀπαίτησιν V.245
ποιουμένου καθὰ δὴ καὶ ὁ Σαμουήλ, ὁ Ἰωάννης οὗτος διὰ νομισμάτων ἐδασμοφόρει αὐτούς, ὅθεν καὶ εἰς ἀποστασίαν D
ἐχώρησαν.

Τοιούτῳ δὲ τέλει χρησαμένου Μιχαήλ, τὸ πᾶν περιέστη κράτος ὡς εἰς κληρονόμον τὴν βασιλίδα Ζωήν. αὕτη δὲ διαλογισαμένη ὡς οὐκ ἄν ποτε τὰ κοινὰ διεξάγειν μόνη δύναιτο, τὸν τοῦ βασιλέως Μιχαὴλ ὁμώνυμον ἀνεψιόν, Καίσαρα ὄντα, πρὸς δὲ καὶ δραστήριον εἶναι δοκοῦντα, εἰσποιητὸν προσλαμβάνει υἱόν, καὶ βασιλέα τοῦτον ἀναγορεύει, κρατήσαντα δὲ ὡσεὶ μῆνας δ', ὅρκοις πρότερον αὐτὸν καταδεσμήσασα ὡς κυρίαν ἔχειν αὐτὴν καὶ μητέρα καὶ μὴ παρεμποδίζειν ἐφ'

18. κρατ. — δ'] κρατεῖ τοίνυν σὺν τῇ Ζωῇ Μιχαὴλ ὁ λεγόμενος καλαφάτης μῆνας δ' F.

erat, quod eas Iohannes ipsius frater administraret. interea continuo deus orbem universum quassabat, quem alia quoque terriculamenta formidolosum reddebant, in caelo cometarum exortus, in aëre venti et impetuosae pluviae, in terra successiones gravesque commotiones; quae omnia portendebant non multo post eorum finem appetiturum qui tum rerum potiebantur. imperatoris quidem frater Iohannes magistratus venales habebat, et malis infinitis orbem terrarum implebat. nam ipsius quoque culpa factum est ut Bulgari a Romanis deficerent: quippe Basilius imperator species quasdam fructuum a Bulgaris exigi debere tributi nomine voluerat, quem morem et Samuelus ipsorum rex observaverat: Iohannes autem hac exactione in aurum commutata Bulgaris occasionem defectionis praebuit.

Tandem Michaelo vita functo, tanquam hereditario iure universa potestas ad Zoen imperatricem rediit. ea vero cum deliberatione secum habita non posse se solam administrare rem publicam animadverteret, imperatoris Michaeli cognominem et sororis filium, qui Caesar designatus erat et industrius aptusque rebus gerendis esse videbatur, adoptatum sibi adiungit, ac filium imperatoremque renuntiari curat. praefuit rebus menses ad quattuor. prius quam imperio potiretur, Zoe sacramentis eum obstrinxit, ut polliceretur se loco dominae ac matris eam habiturum, nec ulla re futurum impedimento

P. 317 οἷς ἂν καὶ ὅπως διαπράττεσθαι βούλοιτο. καὶ αὐτὸν δὲ πρότερον ὀρφανοτρόφον ἐκποδὼν ἐποιήσατο, καὶ Κωνσταντῖνον ὡσαύτως τὸν δομέστικον τῶν σχολῶν τῆς ἀρχῆς ἀπεστέρησε. κατ' αὐτὴν τὴν ὥραν καθ' ἣν ἀνεδεῖτο τῷ διαδήματι ὁ Μιχαὴλ, σκοτώσει καὶ ἰλίγγῳ ληφθεὶς ἐγγὺς ἦλθέ που πεσεῖν, μόλις δὲ ἀνακαλεῖται μύροις καὶ ἀρώμασι. καὶ ὃς αὐτίκα δωρεαῖς περιποιεῖται τὴν σύγκλητον. μεταπέμπεται δὲ τῆς ἐξορίας καὶ Κωνσταντῖνον τὸν δομέστικον, καὶ οὕτω δῆθεν ἐν βεβαίῳ δόξας ἑστάναι παρευθὺς πίπτει. γράμμασι γὰρ
B τοῦ ὀρφανοτρόφου καὶ βουλαῖς τοῦ δομεστίκου, λεγόντων μὴ πιστεύειν τῇ βασιλίδι, ὡς ἂν μὴ πάθοι ὅσα δὴ καὶ Μιχαὴλ καὶ Ῥωμανὸς γοητείαις ἅτε παρ' αὐτῆς κατεργασθέντες, διεγείρεται καὶ ἐπιβουλὴν κατ' αὐτῆς μελετᾷ. θέλων δὲ καὶ τὸν λαὸν ἰδεῖν, εἴπερ εὐνοϊκῶς πρὸς αὐτὸν διάκειται, καὶ οὕτως ἐπιχειρῆσαι τῇ ἐπιβουλῇ, κελεύει γενέσθαι προέλευσιν. ἐφ' ᾗ καὶ πάντας ἰδὼν ὡς εἰ δυνατὸν καὶ τὰς ψυχὰς προϊέναι χάριν τιμῆς αὐτοῦ καὶ λαμπρότητος, ἅπτεται τῆς ἐπιβουλῆς. νυκτὸς οὖν κατασπᾷ τοῦ θρόνου καὶ ἐξορίζει αὐτὴν εἰς Πρίγκιπον, κελεύσας τοῖς ἀποκομίζουσι καὶ τὰς τρίχας
C αὐτῆς ἀποκεῖραι καὶ πρὸς αὐτὸν αὐτὰς ἀγαγεῖν. γίνεται ταῦτα, καὶ ἀναφορὰ διὰ τοῦ ἐπάρχου τῷ λαῷ ἀναγινώσκε-

21. ὑπάρχου P.

quo minus illa quae vellet, quoque pacto collibitum esset, omnia gereret. praeterea Iohannem pupillorum alumnum ab administratione mox ab initio removit, Constantino quoque domestico scholarum magistratu abrogato. Michaelus ea ipsa, qua diademate cingebatur, hora oculorum caligatione ac vertigine correptus parum abfuit quin collaberetur, vixque tandem unguentis et aromatibus refectus est. Corona potitus mox largitionibus sibi senatum conciliat. cumque Constantinum domesticum ab exsilio revocasset, seque iam in tuto consistere putaret, subito corruit. persuasus enim Iohannis pupillorum alumni litteris et domestici consiliis, qui dicerent fidem imperatrici non habendam, ne usuvenirent eadem ipsi quae Michaelus et Romanus perpessi fuissent, quos illa veneficiis sustulisset, excitari se contra illam passus est, ut eius vitae insidiaretur. cumque populi quoque tentare vellet animos, ut cognosceret an illius aliqua foret in se benevolentia, qua perspecta struere pergeret insidias, processum publicum institui iubet, in quo cum eam in omnibus alacritatem cerneret, ut si fieri posset, etiam animas ac vitam pro ipsius honore dignitateque profunderent, ad moliendas insidias sese comparat. itaque noctu solio deiectam principum ablegat, ubi exsularet, imperato deportantibus ut capillos ei raderent et eosdem ad se deferrent. his ita gestis, praefectus urbis actorum relationem ad popu-

ται ἐν τῷ τοῦ Κωνσταντίνου φόρῳ, περιέχουσα ὅτι κακό-
νους ἡ Ζωὴ περὶ τὴν βασιλείαν μου εὑρεθεῖσα ἐξορίζεται
παρ' ἐμοῦ· ὑμεῖς δὲ εἴπερ εὐνοϊκῶς διάκεισθε πρός με,
μᾶλλον ἀξιωθῆτε τιμῶν. καὶ παραχρῆμα φωνὴ ἐξακούεται
οὕτω λέγουσα „ἡμεῖς σταυροπάτην Καλαφάτην βασιλέα οὐ
θέλομεν, ἀλλὰ τὴν κληρονόμον καὶ μητέρα ἡμῶν Ζωήν."
ἀλλὰ καὶ τοῦτο πρὸς τοῖς ἄλλοις ἐβόων „ἀνασκαφείη τὰ ὀστᾶ
τοῦ Καλαφάτου." καὶ λαβόντες τὰ παρατυχόντα ξύλα παρὰ
τοῦ ἐπάρχου φέρονται· καὶ ὃς φυγῇ χρησάμενος μόλις διε-
σώζετο. ὁ δὲ λαὸς εἰς τὴν ἐκκλησίαν καταλαβὼν ἐδυσφήμει D
καὶ μάλα τὸν βασιλέα, ἀνεκαλεῖτο δὲ τὴν Ζωὴν ὅλῃ ψυχῇ.
μετὰ δὲ ταῦτα πρὸς τὸ παλάτιον ἔρχονται, καταγαγεῖν τὸν
βασιλέα βουλόμενοι. ὃς καὶ πτοηθεὶς ἤγαγε τὴν Ζωήν, καὶ
ἀποδύσας αὐτὴν τὰ μοναχικὰ βασιλικοῖς ἐκόσμησε περιβλή-
μασιν. εἶθ' οὕτως τῷ λαῷ δημηγορήσας καὶ μηδὲν ἀνύσας
(ὕβρεσι γὰρ μᾶλλον ἐπλύνετο καὶ λίθοις καὶ τόξοις ἐβάλλετο)
ἔγνω δεῖν ἐν τῇ μονῇ Στουδίου ἀπελθεῖν. ὁ δὲ δομέστικος V. 246
οὐκ ἀφῆκεν αὐτόν, ἀλλὰ γενναίως ἀντιστῆναι παρέπεισε καὶ
ἢ ὑπερισχῦσαι ἢ βασιλικῶς ἀποθανεῖν. ἑτοιμάζονται ὡς P. 318
εἶχον δυνάμεως. τριχῇ οὖν οἱ τοῦ δήμου διαιρεθέντες,
ὥσπερ δὴ καὶ οἱ περὶ τὸν Μιχαήλ, κατ' ἀλλήλων ἐχώρουν.

lum de scripto nomine imperatoris in Constantini foro verbis huiusmodi recitat „Zoen, quod eam imperio meo malitiose insidiatam esse deprehenderem, solum vertere iussi. vos, siquidem in benevolentia erga me perstiteritis, honores consequemini." tum vero vox quaedam huiusmodi subito exaudita est „nos proculcatorem crucis Calaphatem imperatorem habere nolumus, sed Zoen matrem nostram et imperii heredem." clamatum etiam inter alia „evertantur ossa Calaphatae." mox correptis saxis et quibusvis lignis praefectum urbis petunt; qui arrepta fuga vix saluti suae consulere potuit. inde occupato templo conviciis populus imperatorem gravissimis proscindebat, totoque animi studio Zoae nomen inclamabat. utque deturbarent imperatorem, ad palatium contendebant. is vero metu perculsus Zoen in populi conspectum adductam et monastico habitu exutam imperatorio rursus amictu exornavit. deinde ad populum concione habita, cum nihil obtinuisset (magis enim quam antea contumeliosis eum dictis aspergebant et saxis sagittisque petebant) in Studii mansionem cedendum statuit. at vero Constantinus scholarum domesticus id eum facere non sinebat, sed hortabatur ut animo forti et generoso semet opponeret, ac vel obtinendam esse victoriam statueret vel imperatorie occumbendum. hoc modo pro viribus utrimque instructi, tripertitis agminibus tam populares quam Michaeli defensores contra se invicem tende-

ἔνθεν τοι καὶ ἐκ τοῦ δήμου πίπτει λαὸς οὐκ ὀλίγος, ἄοπλοι ὄντες καὶ πρὸς ξίφη παρατασσόμενοι. πίπτουσιν οὖν ὡσεὶ χιλιάδες τρεῖς. οἱ μέντοι πολῖται διὰ τὸ πλῆθος ὑπερισχύσαντες καὶ τὰς πύλας τοῦ παλατίου ἐκρήξαντες ἐντὸς εἰσέρχονται, καὶ αὐτίκα τὸ ἐν σεκρέτοις χρυσίον ἁρπάσαντες καὶ κατ' αὐτοῦ τοῦ βασιλέως ὁρμῶσιν. ὃς δὴ καὶ ἀπογνοὺς φυγὰς
B πρὸς τὴν μονὴν τοῦ Στουδίου ἔρχεται, καὶ σὺν τῷ θείῳ αὐτοῦ ἀποκείρεται.

Προκάθηται οὖν καὶ αὖθις ἡ βασιλὶς Ζωὴ σὺν τῇ ἀδελφῇ αὐτῆς Θεοδώρᾳ. καὶ πρῶτα μὲν εὐχαριστεῖ τῷ λαῷ δι' ἣν ἐνεδείξαντο πρὸς αὐτὴν εὔνοιαν, ἔπειτα δὲ καὶ σκέψις περὶ τοῦ Μιχαὴλ γίνεται. τοῦ δὲ λαοῦ „σταυρωθήτω τυφλωθήτω" ἀναβοῶντος ἡ μὲν Ζωὴ συμπαθὴς αὐτῷ κατεφαίνετο, ἡ δὲ Θεοδώρα τὸν ἔπαρχον καὶ τὸ πλῆθος πρὸς αὐτοὺς πείθει δραμεῖν. ὡς οὖν ἐκεῖνοι τῆς παρουσίας ᾔσθοντο τοῦ λαοῦ, εἰς τὰ ἄδυτα τοῦ ναοῦ καταφεύγουσιν. ἀλλ' ἐκεῖθεν ἁρπάζονται καὶ διὰ τῶν ποδῶν ἐν τῇ ἀγορᾷ σύρονται, κατὰ δέ γε τὸ Σίγμα τοὺς ὀφθαλμοὺς ἐκτυφλοῦνται, ὡς ἡ Θεο-
C δώρα ἐνέσκηψεν. ἔκτοτε οὖν κρατεῖ ἡ Ζωὴ σὺν τῇ αὐταδέλφῃ αὐτῆς Θεοδώρᾳ ὡσεὶ μῆνα ἕνα. κἀντεῦθεν ἡ σύγκλητός τε καὶ τὸ κοινὸν διῃτᾶτο καλῶς, ἀπριάτων τῶν ἀρχῶν ἁπανταχοῦ τελουμένων καὶ μὴ ὠνίων, ὡς πρίν.

bant. itaque de populo numerus haud exiguus caesus est, nimirum ad milia tria; quod inermes ipsi armatis opponerentur. ad extremum tamen cives ob multitudinem superiores facti palatiumque perfractis foribus ingressi sunt. cumque mox aurum in Secretis repositum diripuissent, adversus imperatorem perrexerunt; qui rebus omnino desperatis ad Studii mansionem fuga se contulit et cum avunculo suo rasus est.

Ita rursus imperatrix Zoe cum sorore Theodora praeficitur, quae ubi populo gratias initio egisset eius benevolentiae nomine quam erga se declarassent, continuo Michaelum inquiri debere visum fuit. populo autem voces huiusmodi magnis clamoribus ingeminante „in crucem agatur, oculis spolietur," Zoe quidem miseratione commoveri erga ipsum videbatur, Theodora vero praefectum urbis ac vulgus hominum concitabat ut ad quaerendum utrumque cursim pergerent. eos illi cum adesse persentiscerent, in adyta templi confugere, sed irrito conatu: nam inde abrepti pedibusque per forum tracti, iussu Theodorae in loco qui Sigma dicitur excaecati sunt. ab eo tempore cum germana sorore Theodora Zoe propemodum uno mense rem publicam et senatum administrabat magna cum laude; cum efficeret ut more pristino abolito magistratus ubique sine pretio concederentur, qui venales antea fuerant.

Γίνεται σκέψις ὥστε βασιλεῖ νομίμως τὴν Ζωὴν συζευχθῆναι. καὶ ἡ μὲν ἀγαγέσθαι ἤθελε Κωνσταντῖνον τὸν λεγόμενον Ἀρτοκλίνην· ἦν γὰρ καὶ τὸ εἶδος εὐπρεπής, ἐλέγετο δὲ καὶ πλησιάζειν αὐτῇ. ἀλλὰ τοῦτον μὲν ἡ σύνοικος, οὐχὶ μισοῦσα μέλλουσα δὲ αὐτοῦ στερεῖσθαι, τοῦ βίου ἐξάγει φαρμάκοις. ἔνθεν τοι καὶ τὸν Μονομάχον ἀπὸ τῆς ἐξορίας μεταπέμπεται, παρὰ τοῦ ὀρφανοτρόφου τὴν Μιτυλήνην κα- D ταχριθέντα οἰκεῖν· ἐφημίζετο γὰρ παρὰ πάντων ὡς ἐγκρατὴς ἔσται τῆς βασιλείας. καὶ οὕτω μὲν τῷ Σκυλίτζῃ περὶ τοῦ Μονομάχου διείληπται, λέγεται δὲ καὶ τοῦτο, ὅτι τῶν κρατούντων ἤδη παρελθόντων Λεσβόθεν τῇ βασιλίδι μεταπέμπεται· ἐξώριστο γὰρ ἐκεῖθεν παρὰ τοῦ Μιχαὴλ ἅτε τῇ βασιλίδι συμφθείρεσθαι λεγόμενος. ἐπανακέκληται οὖν, εἰ καὶ σβεσθῆναι παρὰ μικρὸν τὰς κόρας ἐκινδύνευε. συνάπτεται οὖν τῷ Μονομάχῳ νομίμως ἡ Ζωή, τῆς ἱερολογίας γενομένης παρὰ τοῦ πρώτου τῶν πρεσβυτέρων τῆς νέας, ἐν ἔτει P. 319 ,ςφν΄. καὶ τηνικαῦτα προοιμίων ἀγαθῶν ἀπάρχεται, κρατήσας ἔτη ιβ΄. ἦν μὲν γὰρ ἀδαής, ὥς φασι, τὰ πολεμικά, τοσοῦτον δὲ μεγαλοπρεπὴς καὶ μεγαλόδωρος ὡς πάντας ἐπαπολαῦσαι τῶν χαρίτων αὐτοῦ. κατ' ἐκεῖνον δὴ τὸν καιρὸν ἐφάνη κομήτης ἀπὸ τῆς ἑώας πρὸς τὴν δύσιν τὴν πορείαν ποιού-

Hinc deliberatum quo pacto Zoe cuidam matrimonio legitimo iungeretur, qui per id coniugium ad culmen imperatorium perveniret. cogitabat autem illa Constantino nubere, qui Artoclines vocabatur: erat enim is formae venustate praestans, et cum Zoe clanculum consuescere perhibebatur. sed Constantinum uxor legitima veneno propinato de medio sustulit, non quod maritum odisset, sed quod eius consuetudine se deinceps carituram videret. hoc ubi accidisset, Monomachum imperatrix ab exilio revocat, quem Iohannes Orphanotrophus exilio multaverat et Mitylenae se continere iusserat: nam vulgo rumor diditus fuerat, futurum ut aliquando ille imperaret. id Scylitzes de Monomacho memoriae prodidit. ab aliis hoc quoque perscriptum est, summotis a gubernatione qui rerum antea potiebantur, imperatricem e Lesbo Monomachum arcessivisse, relegatum eo iussu Michaeli, quod cum imperatrice rem habere diceretur. et quanquam prius a periculo amittendi oculos parum abfuerat, tamen nunc revocatus matrimonio Zoae legitimo copulatur, sacras preces ac vota concipiente novae Romae presbyterorum principe, anno mundi 6550. exordium imperii praeclarum edidit, quod annis duodecim administravit. rerum quidem bellicarum prorsus ignarum fuisse perhibent, sed tam liberalem ut omnes benignitatis ipsius fructum perciperent. conspectus est id temporis cometa, qui ab oriente versus oc-

μενος, καὶ ὡρᾶτο μῆκα ὅλον λάμπων. προεμήνυε δὲ οὗτος μετὰ ἔτος ἓν τῆς αὐτοῦ βασιλείας φανεὶς τὰς μελλούσας γενέσθαι κοσμικὰς συμφοράς. ὅρα γὰρ ὅτι μετ' οὐ πολὺ στάσις ἐν Σερβίᾳ γέγονε. γράφει οὖν ὁ βασιλεὺς τῷ ἄρχοντι V. 247 Δυρραχίου, καὶ ὃς ἐπισυνάξας ὡσεὶ χιλιάδας ξ' εἰς Τριβα- B λλῶν ἔρχεται, καὶ ἀνεπιστημόνως πάνυ τοῖς Σέρβοις προσβαλὼν ὡσεὶ χιλιάδας μ' ποιεῖ ἐκεῖσε πεσεῖν καὶ στρατηγοὺς ζ'. ἀλλὰ καὶ ὁ Μανιάκης Γεώργιος ἐν Ἰταλίᾳ διάγων (παρὰ γὰρ τοῦ Βασιλείου ἐκεῖσε προπεμφθεὶς ἔτυχεν) εἰς ἀποστασίαν χωρεῖ καὶ τὰ παράσημα τῆς βασιλείας ἐνδύεται καὶ εἰς Σερβίαν ἔρχεται. μανθάνει περὶ τούτου ὁ βασιλεύς, καὶ μὴ δυνηθεὶς διὰ γραμμάτων μεταποιῆσαι αὐτὸν χεῖρα βαρεῖαν ἀποστέλλει κατ' αὐτοῦ· ποδάγρᾳ γὰρ ὁ βασιλεὺς συνεχόμενος καὶ παρὰ δεμνίοις ἀπαλοῖς κείμενος δι' ἑαυτοῦ τοῖς τοιού- C τοις ἐφίστασθαι οὐκ ἠδύνατο. πόλεμος οὖν ἐν τῷ Ὀστροβῷ συγκροτεῖται, καὶ αἰφνίδιον πίπτει τοῦ ἵππου ὁ Μανιάκης, πολλὰ πρότερον τοῦ στρατοῦ κατατρέχων. τέμνεται τὴν κεφαλήν. τῷ βασιλεῖ στέλλεται, καὶ μέγας ἐπὶ τούτῳ θρίαμβος γίνεται.

Ἀλλὰ καὶ Θεόφιλος ὁ Ἐρωτικὸς στρατηγῶν ἐν Κύπρῳ, καὶ μαθὼν τὰ περὶ τὸν Καλαφάτην καὶ ὅτι σύγχυσιν ἔχει τὰ πράγματα, τοὺς Κυπρίους ὑπανάπτει καὶ εἰς ἀποστασίαν

5. τρικαλὸν F.

cidentem motu suo ferebatur totoque mense lucebat, altero post initum a Monomacho imperium anno. portendebat autem calamitates illas mundi, quae tunc imminebant. quippe non ita multo post in Servia seditio concitata fuit, cuius componendae gratia litteras imperator ad Dyrrhachii praesidem dedit. iis acceptis ille militum ad sexaginta milia cogit, et cum illis Triballorum regionem ingressus Serviosque parum prudenter adortus quadraginta hominum milia cum septem ducibus amittit. praeterea Georgius Maniaces, qui degebat in Italia, missus eo iampridem ab imperatore Basilio, defectionem molitus est; ac sumptis insignibus imperii ad Servios sese contulit. his rebus cognitis imperator, qui litteris ad Maniacem perscriptis ab instituto non posset hominem avertere, validam manum adversus eum misit. etenim imperator podagrae morbo praepeditus et lecto adfixus rebus hisce gerendis ipsemet adesse non poterat. conserto autem ad Strobum praelio Maniaces ex equo subito lapsus est, et qui antea copias hostiles pervaserat, capite truncatus; quod imperatori cum missum fuisset, magnus eo nuntio triumphus institutus est.

Itidem Theophilus Eroticus, praetor Cypri, cum ea didicisset quae Calaphatae acciderant, resque Cpoli non parum habere turbarum

χωρεῖ. ἀλλ' ὁ βασιλεὺς ἀποστείλας χειροῦται αὐτόν, καὶ ἐν ἱπποδρομίᾳ θριαμβεύσας στολὴν ἐνδεδυμένον θήλειαν, καὶ πάντων ψιλώσας, ἀπέλυσε. τότε δὴ τότε καὶ ὁ πατριάρχης D Ἀλέξιος καταλύει τὸν βίον, ἀναβιβάζεται δὲ ἀντ' αὐτοῦ Μιχαὴλ ὁ Κηρουλάρης, μοναχὸς ὤν.

Κατὰ τοῦτον δὴ τὸν καιρὸν καὶ οἱ Σκύθαι, τοῦτ' ἔστιν οἱ Ῥωσοί, διά τινα μικρὰν πρόφασιν κατὰ τῆς βασιλίδος ὁρμῶσι στόλῳ βαρεῖ. καὶ ὁ βασιλεὺς ὑπαντιάζει αὐτοῖς ἔν γε τῷ φόρῳ, καὶ οἱ τραπέντες ἐπαλινόστησαν, συμβολῆς γενομένης πλοίων κατεαγέντων καὶ ὡσεὶ χιλιάδες δεκαπέντε περὶ τὴν γῆν ἐκβρασθέντων, εἰ καὶ κατά τινα κόλπον τριήρεις Ῥωμαϊκαὶ διώκουσαι τὰ αὐτὰ πεπόνθασι, τὸν ἀριθμὸν κ' καὶ δ' οὖσαι.

Ἐν ἔτει ͵ϛφνβ', μηνὶ Μαρτίῳ θ', βουλεύεται ὁ βασι- P. 320 λεὺς ἀπελθεῖν εἰς προσκύνησιν τῶν ἁγίων μ'. γίνεται οὖν δημοσίᾳ προπομπή, ἔρχεται περὶ τὸν Χριστὸν τὸν χαλκοῦν. καὶ τηνικαῦτα τὸ πλῆθος εἰς ἀποστασίαν χωρεῖ· φωνὴ γὰρ ἐκ μέσου αὐτοῦ ἐξεχύθη λέγουσα „ἡμεῖς τὴν Σκλήραιναν βασίλισσαν οὐ θέλομεν, οὐδὲ δι' αὐτὴν αἱ μάνναι ἡμῶν αἱ πορφυρογέννητοι Ζωὴ καὶ ἡ Θεοδώρα θανοῦνται.“ ταραχθὲν οὖν ἐπὶ πλέον τὸ πλῆθος ἐζήτει τὸν βασιλέα διαχειρίσασθαι,

5. κουρουλάρης F.

cognovisset, ad seditionem Cyprios defectionemque sollicitando perpulit. adversus eum misso imperator exercitu vivum hominem cepit, et sub triumphi specie in Circo ductum, muliebri amictu indutum, omnibus denique facultatibus nudatum dimisit. hoc tempore Alexius patriarcha naturae debitum persolvit, in cuius locum Michaelus cognomento Cerularius, solitariae vitae sectator, est substitutus.

Sub eodem imperatore Scythae quoque, qui Rossi sunt, de perexigua sane occasione magna classe urbem imperatoriam adorti sunt. eis imperator in foro cum occurrisset, in fugam coniecti Rossi suam in patriam reverterunt. etenim in conflictu eorum cum Romanis naves fractas haud paucas una cum quindecim fere milibus hominum amiserant. idem tamen incommodi Romanis etiam triremibus, numero viginti quattuor, in sinu quodam maris accidit, dum navigia Rossorum incantius persequuntur.

Anno mundi 6552, ad diem septimum id. Mart. imperator suo quodam consilio supplicationis causa ire decrevit ad sanctorum quadraginta martyrum aedem. eo nomine publica processione instituta, cum ad Christi templum, quod est in Chalce, pervenisset, populus seditionem concitare coepit, auditaque vox est de media plebe quae huiusmodi verba proferret „nos Sclerenam imperatricem non tolerabimus, neque matres nostras purpurigenas, Zoen ac Theodoram, eius

καὶ φθόρος ἂν εὐθέως οὐκ ὀλίγος ἐγεγόνει, εἰ μήγε προκύ-
ψασαι ἄνωθεν αἱ βασίλισσαι τὴν τοῦ πλήθους ὀργὴν κατεστό-
B ρεσαν. ἐφ' ᾧ καὶ ἄκων ὁ βασιλεὺς ἐν βασιλείοις ὑποστρέφει.
μετὰ δὲ ταῦτα φροντίσι κοσμικαῖς ὑποπίπτει. καὶ ἄλλαι μὲν
ἀλλαχοῦ κατὰ τὴν ἕω συμβαίνουσιν ἀντιστασίαι, καὶ Λέων
δὲ Τορνίκιος πατρίκιος, ὁ στρατηγῶν ἐν Ἰβηρίᾳ, ἐπὶ τυραν-
νίδι διαβάλλεται. παραλύεται οὖν τῆς ἀρχῆς καὶ ἀποκείρε-
ται. ὁ δὲ μὴ εὐψύχως ταῦτα ὑπενεγκών, τοὺς ἐν Ἀδρια-
νουπόλει καὶ μᾶλλον ὅσοι παρεωραμένοι καὶ ἄλλους τινὰς
C νεωτερισμοῖς χαίροντας οὐκ ὀλίγους ἐπισυνάξας, βασιλεὺς
ἀναγορεύεται καὶ κατὰ τῆς βασιλίδος χωρεῖ. ὁ δὲ βασιλεὺς
V. 248 μὴ ἔχων ἀντιστῆναι ἅτε δυνάμεως ἱκανῆς ἀπορῶν, γράφει
τῷ ἐν Ἰβηρίᾳ προβληθέντι Κωνσταντίνῳ, ὅτι μηδὲ τοῖς πολί-
ταις ἐθάρρει ἅτε μὴ διακειμένοις εὐνοϊκῶς πρὸς αὐτόν, τὰ
ἐν χερσὶ πάντα καταλιπεῖν καὶ μετὰ δυνάμεως ὅτι πολλῆς
εἰς τὴν βασιλίδα καταλαβεῖν. ὃ δὴ καὶ γέγονε. πρὸ δέ γε
τοῦ ἐλθεῖν αὐτοὺς οὐ μικρῶς ὁ Τορνίκιος τὴν βασιλείαν διε-
τάραξε, τοσοῦτον καταπολεμήσας ἐκ τῶν ἐκτὸς τοὺς ἐντὸς ὡς
καὶ τὸν βασιλέα τόξου γενέσθαι παρὰ μικρὸν παρανάλωμα.
D ἔκτοτε οὖν πρὸς Ἀρκαδίου πόλιν ἔρχεται. οὐ πολὺ τὸ ἐν

causa necari patiemur." hoc modo tumultu in plebe maximo concitato, ad necem imperator deposcebatur. et secuta sane mox fuisset hominum caedes haud exigua, ni de loco sublimi prospectassent imperatrices ac multitudinis iracundiam blande compescuissent. hoc modo factum ut praeter animi sententiam et invitus imperator in regiam reverteretur. secundum haec eum quaedam aliae curae mundanae excipiunt, atque inter motus et seditiones ceteras in Oriente coortas Leo quoque Tornicius, dignitate patricius Iberiaeque praetor, tyrannidis adfectatae crimen subiit. quapropter magistratu locoque suo motus raditur. eam rem Leo parum aequo animo ferens, militibus Adrianopolitanis, praesertim iis qui ab imperatore contemptim habiti fuerant, aliisque nonnullis qui rerum novarum erant avidi, magno numero collectis, imperator renuntiatur, et mox suis cum copiis urbem imperatoriam versus properat. ei cum imperator opponere non posset exercitum, quem satis magnum non habebat, nec civibus urbanis fideret, quos animo erga se parum benevolo esse nosset, litteris ad Constantinum, quem rebus in Iberia gerendis praefecerat, datis imperat ut relictis rebus omnibus quas istic in manibus habebat, quanto cum exercitu posset maximo, Cpolim sese conferret. atque hoc quidem ille fecit: verum prius quam copiae ad urbem accessissent, non parum Tornicius turbarum dedit, tantopere conclusos in urbe de castris suis oppugnans ut imperator ipse propemodum sagitta configeretur. deinceps Arcadiopolim Tornicius cum suis est

μέσῳ, καὶ ἐξ ἑῴας τὰ στρατεύματα παρεγένετο. στρατηγὸς οὖν αὐτοῖς ὁ Ἰασίτης προβάλλεται. ⸌ κατὰ τοῦ ἀποστάτου χωρεῖ, χειροῦται αὐτόν· καὶ παρευθὺς αὐτὸν μὲν ἐκτυφλοῦσι καὶ Βατάτζην τινά, τοὺς δὲ λοιποὺς δημεύουσι.

Μετὰ δὲ ταῦτα οὐ διέλιπον κατά γε ἀνατολὰς παρὰ Τούρκων καὶ κατὰ δύσιν παρὰ Πατζινακῶν λεηλασίαι καὶ πόλεμοι. τότε καὶ Ῥωμανὸς ὁ Βοΐλος ὑψοῦται τὰ μέγιστα· ἀστεῖος γὰρ περὶ τὴν γλῶτταν ὢν καὶ εὐτράπελος γνωρίζεται τῷ βασιλεῖ, τιμᾶται, σύμβουλος καθίσταται. εἶτα τυραννίδος ἐπιθυμεῖ, ὑπέρχεται καί τινας, ὅσους ἠδύνατο. ἀλλ' P. 321 ἐφωράθη ταῦτα τῷ βασιλεῖ, καὶ οἱ μὲν συνωμόται πάσχουσι κακῶς, αὐτὸς δὲ πρὸς μικρὸν ὑποκατιὼν πάλιν ἐπανάγεται. τότε δὴ καὶ παρὰ τοῦ τῆς Αἰγύπτου ἄρχοντος στέλλεται πρὸς τὸν βασιλέα ἐλέφας ζῶν καὶ καμηλοπάρδαλις. τότε καὶ σπουδὴν ἔθετο τοὺς Πατζινάκας τέλεον ἀναλῶσαι. στρατὸν οὖν πανταχόθεν ἐπισυνάξας ἐκπέμπει κατ' αὐτῶν. ἀλλὰ μέγα συμβαίνει κατὰ Ῥωμαίων ἐκεῖθεν τὸ ἀτύχημα. ὅθεν καὶ ἕτερον αὖθις συλλέγει στρατόν. πλὴν σπονδὰς πρὸς ἀλλήλους τίθενται καὶ τὰ τοῦ πολέμου λύονται μέχρι τριακονταετίας. πρὸς τούτοις δὲ μοναστήριον τὰ Μάγγανα οἰκοδομῶν, καὶ B ἀφειδῶς τοῖς χρήμασι χρώμενος, εἰς τοσαύτην ἤλασεν ἔνδειαν

2. ἀσίτης F.

profectus, nec magno temporis interiecto spatio exercitus orientales adfuerunt. eis Iasita dux cum imperio praeficitur, qui adversus auctorem defectionis movens suam illum in potestatem redigit. hoc facto mox Leoni et Batazae cuidam oculi eruuntur, reliquorum bona publicantur.

Ab eo tempore non desierunt in oriente Turci, ad occidentem Patzinacae praedas agere ac Romanos bello petere. tunc et Romanus Boilus sublimem ad dignitatis gradum subito fuit evectus. nam cum festivus et urbanus esset, in notitiam imperatoris pervenit, et ab eo in pretio habitus consiliariis accensetur. hinc tyrannidem adfectans, caute adiungit sibi quoscunque poterat. sed his conatibus imperatori detectis, socii quidem coniurationis male accepti sunt, ipse vero exiguum ad tempus nonnihil statu suo deturbatus ad altiora rursum rediit. hoc tempore princeps Aegypti elephantum et camelopardalim ad imperatorem misit. conatus est etiam Monomachus Patzinacas prorsus e medio tollere. quapropter copias undecunque contractas adversus illos misit. verum ingenti a barbaris clade accepta rursus alium imperator exercitum collegit. non tamen ad pugnam ventum, sed ictum utrimque foedus in annos 30, quibus a bello abstineretur. cum autem monasterium imperator, quod Mangana vocant, exstrueret et absque ulla parsimonia pecunias publicas expenderet, tantam ad egestatem

ὥστε καὶ πᾶσαν ἐπινοῆσαι διὰ τοῦτο καπηλείαν καὶ ἀτόπους εἰσπράξεις ἐφευρηκέναι. φροντιστὰς οὖν ἀδίκους τοῦ δημοσίου ἐπιστήσας ἐξ ἀδίκων πόρων συνέλεγε χρήματα. καταλύει δὲ καὶ τὸν Ἰβηρικὸν στρατόν, ἀμφὶ τὰς ν' χιλιάδας ἀριθμούμενον, καὶ ἀντὶ στρατιωτῶν φόρους πολλοὺς ἀπὸ τῶν χωρίων ἐκείνων πορίζεται. ἔνθεν τοι καὶ διὰ τὰς ἐκείνου κακίας καὶ ἀσωτίας τὰ τῶν Ῥωμαίων πράγματα εἰς τὸ κατόπιν χωροῦσιν, εἰ καί τινα τῶν αὐτοῦ μνήμης ὑπάρχουσιν ἄξια. ἡ γὰρ τῶν Μαγγάνων μονὴ καὶ οἱ ξενῶνες καὶ τὸ ἐπὶ
C τῇ μεγάλῃ τοῦ θεοῦ ἐκκλησίᾳ παρ' αὐτοῦ γεγονὸς ἐπαίνων οὐκ ἀμοιροῦσι. δι' ἔνδειαν γὰρ μὴ δυναμένης ἱερουργεῖσθαι ἐν σαββατοκυριάκοις γὰρ καὶ ταῖς ἐπισήμοις τῶν ἑορτῶν, τοῦτο οὖν ἰδὼν αὐτὸς καθ' ἑκάστην τοῦτο διὰ προσόδων γίνεσθαι ᾠκονόμησε, φαιδρύνας αὐτὴν καὶ λαμπροῖς ἀναθήμασι.

Κατ' ἐκεῖνο δὲ καιροῦ καὶ λοιμικὴ νόσος ἐπὶ τοσοῦτον ἐνέσκηψεν ὥστε τοὺς ζῶντας ἐκφέρειν τοὺς τεθνεῶτας μὴ δύνασθαι. ἀλλὰ καὶ χάλαζα ῥήγνυται, μὴ ζῶα μόνον ἀλλὰ καὶ ἀνθρώπους αὐτοὺς ἀποκτείνουσα. ὁ μέντοι βασιλεὺς τῇ
D συνήθει κακίστῃ νόσῳ, τῇ ποδάγρᾳ δηλονότι, κακουχούμενος ἔκειτο ἐν τῇ παρ' αὐτοῦ δομηθείσῃ μονῇ. ὡς δὲ καὶ δι' ἑτε-

6. ἐκείνου] ἐκείνων P.

pervenit ut nullam non cauponandi rationem excogitaret et exactiones absurdas inquireret. itaque nonnullos homines iniustos aerario rei publicae praefecit, qui curam eius gererent; eoque pacto pecunias iniquis redituum accessionibus amplas congessit. praeterea copiis Ibericis, quae quinquaginta milibus hominum constabant, exauctoratis, militum loco de regionibus illis magna vectigalia collegit. milites ubi dimissi fuissent, improbe nequiterque sese gerentes rem Romanam tanto detrimento adfecerunt ut eae pessum irent. quaedam tamen a Monomacho facta sunt digna quae litterarum monumentis memoriae prodantur. nam illud, de quo diximus, monasterium, et excipiendis hospitibus exstructae aedes, et quod in magna dei ecclesia instituit, laudem merentur. cum enim istic res sacra peragi propter inopiam redituum non posset extra quam singulis sabbatis, diebus dominicis aliisque festis insignibus, imperator hoc animadverso proventibus certis constitutis effecit ut sacrum ibi singulis diebus perficeretur, ipsa etiam ecclesia splendidis donariis exornata.

Exstitit hoc ipso Monomacho imperante tanta in urbe pestis, ut mortuis efferendis vivi non sufficerent. grando quoque delapsa magno cum impetu non animalia modo sed homines etiam interfecit. at imperator morbo sibi familiari, podagra nimirum, adflictus in exstructo ab se monasterio decumbebat. cumque propter malum aliud quo-

ρὸν τι σύμπτωμα ὁ θάνατος ἤγγισεν, ὅ τε λογοθέτης, ὁ πρω- V.249
τονοτάριος καὶ ὁ κανικλείου, σκεψάμενοι περὶ τούτου, στέλλουσιν ἀγαγεῖν Νικηφόρον τὸν πρωτεύοντα· ἔτυχε γὰρ τότε τὴν τῶν Βουλγάρων ἐζωσμένος ἀρχήν. ἀλλὰ τοῦτο γνόντες οἱ τῇ Θεοδώρᾳ ὑπηρετούμενοι (ἡ γὰρ Ζωὴ προκατέλυσε τὸν βίον) εἰς τὸ παλάτιον αὐτὴν ἄγουσι καὶ ἀναγορεύουσιν αὐτοκρατόρισσαν. ἐφ' ᾧ καὶ ἀποστείλαντες κατέσχον ἐν Θεσσαλονίκῃ τὸν πρωτεύοντα. κἀκεῖθεν εἰς τὸ Θρακήσιον ἄγουσι, καὶ ἐν τῇ μονῇ τοῦ Κουζινᾶ περιορίζουσιν. ὁ μέντοι Μονομάχος θνήσκει καὶ παρὰ τῇ διαληφθείσῃ μονῇ θάπτεται. P.322

Κρατεῖ λοιπὸν ἡ Θεοδώρα ἔτος ἕν, καὶ τηνικαῦτα προβάλλεται δομέστικον τῶν σχολῶν ἕνα τῶν εὐνούχων αὐτῆς ἐπὶ τῷ ἀναστέλλειν τῶν Τούρκων τὴν καταδρομήν, παραλύσασα τῆς στρατοπεδαρχίας Ἰσαάκιον τὸν Κομνηνόν. ἔφθασε γὰρ ὁ Μονομάχος ἐκεῖσε διαπεράσας τὰς Μακεδονικὰς δυνάμεις. ἐν οἷς ἦν στρατηγὸς καὶ Βρυέννιος· λόγος γὰρ παρὰ τοῖς Τούρκοις ἐφέρετο ὡς ὑπ' ἐκείνων καταλυθήσονται μεθ' ὧν ὁ Ἀλέξανδρος τοὺς Πέρσας κατέλυσεν. ὅλην τὴν ἰνδικτιῶνα θ' τοῦ ͵ςφξδ' ἔτους βιώσασα ἡ βασιλὶς ἀπέθανεν, B
εἰλεοῦ νοσήματι περιπεσοῦσα. οἱ δὲ ταύτης εὐνοῦχοι ἀναβιβάζουσι Μιχαὴλ γέροντα τὸν στρατιωτικόν, ἀφιλῆ ἄνδρα ὄντα.

13. παραλύσασθαι P. 17. ἐπ' P. 20. νοσήματος P.

